Cyrus. Male! quod tamen ille duxisse videtur ex loco Hellenicorum, ubi Cyrus πάντων τῶν ἐπὶ θαλάττῃ ἄρξων dicitur advenisse. Sed diversos esse τοὺς ἐπὶ θαλάττῃ ab iis, qui Phrygiam et Cappadociam incolunt, statim apparet. Non omnes tamen eos, qui ἐπὶ θαλάττῃ habitabant, imperio Cyri subjectos fuisse, patet ex eo, quod Anabasis i. 1, 6. monet: καὶ γὰρ ἦσαν αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους τὸ ἀρχαῖον, ἐκ βασιλέως δεδομέναι. Harum demum imperium impetrat Cyrus a rege fratre sect. 8. Igitur accuratius definiri videntur οἱ ἐπὶ θαλάττῃ verbis illis: οἷς καθήκει εἰς Καστωλοῦ πεδίον ἀθροίζεσθαι. Accedit, quod Stephanus Byzantinus Dorienses a Lydis Castolos vocatos tradit, et Castolum Lydiæ urbem fuisse affirmat idem, auctore nescio quo. Itaque suspicari licet, Cyro imperium urbium Doricarum, et copiarum, quas illæ exercitui Persarum regis suppeditabant congregandas et recensendas in campo prope Castolum, Lydiæ urbem, datum fuisse a fratre tum, cum primum ei Lydiæ satrapia traderetur. Nam proprie pertinebat Ionia ad Lydiam satrapiam. Itaque in Cyropædia viii. 6, 7. Chrysantas satrapa mittitur εἰς Λυδίαν καὶ Ἰωνίαν. Arriano i. 12. Spithridates dicitur ὁ Λυδίας καὶ Ἰωνίας σατράπης. Atque ita statim apparet causa discordiæ inter Cyrum et Tissaphernem, cui Artaxerxes imperium Ioniæ tribuerat, quæ ad satrapiam Lydiæ pertinebat. Suspicatus eram antea, τοὺς ἐπὶ θαλάττῃ posse intelligi incolas maritimos Phrygiæ ad Hellespontum, Mysiæ deinde vocatæ; sed comparatis locis Hellenic. iii. 1, 3. ubi Tissaphernes dicitur accepisse Cyri satrapias, et iii. 1, 10. et iii. 2, 1. ubi Æolis cum Phrygia (minore ad Hellespontum sita) ad satrapam Pharnabazum refertur, intellexi errorem meum. Superest, ut quæramus, cur satrapæ nomini alterum στρατηγοῦ adjungatur, et quid satrapæ nomen significet Xenophonti. Locus est clarissimus in Œconomico iv. 9. ubi ἄρχοντες διατεταγμένοι ἐφ' ἑκάτερον distinguuntur ita: οἱ μὲν ἄρχουσι τῶν κατοικούντων τε καὶ τῶν ἐργατῶν, καὶ δασμοὺς ἐκ τούτων ἐκλέγουσι· οἱ δὲ ἄρχουσι τῶν ὡπλισμένων φρουρῶν. Accedit tertius archon σατράπης, de quo sequitur sect. 11. ὅπου δ' ἂν σατράπης καθίστηται, οὗτος ἀμφοτέρων τούτων ἐπιμελεῖται. De iisdem Cyrop. viii. 6, 3. οἵτινες ἄρξουσι τῶν ἐνοικούντων καὶ τὸν δασμὸν λαμβάνοντες τοῖς τε φρουροῖς δώσουσι μισθὸν καὶ ἄλλο τελέσουσιν ὅ, τι ἂν δέῃ. Antecedit ibidem sect. 1. τοὺς ἐν ταῖς ἄκραις φρουράρχους καὶ τοὺς χιλιάρχους τῶν κατὰ τὴν χώραν φυλάκων solius regis imperio fuisse subjectos, et cupiditati satraparum oppositos. Verba igitur in Œconomico iv. 11. ubi satrapa dicitur ἀμφοτέρων τούτων ἐπιμελεῖσθαι, ita sunt interpretanda, satrapæ curam fuisse eam demandatam, ut φρούραρχοι et οἱ ἄρχοντες τῶν κατοικούντων τε καὶ τῶν ἐργατῶν officiis suis recte fungerentur; quod nisi fecissent, satrapa negligentem apud regem accusabat. Sed interdum rex satrapæ simul imperium copiarum in provincia excubantium committebat; quod extra ordinem cum fiebat, addunt scriptores, ut facit Xenophon, satrapam simul imperatorem (στρατηγὸν) fuisse designatum. Cf. *Heeren. Ideen* tom. ii. p. 360. 382. 469. Exemplum regum Persarum Alexander imitatus esse videtur. Arrianus enim Anab. iii. 16. narrat Babyloniæ satrapam Mazæum, στρατηγὸν τῶν μετὰ Μαζαίου ὑπολειπομένων στρατιωτῶν Apollodorum factum, Asclepiodorum vero jussum τοὺς φόρους ἐκλέγειν; item Susianæ satrapam Abuliten, φρούραρχον Mazaron, στρατηγὸν Archelaum narrat.

καὶ στρατηγὸν δὲ] Sæpissime hac formula utitur Xenophon continuandæ narrationis. Weiske h. l. intelligit, quasi dictum esset καὶ ἧς ἀρχῆς στρατηγὸν &c. Rectius monet Zeune, ἐποίησε—ἀπέδειξε vertenda esse *fecerat —constituerat*. Cf. infra cap. ix. 7. ubi est στρατηγὸς δὲ καὶ πάντων ἀπεδείχθη.

Καστωλοῦ] Margo Steph. Καστάλου, Villois. Καστάλου. Stephanus Byz. Καστωλοῦ πεδίον Δωριέων, ὡς Ξενοφῶν· ἐκλήθη δὲ, ὅτι Καστωλοὺς τοὺς Δωριεῖς οἱ Λυδοὶ φασιν· ἦν δὲ πόλις ἐν Λυδίᾳ Καστωλός. Vide annotata ad Hellenica i. 4. p. 26. Quod posuit ad h. l. Weiske, collectum ex com-

ἀθροίζονται. Ἀναβαίνει οὖν ὁ Κῦρος, λαβὼν Τισσα-
φέρνην ὡς φίλον· καὶ τῶν Ἑλλήνων δὲ ἔχων ὁπλίτας
ἀνέβη τριακοσίους, ἄρχοντα δὲ αὐτῶν Ξενίαν Παῤῥάσιον.
Ἐπειδὴ δὲ ἐτελεύτησε Δαρεῖος, καὶ κατέστη εἰς τὴν 3
βασιλείαν Ἀρταξέρξης, Τισσαφέρνης διαβάλλει τὸν Κῦ-
ρον πρὸς τὸν ἀδελφὸν, ὡς ἐπιβουλεύοι αὐτῷ. Ὁ δὲ πεί-
θεταί τε καὶ συλλαμβάνει Κῦρον, ὡς ἀποκτενῶν· ἡ δὲ
μήτηρ, ἐξαιτησαμένη αὐτὸν, ἀποπέμπει πάλιν ἐπὶ τὴν
ἀρχήν. Ὁ δ', ὡς ἀπῆλθε κινδυνεύσας καὶ ἀτιμα- 4
σθεὶς, βουλεύεται, ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελ-
φῷ, ἀλλ', ἢν δύνηται, βασιλεύσει ἀντ' ἐκείνου. Παρύ-
σατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε τῷ Κύρῳ, φιλοῦσα αὐτὸν
μᾶλλον, ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην. Ὅστις δ' 5
ἀφικνεῖτο τῶν παρὰ βασιλέως πρὸς αὐτὸν, πάντας οὕτω
διατιθεὶς ἀπεπέμπετο, ὥσθ' ἑαυτῷ μᾶλλον φίλους εἶ-
ναι ἢ βασιλεῖ. Καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβάρων ἐπε-
μελεῖτο, ὡς πολεμεῖν τε ἱκανοὶ εἴησαν, καὶ εὐνοϊκῶς

paratione locorum infra cap. ii. 11, ix. 7. Histor. Gr. i. 4, 3. Cyrop. ii. 1, 5. vi. 2, 11. constituta fuisse singulis Persarum provinciis certa loca campestria, ubi bello instante copiæ militares convenirent, ut commodius explicatæ recenserentur, reperio jam antea positum a Celeb. *Heeren, Ideen* tom. ii. p. 486.

Τισσαφέρνην ὡς φίλον] Brevitatem in dictione, quæ falsitatem hominis arguit, miratur Aristides. Apud Plutarchum Τισαφέρνης homo vocatur.

3. κατέστη] Reluctante tamen Darii uxore Parysatide, uti docet Plutarchus c. 2. et Anonymus Suidæ in verbo παραιτεῖσθαι. Tissaphernis calumnias copiosius enarrat Plutarchus.

ἀποπέμπει] Anonymus Suidæ l. c. ὁ δὲ ἀναιρεῖν μέλλων αὐτὸν ἀφῆκε Παρυσάτιδος παραιτησαμένης αὐτὸν καὶ τὴν σατραπείαν αὐτῷ φυλαξάσης.

4. ἐπὶ τῷ] Liber Eton. ὑπὸ τῷ habet. Deinceps δυνήσεται Edd. vett. habent, δυνήσηται rectius Guelf. δύνηται cum Steph. margo Villois. habet.

ἡ μήτηρ] Articulum ex Codd. Brodæi, Paris. Eton. Guelf. margine Villois. restituit Zeune.

ὑπῆρχε] Zeunianus Index interpretatur *præsto esse, non deesse, favere,* h. l. et ii. 2, 11. v. 6, 23. vii. 1, 27. Sed hujus loci est plane diversa ratio à reliquis. Significat enim verbum h. l. *partibus et consiliis ejus favebat.* Cf. Wyttenb. ad Eclogas historicas p. 382.

5. τῶν παρὰ βασιλέως] Inprimis ἐφόδους intelligi qui dicuntur Cyrop. viii. 6, 16. comparato Œcon. iv. 6. monet Zeune.

ἀπεπέμπετο] Ita margo Steph. et Villois. cum Codice Paris. Vulgo omnes ἀνεπέμπετο habent ineptum.

εἴησαν] Aristides tom. ii. p. 521. ex h. l. posuit εἶεν, quam formam, quamvis magis Atticam, tamen Xenophonteam non esse, cum Ruhnkenio ad Memorab. i. 4, 19. monet

6 ἔχοιεν αὐτῷ. Τὴν δὲ Ἑλληνικὴν δύναμιν ἤθροιζεν, ὡς
μάλιστα ἐδύνατο ἐπικρυπτόμενος, ὅπως ὅτι ἀπαρασκευ-
αστότατον λάβοι βασιλέα. Ὧδε οὖν ἐποιεῖτο τὴν συλ-
λογήν· ὁπόσας εἶχε φυλακὰς ἐν ταῖς πόλεσι, παρήγ-
γειλε τοῖς φρουράρχοις ἑκάστοις, λαμβάνειν ἄνδρας
Πελοποννησίους ὅτι πλείστους καὶ βελτίστους, ὡς ἐπι-
βουλεύοντος Τισσαφέρνους ταῖς πόλεσι. Καὶ γὰρ ἦσαν
αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους τὸ ἀρχαῖον, ἐκ βασι-
λέως δεδομέναι· τότε δ' ἀπέστησαν πρὸς Κῦρον πᾶσαι,
7 πλὴν Μιλήτου. Ἐν Μιλήτῳ δ' ὁ Τισσαφέρνης, προαι-
σθόμενος τὰ αὐτὰ ταῦτα βουλευομένους, [ἀποστῆναι
πρὸς Κῦρον,] τοὺς μὲν ἀπέκτεινε, τοὺς δ' ἐξέβαλεν. Ὁ
δὲ Κῦρος, ὑπολαβὼν τοὺς φεύγοντας, συλλέξας στράτευ-
μα, ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θά-
λατταν, καὶ ἐπειρᾶτο κατάγειν τοὺς ἐκπεπτωκότας.
Αὕτη οὖν ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στρά-
8 τευμα. Πρὸς δὲ βασιλέα πέμπων, ἠξίου, ἀδελφὸς ὢν

Porson. Scilicet Grammaticus Sangermannensis a Ruhnkenio inspectus habet εἴησαν ἀντὶ τοῦ εἶεν· Ξενοφῶν Ἀπομνημονευμάτων α'. Vulgaris forma est etiam in Symposio v. 5. et ἤμην pro Attico ἦν Cyrop. vi. p. 149. E. Hæc Ruhnkenius l. c. Attici εἶεν frequentant in transitione ad aliam orationis partem.

6. ἀπαρασκευαστότατον] Margo Steph. Villois. et liber Paris. ἀπαρασκευότατον dant, quæ forma est in Memorab. iii. 4, 17. Cyrop. vii. 5, 25. Tamen ἀπαρασκευαστότεροι est in Cyrop. ii. 4, 15. In loco Memorab. eandem formam dat Paris. 3.

Ὧδε οὖν] Cum Larchero ex libro Paris. vulgato ὅτε prætulit Zeune, ut sequens ὁπόσας φυλακὰς ex Eton. pro vulgato ὁπόσους—φύλακας dedit.

Πελοποννησίους] Lacedæmonii tum principatum Græciæ tenebant, iisque civitates Ionicæ plurimæ tum favebant.

ὡς ἐπιβουλεύοντος] Simulationem et prætextum significat ὡς.

αἱ Ἰωνικαὶ] Articulus ex libro Paris. et Eton. restitutus a Zeunio est. Deinceps ἀφεστήκεσαν dat margo Steph. Villois. cum Paris.

7. [ἀποστῆναι πρὸς Κῦρον] Apertam grammatici interpretationem seclusi monente Wolfio ad Leptineam p. 323. et Wyttenbachio ad Eclogas histor. Post τοὺς μὲν margo Villois. αὐτῶν inserit cum Paris. et Eton. libro.

[Verba quædam exscripsit Suidas in voc. ὑπολαβὼν, ubi verba Xenophontis hæc refert ἐπολιόρκει τὴν Μίλητον auctiora articulo τὴν, quem additum velim. *Ex Epistola.*]

κατάγειν] Suidas sub hoc verbo locum laudavit.

Αὕτη οὖν ἄλλη] Paris. Eton. αὕτη αὖ. Ita et margo Villois. sed ibidem ex alio libro annotatur καὶ αὕτη οὖν. Deinde συλλέγειν dat Eton. pro ἀθροίζειν.

αὐτοῦ, δοθῆναί οἱ ταύτας τὰς πόλεις μᾶλλον, ἢ Τισσα-
φέρνην ἄρχειν αὐτῶν· καὶ ἡ μήτηρ συνέπραττεν αὐτῷ
ταῦτα, ὥστε βασιλεὺς τῆς μὲν πρὸς ἑαυτὸν ἐπιβουλῆς
οὐκ ᾐσθάνετο, Τισσαφέρνει δὲ ἐνόμιζε πολεμοῦντα αὐτὸν
ἀμφὶ τὰ στρατεύματα δαπανᾷν· ὥστε οὐδὲν ἤχθετο
αὐτῶν πολεμούντων· καὶ γὰρ ὁ Κῦρος ἀπέπεμπε τοὺς
γιγνομένους δασμοὺς βασιλεῖ ἐκ τῶν πόλεων, ὧν ὁ Τισ-
σαφέρνης ἐτύγχανεν ἔχων.

Ἄλλο δὲ στράτευμα συνελέγετο αὐτῷ ἐν Χεῤῥονήσῳ τῇ 9
καταντιπέρας Ἀβύδου, τόνδε τὸν τρόπον. Κλέαρχος ἦν
Λακεδαιμόνιος, φυγάς· τούτῳ συγγενόμενος ὁ Κῦρος,
ἠγάσθη τε αὐτὸν, καὶ δίδωσιν αὐτῷ μυρίους δαρεικούς.
Ὁ δὲ λαβὼν τὸ χρυσίον, στράτευμα συνέλεξεν ἀπὸ τού-
των τῶν χρημάτων, καὶ ἐπολέμει, ἐκ Χεῤῥονήσου ὁρμώμε-
νος, τοῖς Θραξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι, καὶ
ὠφέλει τοὺς Ἕλληνας· ὥστε καὶ χρήματα συνεβάλλοντο
αὐτῷ εἰς τὴν τροφὴν τῶν στρατιωτῶν αἱ Ἑλλησποντικαὶ
πόλεις ἑκοῦσαι. Τοῦτο δ᾽ αὖ οὕτω τρεφόμενον ἐλάνθα-
νεν αὐτῷ τὸ στράτευμα. Ἀρίστιππος δὲ ὁ Θετταλὸς 10
ἐτύγχανε ξένος ὢν αὐτῷ, καὶ πιεζόμενος ὑπὸ τῶν οἴκοι
ἀντιστασιωτῶν, ἔρχεται πρὸς τὸν Κῦρον, καὶ αἰτεῖ αὐτὸν

8. τῆς μὲν] Ex libro Paris. Eton. margine Villois. μὲν addidit Zeune.

Τισσαφέρνει] Margo Villois. ex libro 2. Τισσαφέρνην annotavit. πολεμοῦντι deinceps Edd. vett. cum Guelf. excepta Castalionis.

ἐτύγχανεν] Zeune pro plusquamperfecto positum censebat, sed Xenophon significare voluit, Cyrum jam tum tributum ex civitatibus collectum misisse ad regem, quæ propriæ erant datæ Tissapherni.

9. τῇ καταντιπέρας] Ita vulgatum τῆς correxit Wyttenbach. τῆς ἀντιπέραν Ἠπείρου est in Hellenicis vi. 2, 9.

ἦν] Excidit verbum in Junt. et Guelf. De causa exilii compara ii. 6, 4.

Ἑλλησποντικαὶ] Margo Villois. Ἑλλησποντιακαὶ dat.

10. Ἀρίστιππος] Plato initio Menonis: νῦν δὲ οἱ Θετταλοὶ καὶ ἐπὶ σοφίᾳ θαυμάζονται, καὶ οὐχ ἥκιστα οἱ τοῦ σοῦ ἑταίρου Ἀριστίππου πολῖται τοῦ Λαρισσαίου· τούτου δὲ ἡμῖν αἴτιός ἐστι Γοργίας· ἀφικόμενος γὰρ εἰς τὴν πόλιν ἐραστὰς ἐπὶ σοφίᾳ εἴληφεν Ἀλευαδῶν τε τοὺς πρώτους, ὧν ὁ σὸς ἐραστής ἐστιν Ἀρίστιππος, καὶ τῶν ἄλλων Θετταλῶν. Ceterum post Θετταλὸς vir doctus in Actis Erudit. Lipsiens. anni 1749. p. 416. inse:i voluit ὅς. male!

αἰτεῖται] Margo Steph. Paris. Eton.

εἰς δισχιλίους ξένους, καὶ τριῶν μηνῶν μισθὸν, ὡς οὕτω
περιγενόμενος ἂν τῶν ἀντιστασιωτῶν. Ὁ δὲ Κῦρος δί-
δωσιν αὐτῷ εἰς τετρακισχιλίους, καὶ ἓξ μηνῶν μισθόν·
καὶ δεῖται αὐτοῦ, μὴ πρόσθεν καταλῦσαι πρὸς τοὺς ἀν-
τιστασιώτας, πρὶν ἂν αὐτῷ συμβουλεύσηται. Οὕτω δὲ
αὖ τὸ ἐν Θετταλίᾳ ἐλάνθανεν αὐτῷ τρεφόμενον στράτευ-
11 μα. Πρόξενον δὲ τὸν Βοιώτιον, ξένον ὄντα αὐτῷ, ἐκέ-
λευσε λαβόντα ἄνδρας ὅτι πλείστους παραγενέσθαι, ὡς
ἐπὶ Πεισίδας βουλόμενος στρατεύεσθαι, ὡς πράγματα
παρεχόντων Πεισιδῶν τῇ ἑαυτοῦ χώρᾳ. Σοφαίνετον δὲ
τὸν Στυμφάλιον, καὶ Σωκράτην τὸν Ἀχαιὸν, ξένους ὄντας
καὶ τούτους, ἐκέλευσεν ἄνδρας λαβόντας ἐλθεῖν ὅτι πλεί-

αἰτεῖ dant, quod improbans Zeune oblitus erat loci i. 3, 14. Κῦρον αἰτεῖν πλοῖα. cf. ibid. sect. 16. ἐμὲ πολλοὶ σῖτον αἰτοῦσι est in Cyrop. viii. 3, 41. αἰτεῖσθαι παρά τινος est infra i. 3, 16. et ii. 3, 18. Cyrop. I. 6, 5. δεῖσθαί τινα sequente infinitivo infra vi. 6, 31. At in Cyrop. v. 2, 13. est ἵνα σε τούτων τινὰ αἰτήσωμαι παῖδά μοι γενέσθαι. ubi tamen durum et insolens mihi videtur pronomen σε additum, quod abesse malim. Etiam Thucydides αἰτεῖσθαί τινα sequente infinitivo frequentat. Tamen Aristophanes Pluti versu 240. αἰτῶν λαβεῖν τι σμικρὸν ἀργυρίδιον dixit. Equidem hic propter similitudinem locorum in hoc libro scripturam Codd. recepi.

περιγενόμενος ἂν] Leonclavii conjecturam περιγενησόμενος ἂν sprevit etiam Hutchinson.

πρόσθεν] Edd. vett. cum Guelf. προέσθαι; margo Villois. πρόθεν et πρόσθεν annotavit.

καταλῦσαι] Intellige τὸν πόλεμον. Idem cap. 2, 1. est συναλλάττεσθαι. In Hellenicis vi. 3, 15. est πόλεμοι καταλύονται, in Herodoto viii. 140. ἀλλὰ καταλύσασθε. Polybius iii. 8. καταλύεσθαι τὸν πόλεμον. Ceterum spectant hæc ad Thessalorum dissidia, quæ obiter tangit Noster in Hellenicis ii. 3, 36. ubi Theramenem facit hæc ad Critiam loquentem: ὅτε γὰρ ταῦτα ἦν (Olympiadis $93\frac{2}{3}$) οὐ παρὼν ἐτύγχανεν, ἀλλ' ἐν Θετταλίᾳ μετὰ Προμηθέως δημοκρατίαν κατασκευασείων, καὶ τοὺς πενέστας ὥπλιζεν ἐπὶ τοὺς δεσπότας. Jamdiu antea Athenienses immiscuerant se his dissidiis Thessalorum, uti cognoscimus ex Aristophanis Vespis versu 1263. ad quem locum conferenda sunt scholia græca et ad Nubes versu 691.

11. φίλον ὄντα] Margo Steph. Villois. liber Brodæi, Paris. Eton. ξένον dederunt, quod glossema videbatur esse Zeunio; sed infra iii. 1, 4. est: ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν ξένος ὢν ἀρχαῖος. Iterum v. 3, 5. Ξενοφῶν donarium Apollini dedicat Delphis καὶ ἐπέγραψε τό, τε ἑαυτοῦ ὄνομα καὶ τὸ Προξένου,—ξένος γὰρ ἦν αὐτῷ. Diodoro Πρόξενος Θηβαῖος dicitur.

ἐπὶ Πεισίδας] ἐς habet margo Villois. Πισσίδας ubique scriptum habet Paris. cum Eton. βουλόμενον deinde Eton.

Σοφαίνετον] Is esse videtur, cujus Ἀνάβασιν Κύρου laudavit Stephanus Byzantinus sub vocabulis Καρδοῦχοι et Τάοχοι. Idem sentit Wesseling. ad Diodorum xiv. p. 664. Sophænetus si diversus in multis abiit a Xenophonte, causam forte reperies in iis, quæ de eo tradidit noster v. 8, 1.

στους, ὡς πολεμήσων Τισσαφέρνει σὺν τοῖς φυγάσι τῶν Μιλησίων. Καὶ ἐποίουν οὕτως οὗτοι.

CAP. II.

ΕΠΕΙ δ' ἐδόκει αὐτῷ ἤδη πορεύεσθαι ἄνω, τὴν μὲν πρόφασιν ἐποιεῖτο, ὡς Πεισίδας βουλόμενος ἐκβαλεῖν παντάπασιν ἐκ τῆς χώρας· καὶ ἀθροίζει ὡς ἐπὶ τούτους τό τε βαρβαρικὸν καὶ τὸ Ἑλληνικὸν ἐνταῦθα στράτευμα· καὶ παραγγέλλει τῷ τε Κλεάρχῳ, λαβόντι ἥκειν ὅσον ἦν αὐτῷ στράτευμα· καὶ τῷ Ἀριστίππῳ, συναλλαγέντι πρὸς τοὺς οἴκοι, ἀποπέμψαι πρὸς ἑαυτὸν, ὃ εἶχε στράτευμα· καὶ Ξενίᾳ τῷ Ἀρκάδι, ὃς αὐτῷ προειστήκει τοῦ ἐν ταῖς πόλεσι ξενικοῦ, ἥκειν παρήγγειλε, λαβόντα τοὺς ἄνδρας, πλὴν ὁπόσοι ἱκανοὶ ἦσαν τὰς ἀκροπόλεις φυλάττειν. Ἐκάλεσε δὲ καὶ τοὺς Μί- 2
λητον πολιορκοῦντας, καὶ τοὺς φυγάδας ἐκέλευσε σὺν αὐτῷ στρατεύεσθαι, ὑποσχόμενος αὐτοῖς, εἰ καλῶς καταπράξειεν, ἐφ' ἃ ἐστρατεύετο, μὴ πρόσθεν παύσασθαι, πρὶν αὐτοὺς καταγάγοι οἴκαδε. Οἱ δὲ ἡδέως ἐπείθοντο· (ἐπίστευον γὰρ αὐτῷ) καὶ λαβόντες τὰ ὅπλα,

Τισσαφέρνει] Hanc formam pro Τισσαφέρνῃ ex Castal. editione et Guelf. libro revocavit Zeune.

1. ἤδη] De tempore susceptæ expeditionis vide annotata ad finem extremi libri septimi.

ἐνταῦθα] *Illuc, in illum locum, ubi sunt Pisidæ*, interpretatur Zeune, quod erat ἐκεῖσε. *Illic, in sua ditione* Weiske, qui addi hoc ait subtilitatis causa: neque enim omnes omnino barbaros et Græcos, qui ubique sunt, Cyrum collegisse. Sed ita scriptum τὸ ἐνταῦθα oportebat. Nisi vocabulum est alienum, significare videtur *tum*.

παραγγέλλει] Ita liber Paris. et Eton. quod probavi cum Porsono propter bonitatem eorum librorum. Difficile enim erat definire ex ipsa oratione, quousque Xenophonti placuerit tempus præsens, quod statim variatur.

ἀποπέμψαι] Aristippus ipse non venit, sed Menonem misit.

ἐν ταῖς πόλεσι] Redi ad cap. i. sect. 6.

ἦσαν] Ex iisdem libris vulgatum εἴησαν correxi.

2. ἐκέλευσε] Edd. vett. Guelf. ἐκέλευε.

ὑποσχόμενος] Cf. infra cap. 9, 7. seqq. Deinde πράξειεν dat Eton. postea παραλαβόντες τὰ ὅπλα margo Steph.

παύσασθαι] Ne παύσεσθαι scribendum censeas, comparat Zeune locum simillimum ii. 3, 20.

3 παρῆσαν εἰς Σάρδεις. Ξενίας μὲν δὴ τοὺς ἐκ τῶν πό-
λεων λαβὼν παρεγένετο εἰς Σάρδεις, ὁπλίτας εἰς τετρα-
κισχιλίους. Πρόξενος δὲ παρῆν, ἔχων ὁπλίτας μὲν εἰς
πεντακοσίους καὶ χιλίους, γυμνῆτας δὲ πεντακοσίους·
Σοφαίνετος δὲ ὁ Στυμφάλιος, ὁπλίτας ἔχων χιλίους.
Σωκράτης δὲ ὁ Ἀχαιὸς, ὁπλίτας ἔχων ὡς πεντακοσίους·
Πασίων δὲ ὁ Μεγαρεὺς εἰς τριακοσίους μὲν ὁπλίτας, τρια-
κοσίους δὲ πελταστὰς ἔχων παρεγένετο· ἦν δὲ καὶ οὗτος
4 καὶ ὁ Σωκράτης τῶν ἀμφὶ Μίλητον στρατευομένων. Οὗ-
τοι μὲν εἰς Σάρδεις αὐτῷ ἀφίκοντο. Τισσαφέρνης δὲ,
κατανοήσας ταῦτα, καὶ μείζονα ἡγησάμενος εἶναι ἢ ὡς
ἐπὶ Πεισίδας τὴν παρασκευὴν, πορεύεται ὡς βασιλέα, ᾗ
5 ἐδύνατο τάχιστα, ἱππέας ἔχων ὡς πεντακοσίους. Καὶ
βασιλεὺς μὲν δὴ, ἐπεὶ ἤκουσε παρὰ Τισσαφέρνους τὸν
Κύρου στόλον, ἀντιπαρεσκευάζετο.

Κῦρος δὲ, ἔχων, οὓς εἶπον, ὡρμᾶτο ἀπὸ Σάρδεων· καὶ
ἐξελαύνει διὰ τῆς Λυδίας σταθμοὺς τρεῖς, παρασάγγας
εἴκοσι καὶ δύο, ἐπὶ τὸν Μαίανδρον ποταμόν. Τούτου τὸ
εὖρος δύο πλέθρα· γέφυρα δὲ ἐπῆν ἐζευγμένη πλοίοις
6 ἑπτά. Τοῦτον διαβὰς ἐξελαύνει διὰ Φρυγίας σταθμὸν
ἕνα, παρασάγγας ὀκτὼ, εἰς Κολοσσὰς, πόλιν οἰκουμένην,

παρῆσαν εἰς Σάρδεις] Ita Cod. Paris. et Eton. Vulgatum προσῄεσαν hujus ex interpretatione ortum videtur etiam Valckenario ad Herodot. p. 10.

3. εἰς τριακοσίους—πελταστὰς] Ita cum margine Steph. Villois. libro Paris. et Eton. scripsi, ubi vulgabatur εἰς ἑκτακοσίους ἔχων ἄνδρας. Sed Xenophon in reliquis ducibus genus et numerum militum distinguit.

4. εἰς Σάρδεις] Margo Villois. ἐς Σ. dat.

Τισσαφέρνης] Diodorus xiv. 11. ex Ephori libro xvii. narrat, Alcibiadem primum Cyri consilium intellectum prodidisse Pharnabazo, ideo ab hoc interfectum. Quod ex fide Ephori repetierunt Plutarchus et Cornelius Nepos in Alcibiadis vita.

5. οὓς εἶπον] Ita cum margine Steph. et Amasæi versione Welsius Hutchinson et Zeune. Vulgo erat ὡς εἶπον. Margo Villois. cum libro Eton. οὓς εἴρηκα dat.

ἐζευγμένη—ἑπτὰ] Margo Villois. ἐπεζευγμένη ex libro 2, ἔπειτα ex libro 1. et 3. annotavit.

6. Κολοσσὰς] Vulgo erat ante Zeunium Κολοσέας, Guelf. Κολάσεας. Brodæus malebat Κολασσὰς, quod ex libro 2. annotavit margo Villois. Veram scripturam habet liber Paris. et Eton. probatam jam olim a Wes-

εὐδαίμονα καὶ μεγάλην. Ἐνταῦθα ἔμεινεν ἡμέρας
ἑπτά· καὶ ἧκει Μένων ὁ Θετταλὸς, ἔχων ὁπλίτας χι-
λίους, καὶ πελταστὰς πεντακοσίους, Δόλοπας καὶ Αἰ-
νιᾶνας καὶ Ὀλυνθίους. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς 7
τρεῖς παρασάγγας εἴκοσιν εἰς Κελαινὰς, τῆς Φρυγίας
πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα
Κύρῳ βασίλεια ἦν καὶ παράδεισος μέγας, ἀγρίων θη-
ρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμ-
νάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. Διὰ μέσου
δὲ τοῦ παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πη-
γαὶ αὐτοῦ εἰσιν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ τῆς
Κελαινῶν πόλεως. Ἔστι δὲ καὶ μεγάλου βασιλέως 8
βασίλεια ἐν Κελαιναῖς ἐρυμνὰ, ἐπὶ ταῖς πηγαῖς τοῦ
Μαρσύου ποταμοῦ, ὑπὸ τῇ ἀκροπόλει· ῥεῖ δὲ καὶ οὗτος
διὰ τῆς πόλεως, καὶ ἐμβάλλει εἰς τὸν Μαίανδρον· τοῦ
δὲ Μαρσύου τὸ εὖρος εἴκοσι καὶ πέντε ποδῶν· Ἐνταῦθα
λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν, νικήσας ἐρίζοντά
οἱ περὶ σοφίας, καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ,
ὅθεν αἱ πηγαί· διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται Μαρ-

selingio et Valckenario ad Herodoti viii. 30. Ceterum Paris. καὶ εὐδαίμονα habet. Sic statim Guelf. sect. 7. habet εὐδαίμονα καὶ μεγάλην.

καὶ ἧκει] Eton. καὶ ἧκε dat. Diodoro Μένων ὁ Λαρισσαῖος est.

7. μεγάλην] Guelf. εὐδαίμονα καὶ μεγάλην dat, quem ordinem habes sect. 6.

ἐθήρευεν] Cf. Œconomici iv. 24.

πηγαὶ] Livius xxxviii. 13. *Mæander ex arce summa Celænarum ortus, media urbe decurrens.* Dio Orat. 35. p. 68. ed. Reisk. ὅτε Μαρσύας οὗτος διὰ μέσης τῆς πόλεως ὑμῶν ῥέων, ὅτε Ὄργας (Ὄρβας editur), ὅτε Μαίανδρος, &c.

8. ἐμβάλλει] Aristides ii. p. 526. ex h. l. εἰσβάλλει habet.

εὖρος] Stephanus addidit ἐστὶν, addito tamen asterisco. Idem verbum ex libro 2. annotavit margo Villois.

νικήσας ἐρίζοντα] Aristides ἐρίσαντα habet: νικήσας omittit Anonymus Galei rhetor editus post Demetrium p. 196. edit. Fischerianæ.

σοφίας] De arte musica, περὶ τέχνης Diodorus iii. 59. περὶ μουσικῆς Apollodorus i. 4, 2. Σοφία Pindaro et antiquissimis poetis ars omnis dicitur, et σοφισταὶ artifices, poetæ, musici &c.

διὰ δὲ] Anonymus l. c. δὲ omisit. Nomen fluvii Herodotus vii. 26. Καταῤῥήκτης habet. De fontibus Marsyæ et Mæandri locum Maximi Tyrii Dissert. viii. addidit Weiske. Post Alexandri M. ætatem Celænarum celebritas et magnitudo imminuta est, incolis in novam urbem haud procul conditam traductis. Cf. Curtius iii. 1. Plinius v. 29. Arriani Anab. i. 29, 2.

καλεῖται] Liber Paris. Eton. cum margine Villois. λέγεται habent.

9 σύας. Ἐνταῦθα Ξέρξης, ὅτε ἐκ τῆς Ἑλλάδος ἡττηθεὶς τῇ μάχῃ ἀπεχώρει, λέγεται οἰκοδομῆσαι ταῦτά τε τὰ βασίλεια, καὶ τὴν Κελαινῶν ἀκρόπολιν. Ἐνταῦθα ἔμεινε Κῦρος ἡμέρας τριάκοντα· καὶ ἧκε Κλέαρχος ὁ Λακεδαιμόνιος, Φυγὰς, ἔχων ὁπλίτας χιλίους, καὶ πελταστὰς Θρᾶκας ὀκτακοσίους, καὶ τοξότας Κρῆτας διακοσίους. Ἅμα δὲ καὶ Σωσίας παρῆν ὁ Συρακούσιος, ἔχων ὁπλίτας χιλίους, καὶ Σοφαίνετος ὁ Ἀρκὰς, ἔχων ὁπλίτας χιλίους. Ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγένοντο οἱ σύμπαντες, ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους.

9. ἔμεινε Κῦρος] Guelf. ἔμεινεν ὁ Κῦρος dat.

Σωσίας—χιλίους] Margo Steph. et Villois. Σωκράτης habent. Sed rectius P. Burmann ad Syllogen Inscript. post Dorvillii Sicula p. 504. et 553. nomen Siculis frequentatum, ut apparet ex numis, inscriptionibus, et Livio xxiv. 21. 25. xxv. 25. xxvi. 21. Σῶσις Xenophonti restitutum voluit. Ceterum numerum τριακοσίους ex margine Steph. et Villois. recepit Zeune in locum vulgati χιλίους, quem ipsa Xenophontis supputatio damnat, ut ait Zeune. In quo tamen eum falli, postea docebo. In libro Eton. verba hæc καὶ τοξότας Κ. δ. &c. usque ad locum καὶ Σοφαίνετος desunt.

Ἐνταῦθα Κῦρος] Margo Villois. καὶ ἐνταῦθα et ex libro 2. ἐντεῦθεν annotavit. Etiam Eton. καὶ ἐνταῦθα habet.

οἱ σύμπαντες] Margo Villois. pro his Ἕλληνες annotavit, οἱ Ἕλληνες est in Eton. et potest referri ad ἀφέλειαν Xenophontis repetitum vocabulum.

μύριοι καὶ χίλιοι] Rationes sic supputo ex sect. 3. et h. l. Advenerunt

cum Xenia ὁπλῖται -	4000
Proxeno - -	1500
Sophæneto Stymphalio	1000
Socrate - -	500
Pasione ἄνδρες (non ὁπλῖται)	700
Clearcho	1000
Sosia - - -	300
Sophæneto Arcade -	1000
Qui efficiunt summam	10,000

ὁπλιτῶν. Igitur desunt mille ὁπλῖται summæ Xenophonteæ.

Contra si rationem ineas πελταστῶν Clearchi -	800
——— γυμνήτων Proxeni -	500
——— τοξοτῶν Cretum -	200
Efficitur summa horum omnium - -	1500

A qua summa abest quarta pars, quominus efficiatur summa duorum millium, quam posuit Xenophon πελταστῶν, nempe ἀμφὶ τοὺς δισχιλίους, in qua viri docti putant peltastis annumerari sagittatores et γυμνῆτας.

Contra si cum libris optimis Pasionis copiis omnibus, quas ὁπλιτῶν in numero habuerunt viri docti, cum ἄνδρες insolito vocabulo in hac re dicantur vulgo, detraxeris quadringentos, et trecentos ὁπλίτας posueris, contra ex Sosiæ trecentis ὁπλίταις cum iisdem libris mille feceris, efficitur summa ὁπλιτῶν 10,300.

Similiter si summæ πελταστῶν cum optimis libris trecentos Pasionis peltastas addideris, efficitur summa πελταστῶν 1800. quæ multo propius abest a summa Xenophontea ἀμφὶ τοὺς δισχιλίους.

Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δέκα, εἰς Πέλτας, πόλιν οἰκουμένην. 10 Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς· ἐν αἷς Ξενίας ὁ Ἀρκὰς τὰ Λύκαια ἔθυσε, καὶ ἀγῶνα ἔθηκε· τὰ δὲ ἆθλα ἦσαν στλεγγίδες χρυσαῖ· ἐθεώρει δὲ τὸν ἀγῶνα καὶ Κῦρος. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δώδεκα εἰς Κεραμῶν

Libri scripti iique optimi in sequentibus mire variant scripturam et numeros. Stephanus post *μύριοι καὶ χίλιοι* in Codice vetere reperit scriptum, quod Larcherus in Regiis duobus, et est in Paris. Eton. et in libris 1, 2, 3. marginis Villois. *πελτασταὶ δὲ πεντακόσιοι, γυμνῆτες δὲ* (Villois. margo *δὲ* omittit) *πεντακόσιοι, Κρῆτες δὲ διακόσιοι, Θρᾶκες ὀκτακόσιοι,* (*Θρᾶκες δὲ* margo Villois.) *σύμπαντες ἀριθμὸς* (margo Villois. *ἀριθμὸν*) *μύριοι τρισχίλιοι· οἱ σύμπαντες ὁπλῖται μὲν, μύριοι χίλιοι, πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους.* In qua scriptura manifestum est postrema verba *οἱ σύμπαντες—δισχιλίους* a librario fuisse ex aliis libris in margine annotata, deinde vero ipsi orationis texto male fuisse illata. Deinde numerus Græcorum universus ponitur 13,000, qui in vulgari lectione est tantum 11,500, in nostra 12,100. Desunt igitur noningenti ad summam hujus lectionis 13,000. Sed animadvertet attentus lector in hac librorum optimorum scriptura primum *πελταστὰς* numerari *πεντακοσίους*, deinde *Θρᾶκας ὀκτακοσίους* separatim, cum in vulgari scriptura Clearchus dicatur adduxisse *καὶ πελταστὰς Θρᾶκας ὀκτακοσίους.* Nemo autem præter eum peltastas adduxisse dicitur, nisi quod optimi libri Pasionis milites 700. ita dividunt et minuunt, ut inde 300. *ὁπλίτας*, et totidem *πελταστὰς* efficiant. Itaque eo ducimur conjectura facile, ut putemus, librarium optimorum Codicum, aut ejus, unde ceteri sunt ducti, in loco de Clearchi copiis legisse scriptum *καὶ πελταστὰς διακοσίους καὶ Θρᾶκας ὀκτακοσίους.* Ita efficiuntur peltastæ 500. et Thraces separatim 800. Ita summa omnium *πελταστῶν*, si *γυμνῆτας* et *τόξοτας* eodem vocabulo comprehenderis, efficitur omnis 2000; totius vero exercitus græci 12,300. Miror equidem Interpretes, qui sedere ad rationes noluerint. Nam Zeune, ubi sect. 9. lectionem Codd. *χιλίους* pro *τριακοσίους* rejicit, causam hanc posuit, quod ea recepta numerus exercitus græci fuerit septingentis major eo, quem ipse Xenophon posuerit. Deinde ait, peltastas proprie sic dictos fuisse tantum mille et trecentos, cum Xenophon ipse sect. 9. octingentos tantum *πελταστὰς* Thraces nominet. Nam trecentos illos, quos Codices optimi Pasioni attribuunt, eos non numeravit nec agnovit omnino Zeune. Infra cap. vii. 10. *ὁπλίτας* Xenophon numerat 10,400, peltastas 2400. Plutarchus c. 6. *μισθοφόρους Ἕλληνας ὀλίγῳ τρισχιλίων καὶ μυρίων ἀποδέοντας.*

10. *Πέλτας*] Strabo libro xii. Plinius v. 27. Ptolemæus v. 2. et Stephanus Byz. Phrygiæ assignant. Cf. Mannert Geogr. Gr. et Lat. vol. vi. p. iii. p. 103.

Λύκαια] Lycæi Jovis sacra memorat Pausanias viii. cap. 38. Certamina gymnica in iis habita memorat Pindarus Olymp. ix. 145. xiii. 153. Nem. x. 89. Quorum præmium *χαλκὸν* nominat Nem. x. 84. quem Scholia *λέβητα* et *ἀσπίδα χαλκῆν* interpretantur.

στλεγγίδες] Liber Paris. cum margine Villois. *στελεγγίδες* habet. Eandem scripturam in aliis scriptorum locis etiam licet reperire. *Strigiles* vulgo h. l. interpretantur. Minor sumtus fiet, si genus tæniæ intellexeris, quo inaurato mulieres et *θεωροὶ* caput cingebant. Dixi de ea notione in Lexico Gr. sub v. *στελγίς.*

ἀγορὰν, πόλιν οἰκουμένην, ἐσχάτην πρὸς τῇ Μυσίᾳ χώρᾳ.
11 Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας τριάκοντα εἰς Καΰστρου πεδίον, πόλιν οἰκουμένην. Ἐνταῦθα ἔμεινεν ἡμέρας πέντε· καὶ τοῖς στρατιώταις ὠφείλετο μισθὸς πλέον ἢ τριῶν μηνῶν· καὶ πολλάκις ἰόντες ἐπὶ τὰς θύρας ἀπῄτουν. Ὁ δὲ ἐλπίδας λέγων διῆγε, καὶ δῆλος ἦν ἀνιώμενος· οὐ γὰρ ἦν πρὸς τοῦ Κύρου τρόπου, ἔχοντα μὴ ἀποδιδόναι.

12 Ἐνταῦθα ἀφικνεῖται Ἐπύαξα, ἡ Συεννέσιος γυνὴ, τοῦ Κιλίκων βασιλέως, παρὰ Κῦρον· καὶ ἐλέγετο Κύρῳ δοῦναι χρήματα πολλά. Τῇ οὖν στρατιᾷ τότε ἀπέδωκε Κῦρος μισθὸν τεττάρων μηνῶν. Εἶχε δὲ ἡ Κίλισσα καὶ φύλακας περὶ αὐτὴν Κίλικας καὶ Ἀσπενδίους· ἐλέγετο
13 δὲ καὶ συγγενέσθαι Κῦρον τῇ Κιλίσσῃ. Ἐντεῦθεν ἐξε-

πρὸς τῇ Μυσίᾳ] Ita libri Paris. Eton. et 1. 2. in margine Villois. Vulgo erat ἐν τῇ Μ. Cum Mysiæ fines Zeunio non videantur pertinuisse duodecim parasangas orientem versus ultra Celænas et Peltas, is conjecit Xenophontem dedisse Λυδίᾳ. Hutchinson Κεραμῶν ἀγορὰν eandem censet esse urbem, quam Plinius in Phrygia post Celænas, Colossas, Carinam et Cotyaion nominat *Ceranas* v. sect. 41. ubi Codd. Regii *Cera* dant, Harduinus *Ceretapa* intelligi putabat.

11. Καΰστρου πεδίον] Suspectum jam olim Palmerio Exercit. p. 59. quoniam urbs dicatur campus, non ultra Mæandri fontes, sed ante situs. Igitur Καστωλοῦ πεδίον corrigebat, et nomen aliquod urbis latere suspicabatur. Καΰστρου πεδίον Cyri Disciplina ii. 1, 5. in Phrygia minore juxta Hellespontum collocat, Diodorus xiv. 80. in Ionia, Stephanus Byz. Καΰστριον πεδίον τῆς Ἐφεσίας ait. Mannert in Geogr. Gr. et Lat. vol. vi. p. ii. p. 175. Κέστρου πεδίον conjecit, de Sagalasso, urbe Pisidiæ ad Cestrum sita, interpretatus.

διῆγε] Weiske cum Zeunio τὸν χρόνον intelligit. Contra Arnaud in Animadvers. p. 171. *fallebat* interpretatur, quod est ab ingenio Cyri alienum. Larcher vertit: *il tâchoit de tirer le tems en longueur.* Amasæus *spe alebat*, Leonclavius *spe proposita consolabatur.* Equidem vernaculum *hinhalten* optime convenire puto.

ἀποδιδόναι.] Liber. Eton. ἀποδοῦναι habet.

12. Ἐπύαξα] Amasæi versio *Epyanaxa* habet. Syennesis (Σεννέσιος est in Eton.) nomen pluribus regulis Cilicum commune fuit, monente Wesselingio ad Diodori xiv. 20.

Τῇ οὖν] Guelf. τῇ δ' οὖν. Sic etiam liber i. 3. in margine Villois. Sed malim scriptum τῇ γ' οὖν. Deinceps Juntina cum Guelf. ἡ Κιλίκισσα habet bis, sed sect. 16. habent omnes libri formam legitimam. Κίλισσα est in margine Villois.

καὶ φύλακας] In margine Villois. post Κιλίσσῃ annotatur καὶ φυλακὴν, quam varietatem hujus loci scripturæ puto esse. Pro αὐτὴν Stephani secunda αὑτὴν dedit.

Κῦρον] Castalio Κῦρος edidit. Se_

λαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Θύμβριον, πόλιν οἰκουμένην. Ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη ἡ Μίδου καλουμένη, τοῦ Φρυγῶν βασιλέως· ἐφ' ᾗ λέγεται Μίδας τὸ Σάτυρον θηρεῦσαι, οἴνῳ κεράσας αὐτήν. Ἐν- 14
τεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Τυριαῖον, πόλιν οἰκουμένην· ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς.

quens *συγγενέσθαι* vulgato *συγγίνεσθαι* ex Junt. et margine Steph. substituit Zeune. Paris. liber et Eton. habent *καὶ συγγενέσθαι Κῦρον τῇ Κ.* Vulgabatur antea *δὲ Κῦρον καὶ συγγενέσθαι τῇ Κ.*

13. *Θύμβριον*] Hutchinson suspicatur eandem urbem, quæ in Cyrop. vi. 2, 11. vii. 1, 44. *Θύμβραρα* vocatur. In priore loco est *Θυμβριὰ* in Guelf. margo Leoncl. ibidem *Θύμβριον* refert.

Μίδου] Midæ fontem diversum, *Innam* dictum, medium inter Mædos et Pæonas memorat Bion Athenæi p. 45. Hortos Midæ in Macedonia Herodotus viii. 138. in quibus Macedones narrabant Silenum captum fuisse. Apud Ælianum V. H. iii. 18. narratur colloquium *Μίδα τοῦ Φρυγὸς καὶ Σειληνοῦ* ex Theopompo Chio. Locum ex libro *θαυμασίων* excerptum esse apparet ex annotatione Servii ad Virgilii Eclogam vi. vers. 13. qui hoc Sileni colloquium cum Mida æmulatus est. Ita vero Servius de Theopompo: *Is enim apprehensum Silenum a Midæ regis pastoribus dicit crapula madentem et ex ea soporatum; illos dolo aggressos dormientem vinxisse, postea vinculis sponte labentibus, liberatum de rebus naturalibus et antiquis Midæ interroganti respondisse.* Dionysius Halicarnassensis in Epistola ad Pompeium p. 787. ed. Reiskii ad vitia scriptorum Theopompi refert fabulas, veluti *καὶ περὶ Σειληνοῦ τοῦ φανέντος ἐν Μακεδονίᾳ.* Eadem habet in Censura Scriptorum p. 173. Præclarus est locus Aristotelis in Eudemo apud Plutarchum Consol. ad Apollonium p. 353. ubi refert, Silenum captum Midæ (*ἐκείνῳ τῷ Μίδᾳ*) *διερωτῶντι καὶ πυνθανομένῳ, τί ποτέ ἐστι τὸ βέλτιον τοῖς ἀνθρώποις, καὶ τί τὸ πάντων αἱρετώτατον, τὸ μὲν πρῶτον οὐδὲν ἐθέλειν εἰπεῖν, ἀλλὰ σιωπᾶν ἀῤῥήτως· ἐπειδὴ δέ ποτε μόλις πᾶσαν μηχανὴν μηχανώμενος προσηγάγετο φθέγξασθαί τι πρὸς αὐτὸν, οὕτως ἀναγκαζόμενον εἰπεῖν· Δαίμονος ἐπιπόνου καὶ τύχης χαλεπῆς ἐφήμερον σπέρμα, τί με βιάζεσθε λέγειν, ἃ ὑμῖν ἄρειον μὴ γνῶναι; μετ' ἀγνοίας γὰρ τῶν οἰκείων κακῶν ἀλυπότατος ὁ βίος.* et quæ sequuntur. In quo loco vestigia apparent fabulæ a Pindaro translatæ ad Silenum cum Olympo, Marsyæ Phrygis alumno, colloquentem, ex qua Scholia ad Aristophanem Nub. vers. 223. locum hunc excerpserunt: *ὦ τάλας ἐφήμερε νήπιε, βάζεις μοι χρήματα διακομπέων.* Fabula igitur de Sileno capto ad antiquissima pertinet tempora, ut ex Pindari loco arguit etiam Heyne ad Eclogam Virgilii vi.

Midas rex Brigum fuit in Thracia juxta Macedoniam, unde cum gente migravit in Asiam et regionem Phrygiam occupavit, narrante Herodoto l. c. et Conone Photii in Narratione i. Silenus *παρὰ τὸ Βέρμιον ὄρος* in Thracia regnante Mida visus et captus ad regem deductus esse dicitur. A serioribus scriptoribus fabula ad Phrygiam fuit traducta, cujus mutationis primum hoc forte vestigium apparet in Xenophonte. Midas Orphei discipulus mysteriisque ejusdem initiatus Phrygiam religionibus implevisse dicitur a Justino xi. 7. Cf. etiam Polyænus vii. 5. Ovidius Metam. xi. 90. et Perizonius ad Æliani l. c. Fontem Midæ prope Ancyram vidit Pausanias i. 4, 5.

θηρεῦσαι—αὐτήν] Aristides p. 525. et Anonymus Galei p. 196. *θηρᾶσαι* habent. Sequens *αὐτὴν* pro vulgato *αὐτὸν*, quod est etiam in Anonymo l. c. ex Aristide, versione Amasæi et margine Steph. restituit Zeune.

14. *Τυριαῖον*] Castalio *Πυριαῖον* edidit, margo Villois. *Τύρανον* habet, Eton. *Τυραῖον*, ut Hierocles p. 672.

Καὶ λέγεται δεηθῆναι ἡ Κίλισσα Κύρου, ἐπιδεῖξαι τὸ
στράτευμα αὐτῇ· βουλόμενος οὖν ἐπιδεῖξαι, ἐξέτασιν
ποιεῖται ἐν τῷ πεδίῳ, τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων.
15 Ἐκέλευσε δὲ τοὺς Ἕλληνας, ὡς νόμος αὐτοῖς εἰς μάχην,
οὕτω ταχθῆναι καὶ στῆναι, συντάξαι δὲ ἕκαστον τοὺς
ἑαυτοῦ. Ἐτάχθησαν οὖν ἐπὶ τεττάρων· εἶχε δὲ τὸ μὲν
δεξιὸν Μένων καὶ οἱ σὺν αὐτῷ· τὸ δ᾽ εὐώνυμον, Κλέαρ-
χος καὶ οἱ ἐκείνου· τὸ δὲ μέσον, οἱ ἄλλοι στρατηγοί.
16 Ἐθεώρει οὖν ὁ Κῦρος πρῶτον μὲν τοὺς βαρβάρους, (οἱ δὲ
παρήλαυνον τεταγμένοι κατ᾽ ἴλας καὶ κατὰ τάξεις)
εἶτα δὲ τοὺς Ἕλληνας, παρελαύνων ἐφ᾽ ἅρματος, καὶ ἡ
Κίλισσα ἐφ᾽ ἁρμαμάξης. Εἶχον δὲ πάντες κράνη χαλ-
κᾶ, καὶ χιτῶνας φοινικοῦς, καὶ κνημῖδας, καὶ τὰς ἀσπί-
17 δας ἐκκεκαθαρμένας. Ἐπεὶ δὲ πάντας παρήλασε,

Strabo xiv. p. 456. Τυριάριον, sed alii libri ibi habent Τυρίκιον, Τυριαῖον et Τυριάϊον. Idem vocat urbem confinem Phrygiæ et Lycaoniæ. Esse quæ hodie dicitur *Akshehr* id est oppidum album, docere conatur *Mannert* Geogr. Gr. et Rom. vi. p. ii. p. 199.

αὐτῇ] Hoc vulgato ἑαυτῇ ex Paris. Eton. et Villois. 2. prætuli.

15. ὡς νόμος αὐτοῖς εἰς μάχην, οὕτω] Post μάχην intellige ταχθῆναι. Igitur comma, vulgo post αὐτοῖς positum, retraxi et post μάχην collocavi, quod fieri voluit et monuit in Addendis Weiske.

ἐπὶ τεττάρων] Alibi est εἰς τέτταρας, ut altitudo esset, quaternorum.

καὶ οἱ ἐκείνου] Liber Paris. cum 1, 2, 3. in margine Villois. οἱ ἐξ ἐκείνου.

16. κατ᾽ ἴλας] *Turmatim, de equitibus*, κατὰ τάξεις, *centuriatim, de peditibus.* Juntina κατ᾽ ἔλας, Aldina κατ᾽ ἴχας, verum ἴλας habet margo Villois.

φοινικοὺς] Eton. liber φοινικίους dat. Cyrop. i. 1, 2. χιτῶσι φοινικοῖς. Herodotus ix. 22. κατύπερθε τοῦ θώρηκος κιθῶνα φοινίκεον. De Laced. Repub. xi. 3. στολὴν φοινικίδα vocat. Stephanus et Welsiana φοινικοῦς habent.

ἐκκεκαθαρμένας] Margo Steph. Villois. cum libro Eton. dat ἐκκεκαλυμμένας, quod de tegumentis clypeorum intelligere oportet, quæ Græci σάγματα, ἔλυτρα dicunt. Cf. Scholia ad Aristoph. Acharn. versu 574. In loco Plutarchi, Luculli cap. 27. οὔτε θυρεοῖς ἐκκεκαθαρμένοις χρῶνται, καὶ κράνεσι γυμνοῖς—τὰ σκύτινα τῶν ὅπλων σκεπάσματα περισπάσαντες, est quidem verbum, ut videtur, eadem notione positum, qua ἐκκεκαλυμμένοις, sed in Xenophonte esset ineptum cogitare de illa significatione in recensione copiarum facta ad ostentationem. Merito igitur præfertur notio, qua verbum dicitur pro λαμπρύνειν, quod cum eo copulavit Pollux i. 149. Sed ecce Weiske suspicatur, Xenophontem scripsisse τὰς κνημῖδας ἐκκεκαθαρμένας καὶ τὰς ἀσπίδας ἐκκεκαλυμμένας. Potuisse enim κνημῖδας ex itinere fieri sordidas, clypeos vero tectos splendorem servasse. Præterea singula nomina aliquid habere adjunctum, κράνη vocabulum χαλκᾶ, ἀσπίδας aut ἐκκεκαλυμμένας, aut ἐκκεκαθαρμένας, solas κνημῖδας nude nominari, cum tamen earum

στήσας τὸ ἅρμα πρὸ τῆς φάλαγγος, πέμψας Πίγρητα
τὸν ἑρμηνέα παρὰ τοὺς στρατηγοὺς τῶν Ἑλλήνων, ἐκέ-
λευσε προβαλέσθαι τὰ ὅπλα, καὶ ἐπιχωρῆσαι ὅλην τὴν
φάλαγγα. Οἱ δὲ ταῦτα προεῖπον τοῖς στρατιώταις·
καὶ ἐπεὶ ἐσάλπιγξε, προβαλλόμενοι τὰ ὅπλα ἐπῄεσαν.
Ἐκ δὲ τούτου θᾶττον προϊόντων σὺν κραυγῇ, ἀπὸ τοῦ αὐ-
τομάτου δρόμος ἐγένετο τοῖς στρατιώταις ἐπὶ τὰς σκηνάς.
Τῶν δὲ βαρβάρων φόβος πολὺς καὶ ἄλλοις, καὶ ἥ τε 18
Κίλισσα ἔφυγεν ἐκ τῆς ἁρμαμάξης, καὶ οἱ ἐκ τῆς ἀγο-
ρᾶς, καταλιπόντες τὰ ὤνια, ἔφυγον· οἱ δ᾽ Ἕλληνες σὺν
γέλωτι ἐπὶ τὰς σκηνὰς ἦλθον. Ἡ δὲ Κίλισσα, ἰδοῦσα
τὴν λαμπρότητα καὶ τὴν τάξιν τοῦ στρατεύματος, ἐθαύ-
μαζε. Κῦρος δὲ ἥσθη, τὸν ἐκ τῶν Ἑλλήνων εἰς τοὺς
βαρβάρους φόβον ἰδών.
Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας εἴ- 19
κοσιν εἰς Ἰκόνιον, τῆς Φρυγίας πόλιν ἐσχάτην. Ἐνταῦ-

usus Græcis a temporibus inde Homericis solennis fuerit. Acumen viri docti admiror, et fere assentior.

17. φάλαγγος] Stephanus et cum eo Weiske μέσης addidit, quod ex libro 1. 2. annotavit margo Villois. sed μέσης in πάσης mutatum voluit Hutchinson.

Πίγρητα] Guelf. a prima manu Τίγρητα scriptum habet.

ἐπιχωρῆσαι] Est pro ἐπιέναι, *ad pugnam procedere*, alibi non frequentatum a Xenophonte verbum.

ἐσάλπιγξε] Intellige τις vel ὁ σαλπιγκτής. Scenæ sunt Persarum, ad quas Græci pergunt.

18. πολλοῖς τε καὶ ἄλλοις] Deest verbum ἐγένετο vel simile. In margine Steph. et libro Paris. est πολὺς καὶ ἄλλοις, quam scripturam ex libro 1, 2, 3. annotavit etiam margo Villois. Zeune vulgatam exquisitiorem pronunciat; sed ita interpositum τε abundat insolenter. Quare cum Weiskio scripturam librorum probavi.

ἐκ τῆς ἁρμαμάξης] Zeune interpretatur dictum pro ἐπὶ τῆς ἁρμ. *fugit in harmamaxa.* Addit Weiske, ita significari magnum incitantis equos nisum. Comparat etiam Zeune sequens οἱ ἐκ τῆς ἀγορᾶς, quod interpretatur dictum pro οἱ ἐν τῇ ἀγορᾷ ὄντες. Sed hæc formula non est similis. Ita enim dicendum erat καὶ ἥ τε Κίλισσα ἡ ἐκ τῆς ἁρμαμάξης ἔφυγεν.

ὤνια, ἔφυγον] Ita Paris. pro ἔφευγον. Weiske vulgatum imperfectum ita defendit: *Quæ cito facta sunt, per aoristos hic indicantur,* ἔφυγεν et καταλιπόντες; *quod autem fugere cœperunt homines e foro, id commode per imperfectum ita significatur, ut intelligas, alium post alium fugam cepisse, et diutius durasse illos discurrentium motus.*

ἐθαύμαζε] Paris. ἐθαύμασε dat. Verba τὴν λαμπρότητα καὶ omittit margo Villois.

φόβον] Edd. vett. cum Guelf. post Ἑλλήνων collocant, minus numerose.

θα ἔμεινε τρεῖς ἡμέρας. Ἐντεῦθεν διελαύνει διὰ τῆς Λυκαονίας σταθμοὺς πέντε παρασάγγας τριάκοντα. Ταύτην τὴν χώραν ἐπέτρεψε διαρπάσαι τοῖς Ἕλλησιν, ὡς πολεμίαν οὖσαν. Ἐντεῦθεν ὁ Κῦρος τὴν Κίλισσαν εἰς Κιλικίαν ἀποπέμπει τὴν ταχίστην ὁδόν· καὶ συνέπεμψεν αὐτῇ στρατιώτας, οὓς Μένων εἶχε, καὶ αὐτόν. [Μένωνα τὸν Θεσσαλόν.] Κῦρος δὲ μετὰ τῶν ἄλλων ἐξελαύνει διὰ Καππαδοκίας σταθμοὺς τέτταρας παρασάγγας εἴκοσι καὶ πέντε πρὸς Δάναν, πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς· ἐν ᾧ Κῦρος ἀπέκτεινεν ἄνδρα Πέρσην, Μεγαφέρνην, φοινικιστὴν βασίλειον, καὶ ἕτερόν τινα τῶν ὑπάρχων

19. διελαύνει] Aldinæ et Stephani ἐξελαύνει revocavit Weiske, nostrum est etiam in Guelf. et Eton.

τριάκοντα] Juntina cum Guelf. et libro Eton. τρεῖς habet, Brodæus εἴκοσι malebat, Aldinum τριάκοντα, quod prætulit Stephanus, habet etiam margo Villois.

20. εἰς Κιλικίαν] Margo Villois. τὴν ante Κιλικίαν inserit. Ceterum verba τὴν ταχίστην ὁδὸν significant, Cyrum via longiore per Cappadociam duxisse copias.

[Μένωνα τὸν Θεσσαλόν.] Hæc omissa sunt in libro Paris. Eton. et in libris 1, 2, 3. deesse annotavit margo Villois. Atque mihi etiam aliena videntur ab hoc loco, olim in margine apposita a librario. Si nunc primum nominaretur Menon, poterat addi patria; sed supra sect. 6. primum nominatur Μένων ὁ Θετταλός. Deinde, si patriam iterum addere voluisset Xenophon, videtur ea statim adjungi debuisse priori membro ita: οὓς Μένων ὁ Θετταλὸς εἶχε. Ita non licebit additamentum inutile excusatione vel prætextu simplicitatis venustæ, quæ verba multa repetere solet, defendere. Denique in exercitu Græco præter Thessalum nemo alius Meno fuisse memoratur. Quare verba seclusi.

τέτταρας] Hoc ex libro Paris. pro τέσσαρας dedit Zeune.

Δάναν] Hutchinson Ἄδανα scribendum vel intelligendum censebat. Danville suspicabatur Τύανα scribendum, ducta conjectura ex loco Strabonis xii. p. 371. ubi est καὶ τοῦ Κυρίνου (corrigit Zeune Κύρου) τὸ στρατόπεδον διὰ Τυάνων· κατὰ μέσην δὲ τὴν ὁδὸν κεῖται τὰ Τύανα. Sed locum hunc nihil huc facere et Δάνα Xenophontis esse idem oppidum, quod Ptolemæus Ταvάδαρα, seriores vero scriptores *Cocusum* appellarint, operose docere conatus est Mannert Geogr. Gr. et Rom. vi. p. ii. p. 240. seqq. et p. 263. Ceterum h. l. spectat narratio Arriani Anab. ii. 4, 3. προῆγεν ἐπὶ τὰς πύλας τῆς Κιλικίας· καὶ ἀφικόμενος ἐπὶ τὸ Κύρου τοῦ ξὺν Ξενοφῶντι στρατόπεδον ὡς κατεχομένας τὰς πύλας φύλαξιν ἰσχυραῖς εἶδε et seqq. Cf. Curtii iii. cap. 4. Alexandri ingressum per Cilicias portas definit Mannert vi. p. ii. p. 236. Quod vero idem *Cataoniam* ex Xenophontis h. l. memorat p. 222. nescio quo errore factum sit. Xenophon enim Cataoniam ignorat, describit Plutarchus Demetrii c. 48.

ἐν ᾧ] Intellige χρόνῳ. Ita cum margine Steph. Villois. libro Paris. et Eton. Weiske scripsit pro vulgato ἐν αἷς.

φοινικιστὴν] Interpretantur *purpura-*

δυνάστην, αἰτιασάμενος ἐπιβουλεύειν αὐτῷ. Ἐντεῦθεν 21
ἐπειρῶντο ἐσβάλλειν εἰς τὴν Κιλικίαν· ἡ δὲ εἰσβολὴ ἦν
ὁδὸς ἁμαξιτὸς, ὀρθία ἰσχυρῶς, καὶ ἀμήχανος εἰσελθεῖν
στρατεύματι, εἴ τις ἐκώλυεν. Ἐλέγετο δὲ καὶ Συέννεσιν
εἶναι ἐπὶ τῶν ἄκρων, φυλάττοντα τὴν εἰσβολήν· δι' ὃ
ἔμεινεν ἡμέραν ἐν τῷ πεδίῳ. Τῇ δ' ὑστεραίᾳ ἧκεν ἄγ-
γελος λέγων, ὅτι λελοιπὼς εἴη Συέννεσις τὰ ἄκρα, ἐπεὶ
ᾔσθετο τό τε Μένωνος στράτευμα, ὅτι ἤδη ἐν Κιλικίᾳ εἴη
εἴσω τῶν ὀρέων, καὶ ὅτι τριήρεις ἤκουε περιπλεούσας ἀπὸ
Ἰωνίας εἰς Κιλικίαν, Ταμὼν ἔχοντα τὰς Λακεδαιμονίων
καὶ αὐτοῦ Κύρου. Κῦρος δ' οὖν ἀνέβη ἐπὶ τὰ ὄρη, οὐδε- 22
νὸς κωλύοντος, καὶ εἷλε τὰς σκηνὰς, οὗ ἐφύλαττον οἱ

tum, alii cum Vossio *purpuræ tinctorem*, Larcherus *vexillarium*, *Porte-Etendart*, quia vexillum, quo sublato duces Græcorum sunt comprehensi a Tissapherne, dicatur φοινικὶς Diodoro xiv. 26. Hesychius vocabulum sine interpretatione posuit. In margine Villois. annotatur τινὲς δὲ ἀνέγνωσαν χρηματιστήν· cujus scripturæ auctorem ignoramus.

21. ἀμήχανος] Margo Villois. ex libro 2. ἀμήχανον, deinde ex libro 1. φυλάττων annotat. Ita Συέννεσις scriptum fuisse in eodem libro videtur. In libro Paris. est ἁμαξητός. Pro ἰσχυρῶς Suidas in ἁμαξιτὸν habet ἰσχυρά. Margo Steph. cum Eton. et Paris. Συέννεσις—φυλάττων habent. Diodorus locum accuratius definit xiv. 20. παρεγενήθη πρὸς τοὺς ὅρους τῆς Κιλικίας, καὶ τὴν πρὸς ταῖς Κιλικίαις πύλαις εἰσβολήν. Αὕτη δ' ἐστὶ στενὴ καὶ παράκρημνος, ἐπὶ σταδίους μὲν εἴκοσι (alii τετταράκοντα) παρατείνουσα· πλησίον δ' αὐτῆς ἐστιν ἐξ ἀμφοτέρων καθ' ὑπερβολὴν ὄρη μεγάλα καὶ δυσπρόσιτα· ἀπὸ δὲ τῶν ὀρῶν ἐξ ἑκατέρου μέρους τείχη κατατείνει μέχρι τῆς ὁδοῦ, καθ' ἣν ἐνῳκοδόμηνται πύλαι.

Τῇ δ' ὑστεραίᾳ] Leonclavium cum aliis δὲ omisisse monet Hutchinson.

ὅτι ἤδη] Margo Villois. ex libro 1. 3. memorat ἤδη—ἦν. Margo Steph. cum Paris. et Eton. ὅτι τὸ Μένωνος στράτευμα ἐν Κ. ἦν dant. Equidem ἤδη addidi.

Ταμὼν] Ita vulgatum Τάμων ex sect. 2. cap. 4. scripsit cum Steph. sec. et Hutchinsono Zeune, et sic margo Villois. ex libro 1. 2. Ceterum verba Ταμὼν—Κύρου ex interpretatione orta suspicatur Weiske, quamvis ea jam olim Demetrius Phalereus sect. 198. (104. meæ editionis) scripta in suo libro legerit. Causam suspicionis videtur habuisse, quod infra demum cap. 4. Xenophon memorat classem a Tamo adductam. Præterea duritiam orationis nescio quam Xenophonti obtrudere ait eos, qui post ἔχοντα demum ponunt incisum, ut accusativus τριήρεις regatur ab ἔχοντα. Ipse igitur post Κιλικίαν posuit; quo facto mollius multo περιπλεούσας jungi cum ἤκουε, et participio ἔχοντα attribui accusativum τὰς Λ. κ. α. Κ. Hæc ratio satis bene procedit, si cum Weiskio verba Ταμὼν—Κύρου abjeceris; multo vero durior est vulgata, si retinenda censueris. In utraque vero durities orationis facile apparet, quam affert omissum verbum participio ἔχοντα jungendum. Hanc igitur præcipue ob causam verba Ταμὼν—Κύρου abesse malim.

22. Κῦρος δ' οὖν] Ita cum Brodæo et libro Paris. Eton. scripsit Zeune. Vulgo enim erat Κῦρος δέ.

εἷλε τὰς σκηνὰς] Mureti V. Lect. xv.

Κίλικες. Ἐντεῦθεν δὲ κατέβαινεν εἰς πεδίον μέγα,
καλὸν καὶ ἐπίῤῥυτον, καὶ δένδρων παντοδαπῶν ἔμπλεων
καὶ ἀμπέλων· πολὺ δὲ καὶ σήσαμον καὶ μελίνην καὶ
κέγχρον καὶ πυροὺς καὶ κριθὰς φέρει. Ὄρος δ' αὐτὸ
περιέχει ὀχυρὸν καὶ ὑψηλὸν πάντη ἐκ θαλάττης εἰς θά-
λατταν.

23 Καταβὰς δὲ διὰ τούτου τοῦ πεδίου, ἤλασε σταθμοὺς
τέσσαρας παρασάγγας πέντε καὶ εἴκοσιν εἰς Ταρσοὺς,
πόλιν τῆς Κιλικίας μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα
ἦσαν τὰ Συεννέσιος βασίλεια, τοῦ Κιλίκων βασιλέως·
διὰ μέσης δὲ τῆς πόλεως ῥεῖ ποταμὸς, Κύδνος ὄνομα,
24 εὖρος δύο πλέθρων. Ταύτην τὴν πόλιν ἐξέλιπον οἱ ἐνοι-
κοῦντες, μετὰ Συεννέσιος, εἰς χωρίον ὀχυρὸν ἐπὶ τὰ ὄρη·
πλὴν οἱ τὰ καπηλεῖα ἔχοντες· ἔμειναν δὲ καὶ οἱ παρὰ
25 τὴν θάλατταν οἰκοῦντες ἐν Σόλοις καὶ ἐν Ἰσσοῖς. Ἐπύ-
αξα δὲ, ἡ Συεννέσιος γυνὴ, προτέρα Κύρου πέντε ἡμέρας
εἰς Ταρσοὺς ἀφίκετο· ἐν δὲ τῇ ὑπερβολῇ τῶν ὀρέων, τῶν
εἰς τὸ πεδίον, δύο λόχοι τοῦ Μένωνος στρατεύματος ἀπώ-

10. emendationem vulgato εἶδε recte substituit Weiske, qui tamen sequens ἐφύλαττον pro plusquamperfecto cum quibusdam aliis Interpretibus dictum censet, cum ἐφύλαττον sit de actione continua; non tum, sed semper eo in loco pro terra sua Cilices excubabant.

καλὸν] Guelf. et liber 3. in margine Villois. καὶ καλὸν habet. Eton. contra καλὸν omittit.

ἐπίῤῥυτον] Curtius iii. 4. *Campestris eadem* (Cilicia), *qua vergit ad mare, planitiem ejus crebris distinguentibus rivis. Pyramus et Cydnus inclyti amnes fluunt.* Idem locus descriptionem reliquam illustrat Xenophontis.

ἔμπλεων] Castalio ἔμπλεον edidit. Margo Steph. Villois. ex libro 1. Paris. et Eton. habent σύμπλεων.

πολὺ—μελίνην] Harpocration ex h. l. πολὸν—μέλινον posuit. Edd. vett. cum Guelf. σίσαμον habent.

23. Ταρσοὺς] Margo Steph. Villois. ex libro 1. et Eton. habent Ταρσὸν, quo numero urbem memorant Strabo, Arrianus aliique, plurali contra cum Hesychio Philostratus in vita Apollonii i. 7. vi. 34. monente Hutchinsono.

διὰ μέσης] Male liber Paris. διὰ μέσου habet. Paulo antea margo Villois. ex libro 1. οἷα ἦν, ex libro 3. οἷς ἦν annotat pro ἐνταῦθα ἦσαν.

24. ἐξέλιπον—εἰς χωρίον] Intellige ἐλθόντες. Herodotus vi. 100. ἐκλιπεῖν πὴν πόλιν εἰς τὰ ἄκρα. Plura dabit Abresch Dilucidat. Thucyd. p. 492. seqq.

ἐν Ἰσσοῖς] Guelf. ἐν omittit.

25. ὀρέων, τῶν εἰς τὸ πεδίον] Intellige καθηκόντων. Vulgatum ὀρῶν correxit Zeune ex regula apud Suidam in ἀνθέων, qui βελέων, ὀρέων, ἀνθέων et plura ejusmodi vocabula διαιρεῖν ait Xenophontem.

λοντο· οἱ μὲν ἔφασαν, ἁρπάζοντάς τι κατακοπῆναι ὑπὸ
τῶν Κιλίκων, οἱ δὲ, ὑπολειφθέντας καὶ οὐ δυναμένους
εὑρεῖν τὸ ἄλλο στράτευμα οὐδὲ τὰς ὁδοὺς εἶτα πλανω-
μένους ἀπολέσθαι· ἦσαν δὲ οὗτοι ἑκατὸν ὁπλῖται. Οἱ 26
δ᾽ ἄλλοι ἐπειδὴ ἧκον, τήν τε πόλιν τοὺς Ταρσοὺς διήρ-
πασαν, διὰ τὸν ὄλεθρον τῶν συστρατιωτῶν ὀργιζόμενοι,
καὶ τὰ βασίλεια τὰ ἐν αὐτῇ. Κῦρος δὲ, ἐπεὶ εἰσήλασεν
εἰς τὴν πόλιν, μετεπέμπετο Συέννεσιν πρὸς ἑαυτόν· ὁ δὲ
οὔτε πρότερον οὐδενί πω κρείττονι ἑαυτοῦ εἰς χεῖρας ἐλθεῖν
ἔφη, οὔτε τότε Κύρῳ ἰέναι ἤθελε, πρὶν ἡ γυνὴ αὐτὸν ἔπει-
σε, καὶ πίστεις ἔλαβε. Μετὰ δὲ ταῦτα ἐπεὶ συνεγέ- 27
νοντο ἀλλήλοις, Συέννεσις μὲν Κύρῳ ἔδωκε χρήματα
πολλὰ εἰς τὴν στρατιὰν, Κῦρος δ᾽ ἐκείνῳ δῶρα, ἃ νομί-
ζεται παρὰ βασιλεῖ τίμια, ἵππον χρυσοχάλινον καὶ
στρεπτὸν χρυσοῦν καὶ ψέλλια καὶ ἀκινάκην χρυσοῦν καὶ
στολὴν Περσικὴν, καὶ τὴν χώραν μηκέτι ἁρπάζεσθαι·
τὰ δὲ ἡρπασμένα ἀνδράποδα, ἤν που ἐντυγχάνωσιν, ἀπο-
λαμβάνειν.

CAP. III.

ΕΝΤΑΥΘ᾽ ἔμεινε Κῦρος καὶ ἡ στρατιὰ ἡμέρας εἴκο-

ἦσαν δὲ οὗτοι] Margo Villois. ex libro 2. item Paris. Eton. habent ἦσαν δ᾽ οὖν.

26. Συέννεσιν] Margo Villois. ex libro 2. articulum τὸν addit. Idem deinceps γυνὴ αὐτοῦ ex libro iii. 1. annotat. De Syennesi aliter Diodorus xiv. 20. μεταπεμπομένου δὲ αὐτὸν Κύρου καὶ τὰ πιστὰ δόντος, ἐπορεύθη πρὸς αὐτὸν καὶ τὴν ἀλήθειαν τοῦ πολέμου πυθόμενος, ὡμολόγησε συμμαχήσειν ἐπὶ τὸν Ἀρταξέρξην, καὶ τὸν ἕνα τῶν υἱῶν τῷ Κύρῳ συνεξαπέστειλε, δοὺς αὐτῷ τῶν Κιλίκων τοὺς ἱκανοὺς στρατευσομένους. πανοῦργος γὰρ ὢν τὴν φύσιν καὶ πρὸς τὸ τῆς τύχης ἄδηλον ἀρτισάμενος, τὸν ἕτερον τῶν υἱῶν ἐξέπεμψε πρὸς τὸν βασιλέα λάθρα, δηλώσοντα καὶ τὰς δυνάμεις ἐπ᾽ ἐκεῖνον ἀθροισθείσας &c.

27. παρὰ βασιλεῖ] Ita cum Paris. et Eton. scripsi pro βασιλεῦσι. Cf. Cyrop. viii. 2, 8. Verba καὶ ψέλλια καὶ ἀκινάκην χρυσοῦν ex aliquot librorum veterum consensu recepit Stephanus, et sunt in libro Paris. ubi tamen ψέλια est scriptum. Margo Villois. eadem ex libro 1. 2. 3. apposuit, in tertio tamen ψίλλα esse monens. Omittunt Edd. vett. Guelf. Eton. et Demetrius s. 139.

ἁρπάζεσθαι] Liber Paris. et Eton. ἀφαρπάζεσθαι habent.

σιν· οἱ γὰρ στρατιῶται οὐκ ἔφασαν ἰέναι τοῦ πρόσω·
ὑπώπτευον γὰρ ἤδη ἐπὶ βασιλέα ἰέναι· μισθωθῆναι δὲ
οὐκ ἐπὶ τούτῳ ἔφασαν. Πρῶτος δὲ Κλέαρχος τοὺς αὐ-
τοῦ στρατιώτας ἐβιάζετο ἰέναι· οἱ δὲ αὐτόν τε ἔβαλλον,
καὶ τὰ ὑποζύγια τὰ ἐκείνου, ἐπεὶ ἤρξατο προϊέναι.
2 Κλέαρχος δὲ τότε μὲν μικρὸν ἐξέφυγε τοῦ μὴ καταπε-
τρωθῆναι· ὕστερον δὲ, ἐπεὶ ἔγνω, ὅτι οὐ δυνήσεται βιά-
σασθαι, συνήγαγεν ἐκκλησίαν τῶν αὐτοῦ στρατιωτῶν·
καὶ πρῶτον μὲν ἐδάκρυε πολὺν χρόνον ἑστώς· (οἱ δὲ ὁρῶν-
τες ἐθαύμαζον καὶ ἐσιώπων) εἶτα ἔλεξε τοιάδε·
3 "Ἄνδρες στρατιῶται, μὴ θαυμάζετε, ὅτι χαλεπῶς
φέρω τοῖς παροῦσι πράγμασιν. Ἐμοὶ γὰρ Κῦρος ξένος
ἐγένετο, καί με, φεύγοντα ἐκ τῆς πατρίδος, τά τε ἄλλα
ἐτίμησε, καὶ μυρίους ἔδωκε δαρεικούς· οὓς ἐγὼ λαβὼν,
οὐκ εἰς τὸ ἴδιον κατεθέμην ἐμοὶ, ἀλλ' οὐδὲ καθηδυπά-
4 θησα, ἀλλ' εἰς ὑμᾶς ἐδαπάνων. Καὶ πρῶτον μὲν πρὸς
τοὺς Θρᾷκας ἐπολέμησα, καὶ ὑπὲρ τῆς Ἑλλάδος ἐτιμω-
ρούμην μεθ' ὑμῶν, ἐκ τῆς Χεῤῥονήσου αὐτοὺς ἐξελαύνων,

1. ἰέναι τοῦ πρόσω] Locum vitiosum esse puto. Unde enim genitivus τοῦ pendet? Forte fuit ποι aut πη πρόσω. Sed ecce Anabasis Arriani ii. 6, 7. ἔγνω μηκέτι Ἀλέξανδρον ἐθέλειν προϊέναι τοῦ πρόσω. Idem tamen vii. 20, 12. μέχρι μὲν τῆς νήσου ἐλθεῖν, τὸ πρόσω δὲ οὐκέτι περαιωθῆναι ἐτόλμησε, et sect. 14. οὐ μὴν ἐτόλμησέ γε τὸ πρόσω ἐλθεῖν. Quare in utroque loco, et Xenophontis et Arriani, potius τὸ πρόσω scribendum, nunc censeo. Si quis forte locum Arriani v. 24, 12. obmoverit, ubi est: ὡς δ' ἀπέγνω διώκειν τοῦ πρόσω τοὺς φεύγοντας, is sciat, ibi scribendum esse ἀπέγνω τοῦ διώκειν πρόσω. iii. 24, 4. est προκεχωρηκότα ἐς τὸ πρόσω.—Sed et libri vi. 7, 1. ᾔει τοῦ πρόσω. v. 28, 3. αὐτὸς μὲν ἰέναι ἔφη τοῦ πρόσω. v. 25, 6. ἄγειν τοῦ πρόσω. Et ecce in ipso nostro libro infra v. 4, 30. Edd. vett. cum Guelf. habebant ἐπορεύοντο τοῦ πρόσω, ubi Stephanus εἰς τὸ πρόσω edidit primus. Aliud exemplum in Arriani de Venatione libro repertum nunc non succurrit memoriæ.—Turbas militum Græcorum narrat etiam Diodorus l. c.

ἔβαλλον] λίθοις, ut sequens καταπετρωθῆναι docet.

2. τότε μὲν] Junt. Guelf. et margo Villois. omittunt μέν. In Eton. deinde est τοῦ καταπετρωθῆναι, omissa negatione μή.

3. στρατιῶται] Ad genus orationum ἐσχηματισμένον refert hanc Clearchi orationem auctor Artis sub nomine Dionysii Halic. editæ p. 302. ed. Reiskii.

4. πρὸς τοὺς] Margo Villois. ex libro 1. 2. 3. ἐπὶ annotavit. Eton. ἐς τὴν Θρᾴκην habet.

βουλομένους ἀφαιρεῖσθαι τοὺς ἐνοικοῦντας Ἕλληνας τὴν
γῆν. Ἐπειδὴ δὲ Κῦρος ἐκάλει, λαβὼν ὑμᾶς ἐπορευό-
μην, ἵνα, εἴ τι δέοιτο, ὠφελοίην αὐτὸν, ἀνθ' ὧν εὖ ἔπαθον
ὑπ' ἐκείνου. Ἐπεὶ δὲ ὑμεῖς οὐ βούλεσθε συμπορεύε- 5
σθαι, ἀνάγκη δὴ μοὶ, ἢ ὑμᾶς προδόντα τῇ Κύρου φιλίᾳ
χρῆσθαι, ἢ πρὸς ἐκεῖνον ψευσάμενον μεθ' ὑμῶν ἰέναι.
Εἰ μὲν δὴ δίκαια ποιήσω, οὐκ οἶδα· αἱρήσομαι δ' οὖν
ὑμᾶς, καὶ σὺν ὑμῖν, ὅ τι ἂν δέῃ, πείσομαι. Καὶ οὔποτ'
ἐρεῖ οὐδεὶς, ὡς ἐγὼ Ἕλληνας ἀγαγὼν εἰς τοὺς βαρβά-
ρους, προδοὺς τοὺς Ἕλληνας, τὴν τῶν βαρβάρων φιλίαν
εἱλόμην. Ἀλλὰ ἐπεὶ ὑμεῖς ἐμοὶ οὐκ ἐθέλετε πείθε- 6
σθαι, οὐδὲ ἕπεσθαι, ἐγὼ σὺν ὑμῖν ἕψομαι, καὶ ὅ τι ἂν
δέῃ, πείσομαι. Νομίζω γὰρ, ὑμᾶς ἐμοὶ εἶναι καὶ πα-
τρίδα καὶ φίλους καὶ συμμάχους, καὶ σὺν ὑμῖν μὲν ἂν
εἶναι τίμιος, ὅπου ἂν ὦ· ὑμῶν δ' ἐρημωθεὶς, οὐκ ἂν
ἱκανὸς εἶναι οἶμαι, οὔτ' ἂν φίλον ὠφελῆσαι, οὔτ' ἂν ἐχ-
θρὸν ἀλέξασθαι. Ὡς ἐμοῦ οὖν ἰόντος, ὅπῃ ἂν καὶ
ὑμεῖς, οὕτω τὴν γνώμην ἔχετε." Ταῦτα εἶπεν· οἱ δὲ στρα- 7

5. ἀνάγκη δὴ] Ita ex Guelf. et Villois. 1. 3. correxit vulgatum δὲ Zeune.

μεθ' ὑμῶν ἰέναι] Vulgatum εἶναι cum Porsono correxi.

6. οὐκ ἐθέλετε] Brodæus in libro aliquo οὐ θέλετε scriptum reperit; verba οὐδὲ ἕπεσθαι omittit Paris. et Eton.

καὶ πατρίδα] Copulam ex Paris. adjeci. Sequens ὅπου ἂν ὦ ex Paris. et Eton. recepit Zeune, probante Porsono, pro vulgato ὅπου ἐάν.

ἐρημωθεὶς] Margo Steph. Villois. Paris. Eton. ἔρημος ὤν. Idem Eton. habet: ὑμῖν οἶμαι εἶναι τίμιος—ἔρημος ὢν οὐκ ἱκανὸς οἶμαι εἶναι.

ἀλεξήσασθαι] Castalio ἀλέξασθαι edidit, quæ forma est in Cyrop. i. 5, 13. Memorab. iv. 3, 11. Sic infra vii. 7, 3. ἀλεξησόμεθα liber Brodæi, Paris. et Eton. mutant in ἀλεξόμεθα. vii. 3, 44. ὅπως—ἀλέξησθε. Iterum v. 5, 21. est ἀλέξασθαι. Infra i. 9, 11. ἔστε νικῴη καὶ τοὺς—κακῶς ποιοῦντας ἀλεξόμενος. Denique iii. 4, 33. ἀλέξασθαι est. Thucydides v. 77. ἀλεξέμεναι Laconicum dat pro ἀλέξεσθαι. Pindarus Olymp. xiii. 12. ἀλεξεῖν ὕβριν dixit pro *reprimere superbiam*, ubi tamen Paulus Stephanus rectius ἀλέξειν dedit. A forma ἀλεξέω derivata ἀλεξητὴρ et ἀλεξητήριον habet ipse Xenophon; ἀλεξήσουσαν, ἀλεξούμενος βοηθούμενος et ἀλέξησις dat Hesychius. Homerus ἀλεξέμεναι, ἀλέξασθαι, ἀλεξώμεθα frequentat, semel ἀλεξήσεις et alibi ἀλεξήσειε habet. Quare non dubitavi formam Homericam, quam etiam reliquis in locis frequentavit Xenophon, restituere.

καὶ ὑμεῖς] Copulam omissam in Edd. vett. et Guelf. addit etiam margo Villois. ex libro ii. 1. Genitivi usum post particulam ὡς illustrarunt

τιῶται, οἵ τε αὐτοῦ ἐκείνου, καὶ οἱ ἄλλοι, ταῦτα ἀκούσαντες, ὅτι οὐ φαίη παρὰ βασιλέα πορεύεσθαι, ἐπήνεσαν· παρὰ δὲ Ξενίου καὶ Πασίωνος πλείους, ἢ δισχίλιοι, λαβόντες τὰ ὅπλα καὶ τὰ σκευοφόρα, ἐστρατοπεδεύ-
8 σαντο παρὰ Κλεάρχῳ. Κῦρος δὲ, τούτοις ἀπορῶν τε καὶ λυπούμενος, μετεπέμπετο τὸν Κλέαρχον· ὁ δ' ἰέναι μὲν οὐκ ἤθελε, λάθρα δὲ τῶν στρατιωτῶν πέμπων αὐτῷ ἄγγελον, ἔλεγε θαῤῥεῖν, ὡς καταστησομένων τούτων εἰς τὸ δέον· μεταπέμπεσθαι δ' ἐκέλευεν αὐτόν· αὐτὸς δὲ οὐκ
9 ἔφη ἰέναι. Μετὰ δὲ ταῦτα συναγαγὼν τοὺς μεθ' ἑαυτοῦ στρατιώτας καὶ τοὺς προσελθόντας αὐτῷ καὶ τῶν ἄλλων τὸν βουλόμενον, ἔλεξε τοιάδε·

"Ἄνδρες στρατιῶται, τὰ μὲν δὴ Κύρου δῆλον ὅτι οὕτως ἔχει πρὸς ἡμᾶς, ὥσπερ τὰ ἡμέτερα πρὸς ἐκεῖνον· οὔτε γὰρ ἡμεῖς ἔτι ἐκείνου στρατιῶται, (ἐπεί γε οὐ συνεπό-
10 μεθα αὐτῷ) οὔτε ἐκεῖνος ἡμῖν ἔτι μισθοδότης. Ὅτι μέντοι ἀδικεῖσθαι νομίζει ὑφ' ἡμῶν, οἶδα· ὥστε καὶ, μεταπεμπομένου αὐτοῦ, οὐκ ἐθέλω ἐλθεῖν, τὸ μὲν μέγιστον, αἰσχυνόμενος, ὅτι σύνοιδα ἐμαυτῷ πάντα ἐψευσμένος αὐτόν· ἔπειτα δὲ καὶ δεδιὼς, μὴ, λαβών με, δίκην
11 ἐπιθῇ, ὧν νομίζει ὑπ' ἐμοῦ ἠδικῆσθαι. Ἐμοὶ οὖν δοκεῖ οὐχ ὥρα εἶναι ἡμῖν καθεύδειν, οὐδ' ἀμελεῖν ἡμῶν αὐτῶν,

viri docti ex nostri Cyrop. i. 6, 11. viii. 4, 27. viii. 7, 10. Addo locum Platonis Reip. x. c. 12. p. 369. ed. Ast. λέγοις ἄν, ἔφη, ὡς οὐ πολλὰ, ἀλλὰ ἥδιον ἀκούοντι. ubi Codex Regius ἀκούοντες exhibet, quod in ἀκούοντος mutandum censeo.

7. Ξενίου] Margo Villois. ex libro 3. 1. laudat Ξενίωνα. Pro παρὰ Κλ. Guelf. dat ἐπὶ Κλ.

8. τούτοις ἀπορῶν] Miror Weiskium Zeunio obsecutum vulgatam scripturam mutasse in τούτων ex Edd. vett. et Guelf. Cum Stephano facit etiam margo Villois. Quod ἀπορεῖν cum dativo jungi negat Zeune, redarguit ipse statim Xenophon i. 5, 14. ἀποροῦντες τῷ πράγματι, ubi tamen verba τῷ πρ. omittunt Edd. vett. Guelf. Eton. At habet liber Brodæi, margo Villois. et liber Paris. Thucydides v. 40. ἀποροῦντες οὖν ταῦτα οἱ Ἀργεῖοι. qui locus vereor ne vitiosus sit, quanquam Herodotus iv. 179. ἀπορέοντι τὴν ἐξαγωγὴν dixerit.

9. τοὺς μεθ' ἑαυτοῦ] Ita Paris. Eton. Vulgo est τοὺς αὐτοῦ vel αὑτοῦ. Pro τῶν ἄλλων male Guelf. τὸν ἄλλον.

10. μέγιστον—ὅτι] Juntina cum Guelf. et Eton. ὅτι τὸ μὲν μέγιστον dant. deinde ἐψευσμένος αὐτῷ Eton.

11. Ἐμοὶ—ἡμῖν] Geminatus dati-

ἀλλὰ βουλεύεσθαι, ὅ τι χρὴ ποιεῖν ἐκ τούτων. Καὶ
εἴτε μένομεν αὐτοῦ, σκεπτέον μοι δοκεῖ εἶναι, ὅπως
ἀσφαλέστατα μενοῦμεν· εἴτε δὴ δοκεῖ ἀπιέναι, ὅπως ὡς
ἀσφαλέστατα ἄπιμεν, καὶ ὅπως τὰ ἐπιτήδεια ἕξομεν·
ἄνευ γὰρ τούτων οὔτε στρατηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐ-
δέν. Ὁ δὲ ἀνὴρ πολλοῦ μὲν ἄξιος φίλος, ᾧ ἂν φίλος 12
ᾖ· χαλεπώτατος δ᾽ ἐχθρὸς, ᾧ ἂν πολέμιος ᾖ. Ἔτι δὲ
δύναμιν ἔχει καὶ πεζὴν καὶ ἱππικὴν καὶ ναυτικὴν, ἣν
πάντες ὁμοίως ὁρῶμέν τε καὶ ἐπιστάμεθα· καὶ γὰρ
οὐδὲ πόῤῥω δοκοῦμέν μοι αὐτοῦ καθέζεσθαι· ὥστε ὥρα
λέγειν, ὅ τι τις γιγνώσκει ἄριστον εἶναι." Ταῦτ᾽ εἰπὼν,
ἐπαύσατο.

Ἐκ δὲ τούτου ἀνίσταντο, οἱ μὲν ἐκ τοῦ αὐτομάτου, 13
λέξοντες, ἃ ἐγίγνωσκον· οἱ δὲ καὶ ὑπ᾽ ἐκείνου ἐγκέλευ-
στοι, ἐπιδεικνύντες, οἵα εἴη ἡ ἀπορία, ἄνευ τῆς Κύρου
γνώμης καὶ μένειν καὶ ἀπιέναι. Εἷς δὲ δὴ εἶπε, προσ- 14
ποιούμενος σπεύδειν ὡς τάχιστα πορεύεσθαι εἰς τὴν Ἑλ-
λάδα, στρατηγοὺς μὲν ἑλέσθαι ἄλλους ὡς τάχιστα, εἰ
μὴ βούλεται Κλέαρχος ἀπάγειν· τὰ δ᾽ ἐπιτήδεια ἀγο-
ράζεσθαι, (ἡ δ᾽ ἀγορὰ ἦν ἐν τῷ βαρβαρικῷ στρατεύ-

vus duri aliquid habere mihi videbatur, nec vim ullam addere orationi.

εἴτε μένομεν] Margo Steph. Villois. Cod. Paris. et Eton. ἕως γε dant. Sequens ὡς post ὅπως ex Guelf. inseruit Zeune, omisit iterum Weiske. Statim μενοῦμεν admonente Buttmanno posui pro μένωμεν.

εἴτε δὴ] Codex Brodæi, Paris. Eton. margo Steph. et Villois. εἴτε ἤδη, Guelf. εἴτε δὲ δὴ dant.

ἄπιμεν] Hoc vulgato ἀπίωμεν ex Eton. libro substitui. Futurum ita formant Attici scriptores.

12. πολλοῦ] Eton. πολλῶν. Deinde καθῆσθαι Paris. Eton. cum libro 1. 3. marginis Villois. contra 2. habet καθίσθαι.

13. ἐγκέλευστοι] *Clam compositi et instructi* interpretatur Weiske, comparans ex Cyrop. v. 5, 39. ubi est οἱ μὲν αὐτοὶ καθ᾽ ἑαυτοὺς, οἱ δὲ πλεῖστοι ὑπὸ Κύρου ἐγκέλευστοι. Præterea ἐγκελεύειν ταῖς κυσὶ, *incitare canes*, comparans, ait id non fieri magno clamore, sed submissa voce et quasi clam, ne aper exaudiat. Vereor, ne nimis subtiliter hæc disputentur.

ἡ ἀπορία] Ex libro 2. marginis Villois. adjeci articulum ἡ. Infinitivum χρῆσθαι cum verbo ἀπορέω junxit Xenophon Œconom. viii. 10. *laborare in usu* vel *de usu*.

14. ἑλέσθαι] Intellige εἶπε δεῖν hic et in sequentibus. Oratio ipsa est ironica, et orator agit Clearchi ipsius partes.

ἡ δ᾽ ἀγορὰ] Compara cap. v. sect. 6.

ματι) καὶ συσκευάζεσθαι· ἐλθόντας δὲ Κῦρον αἰτεῖν πλοῖα, ὡς ἀποπλέοιεν· ἐὰν δὲ μὴ διδῷ ταῦτα, ἡγεμόνα αἰτεῖν Κῦρον, ὅστις [ὡς] διὰ φιλίας τῆς χώρας ἀπάξει. ἐὰν δὲ μηδὲ ἡγεμόνα διδῷ, συντάττεσθαι τὴν ταχίστην· πέμψαι δὲ καὶ προκαταληψομένους τὰ ἄκρα, ὅπως μὴ φθάσωσι μήτε ὁ Κῦρος, μήτε οἱ Κίλικες καταλαβόντες, ὧν πολλοὺς καὶ πολλὰ χρήματα ἔχομεν ἡρπακότες. Οὗτος μὲν δὴ τοιαῦτα εἶπε· μετὰ δὲ τοῦτον Κλέαρχος
15 εἶπε τοσοῦτον. "Ὡς μὲν στρατηγήσοντα ἐμὲ ταύτην τὴν στρατηγίαν, μηδεὶς ὑμῶν λεγέτω· (πολλὰ γὰρ ἐνορῶ, δι' ἃ ἐμοὶ τουτο οὐ ποιητέον) ὡς δὲ τῷ ἀνδρὶ, ὃν ἂν ἕλησθε, πείσομαι ᾗ δυνατὸν μάλιστα· ἵνα εἰδῆτε, ὅτι καὶ ἄρχεσθαι ἐπίσταμαι, ὥς τις καὶ ἄλλος μάλιστα ἀν-
16 θρώπων." Μετὰ δὲ τοῦτον ἄλλος ἀνέστη, ἐπιδεικνὺς μὲν τὴν εὐήθειαν τοῦ τὰ πλοῖα αἰτεῖν κελεύοντος, ὥσπερ πάλιν τὸν στόλον Κύρου μὴ ποιουμένου· ἐπιδεικνὺς δὲ, ὡς

ἐλθόντας] Liber Paris. ἐλθόντα habet.

ὅστις [ὡς] διὰ φιλίας] Cum Paris. Codex ὡς omiserit, secludendam censui particulam inutilem. Deinceps ἀποίσει dant margo Steph. Villois. Paris. Eton. Postea προσκαταλ. male est in Guelf.

φθάσωσι] Ita Steph. cum libro Brodæi, Paris. et libris 2. 1. in margine Villois. βλάψωσι dant Edd. vett. Guelf. Eton.

ἡρπακότες] Liber Paris. Eton. et 1. 2. 3. in margine Villois. dant compositum ἀνηρπακότες.

15. ὡς δὲ τῷ ἀνδρὶ] Margo Villois. ex libro 2. habet ὡς δὲ γὰρ τῷ ἀνδρί.

πείσομαι] Mureti conjectura πεισόμενον omnium maxime mihi placet propter concinnitatem orationis. Vulgata enim scriptura duram habet juncturam verborum. Quanquam similis locus erat olim in Cyrop. vi. 1, 40. ὡς πορεύσομαι οὖν, ἔφη, ἤδη νυνί· καὶ γὰρ ἴσθι (tres Codd. ἴσως habent) τοῦτο ἓν τῶν πιστῶν ἔσται. ubi Zeune scripsit: ὡς πορευσομένου οὖν—τοῦτο ἴσθι, ipse dedi: ὡς πορευσομένου οὖν, ἔφη, ἤδη νυνὶ, ἴσθι· καὶ γὰρ τοῦτο ἓν &c. Sed etiam absque sequenti ἴσθι et retento Codicum ἴσως defendi locus ille poterat exemplo Platonis in Phædro p. 156. ed. Heindorfianæ. Hoc vero in loco intellige et repete ex antecedentibus λέγετε.—Pro ἕλησθε male Paris. liber ἑλέσθαι habet.

16. πάλιν τὸν στόλον] Articulum ex libro 1. 2. 3. marginis Villois. adjeci. Deinde ποιησομένου edidit Castalio, quod ipsum conjecerat Muretus. Zeune statuit ποιουμένου futurum Atticum esse, et locum ita interpretatur: *quasi Cyrus posthæc non esset expeditionem suscepturus.* Saltem *navalem* addidisset! Weiske ita: *quasi Cyrus non retro iter per mare facturus esset.* Scilicet putabat vir doctus, eos, qui navibus vecti advenerant, in iisdem redituros fuisse in patriam. Equidem priorem rationem præfero, quoniam infra cap. 4. sect. 5. est: ταύτης οὖν ἕνεκα τῆς παρόδου Κῦρος τὰς ναῦς μετεπέμψατο, ὅπως ὁπλίτας ἀποβιβάσειεν εἴσω καὶ ἔξω τῶν πυλῶν.

“ εὔηθες εἴη, ἡγεμόνα αἰτεῖν παρὰ τούτου, ᾧ λυμαινόμεθα
τὴν πρᾶξιν. Εἰ δέ τι καὶ τῷ ἡγεμόνι πιστεύσομεν, ᾧ ἂν
Κῦρος δῷ, τί κωλύει, καὶ τὰ ἄκρα ὑμῖν κελεύειν Κῦρον
προκαταλαμβάνειν; Ἐγὼ γὰρ ὀκνοίην μὲν ἂν εἰς τὰ 17
πλοῖα ἐμβαίνειν, ἃ ἡμῖν δοίη, μὴ ἡμᾶς αὐταῖς ταῖς
τριήρεσι καταδύσῃ· φοβοίμην δ' ἂν τῷ ἡγεμόνι, ᾧ ἂν
δοίη, ἕπεσθαι, μὴ ἡμᾶς ἀγάγοι, ὅθεν οὐχ οἷόν τε ἔσται
ἐξελθεῖν· βουλοίμην δ' ἄν, ἄκοντος ἀπιὼν Κύρου, λα-
θεῖν αὐτὸν ἀπελθών· ὃ οὐ δυνατόν ἐστιν. Ἀλλ' ἔγωγε 18
φημί, ταῦτα μὲν φλυαρίας εἶναι· δοκεῖ δέ μοι, ἄνδρας
ἐλθόντας πρὸς Κῦρον, οἵτινες ἐπιτήδειοι, σὺν Κλεάρχῳ,
ἐρωτᾶν ἐκεῖνον, τί βούλεται ἡμῖν χρῆσθαι· καὶ ἐὰν μὲν ἡ
πρᾶξις ᾖ παραπλησία, οἵαπερ καὶ πρότερον ἐχρῆτο τοῖς
ξένοις, ἕπεσθαι καὶ ἡμᾶς, καὶ μὴ κακίους εἶναι τῶν
πρόσθεν τούτῳ συναναβάντων· ἐὰν δὲ μείζων ἡ πρᾶξις 19
τῆς πρόσθεν φαίνηται, καὶ ἐπιπονωτέρα, καὶ ἐπικινδυνο-

Paulo aliter Diodorus xiv. 21. ὁ δὲ Κῦρος, ἐπειδὴ διῆλθε τὴν Κιλικίαν καὶ παρεγενήθη πρὸς πόλιν Ἰσσὸν, ἐπὶ θαλάττης μὲν κειμένην, ἐσχάτην δ' οὖσαν τῆς Κιλικίας, καταπλεύσας εἰς αὐτὴν, περὶ τὸν αὐτὸν καιρὸν καὶ ὁ στόλος ὁ τῶν Λακεδαιμονίων ἐξέβησαν, quasi navibus vectus Cyrus ad urbem Issum pervenerit, quem ipsum sensum versio latina expressit. Sed locus vitiosa distinctione laborat. Scribendum enim est: Κιλικίας, καταπλεύσας εἰς αὐτὴν περὶ τὸν αὐτὸν &c. ut classis Lacedæmoniorum pervenisse Issum dicatur, eo ipso tempore, quo Cyrus ibi morabatur. Easdem naves Cyrum ad Syriam usque sequi jussisse idem Diodorus his tradit: καὶ τοὺς ναυάρχους ἐκέλευσε συμπαραπλεῖν ἁπάσαις ταῖς ναυσί. Superatis denique portis Syriis ὁ Κῦρος τὸν μὲν λοιπὸν στόλον ἀπέστειλεν ἀνακάμψαι εἰς Ἔφεσον.

ἐπεδείκνυε δὲ] Stephanus ἐπιδεικνὺς edidit, opinatus, credo, antecedens ἐπιδεικνὺς μὲν et concinnitatem hoc postulare,

Εἰ δέ τι] Eton. τι omittit, et deinceps cum Paris. et 1. 2. 3. in margine Villois. dat διδῷ.

17. Ἐγὼ γὰρ] Edd. vett. cum Guelf. ἐγὼ μὲν γὰρ ὀκνοίην ἄν.

οἷόν τε ἔσται] Liber 1. 2. 3. in margine Villois. ἔστιν dat.

λαθεῖν—ἀπελθὼν] Ita cum libro Brodæi, Paris. Eton. Guelf. Zeune, repudiata scriptura Edd. vett. λαθεῖν αὐτὸν ἀπελθεῖν, ut Stephaniana λαθὼν—ἀπελθεῖν. Margo Villois. ex libro 1. 2. annotavit ἐπελθών.

18. χρῆσθαι] Ita margo Steph. cum Paris. Eton. et libro 1. 2. in margine Villois. Vulgo erat χρήσασθαι. Deinceps vulgo κακοφώνως legebatur: κᾂν μὲν ᾖ ἡ πρᾶξις. Ego scripturam Eton. a Zeunio omissam adscivi.

πρότερον] Iidem libri cum 1. in margine Villois. dant πρόσθεν. Cum Cyro Græci trecenti profecti erant duce Xenia. Cf. i. 1, 2.

19. ἐπικινδυνοτέρα] Ita cum Edd. vett. libro Paris. et Guelf. Zeune et Weiske. ἐπικινδυνωτέρα primus induxit Stephanus, improbante etiam Porsono. Cf. ad i. 9, 6. dicenda.

τέρα, ἀξιοῦν, ἢ πείσαντα ἡμᾶς ἄγειν, ἢ πεισθέντα πρὸς φιλίαν ἀφιέναι· οὕτω γὰρ καὶ ἑπόμενοι ἂν φίλοι αὐτῷ καὶ πρόθυμοι ἑποίμεθα, καὶ ἀπιόντες, ἀσφαλῶς ἂν ἀπίοιμεν· ὅ τι δ' ἂν πρὸς ταῦτα λέγῃ, ἀπαγγεῖλαι δεῦρο· ἡμᾶς δ' ἀκούσαντας πρὸς ταῦτα βουλεύεσθαι."

20 Ἔδοξε ταῦτα, καὶ ἄνδρας ἑλόμενοι σὺν Κλεάρχῳ πέμπουσιν, οἳ ἠρώτων Κῦρον τὰ δόξαντα τῇ στρατιᾷ. Ὁ δ' ἀπεκρίνατο, ὅτι ἀκούοι Ἀβροκόμαν, ἐχθρὸν ἄνδρα, ἐπὶ τῷ Εὐφράτῃ ποταμῷ εἶναι, ἀπέχοντα δώδεκα σταθμούς· πρὸς τοῦτον οὖν ἔφη βούλεσθαι ἐλθεῖν· κἂν μὲν ᾖ ἐκεῖ, τὴν δίκην ἔφη χρήζειν ἐπιθεῖναι αὐτῷ· ἢν δὲ φεύγῃ,

21 ἡμεῖς ἐκεῖ πρὸς ταῦτα βουλευσόμεθα. Ἀκούσαντες δὲ ταῦτα οἱ αἱρετοὶ, ἀναγγέλλουσι τοῖς στρατιώταις· τοῖς δὲ ὑποψία μὲν ἦν, ὅτι ἄγει πρὸς βασιλέα, ὅμως δὲ ἐδόκει ἕπεσθαι. Προσαιτοῦσι δὲ μισθὸν ὁ Κῦρος ὑπισχνεῖται ἡμιόλιον πᾶσι δώσειν, οὗ πρότερον ἔφερον, ἀντὶ δαρεικοῦ τρία ἡμιδαρεικὰ τοῦ μηνὸς τῷ στρατιώτῃ· ὅτι δ' ἐπὶ βασιλέα ἄγοι, οὐδ' ἐνταῦθ' ἤκουεν οὐδεὶς ἔν γε τῷ φανερῷ.

πείσαντα—πεισθέντα] Edd. vett. Guelf. Eton. dant πείσαντας—πεισθέντας, sed Stephanus ex libris veteribus dedit, quod manus secunda inter versus Guelf. addidit et habet liber 1. marginis Villois. Ipse tamen Stephanus malebat μὴ πεισθέντας, quod ipsum vertisse videtur Amasæus: *aut si nobis id persuadere non potuerit.*

πρὸς φιλίαν] Inepte cum Brodæo Zeune et Weiske pro φιλικῶς dictum interpretantur, quod ipsum inest in verbo πεισθέντα, quod opponitur *invito.* Recte igitur alii vertunt *in terram pacatam*, pejus alii *in patriam.* Supra sect. 14. est ὅστις διὰ φιλίας τῆς χώρας ἀπάξει.—Deinde ἀπίεναι dat Eton. et liber 1. in margine Villois.

καὶ ἑπόμενοι] Eton. liber καὶ et sequens ἂν omisit.

Ἔδοξε ταῦτα, καὶ] Vulgatum ἔδοξε δὲ ταῦτα· καὶ ex Eton. correxi, qui δὲ omisit. Sic est sine copula ejusmodi iv. 4, 6, et 19. et sæpius alibi.

20. Ἀβροκόμαν] Margo Steph. et liber 1. in margine Villois. dat cum Isocrate in Panegyr. 39. Ἀκροκόμας. Vulgatum habet Harpocration.

21. ἀναγγέλλουσι] Simplex verbum habet Eton. et deinceps ἄγοι.

μισθὸν ὁ Κῦρος] Aldina cum libro Paris. habet ὁ δὲ Κῦρος. Ita oratio per duo cola divisa incedet. Προσαιτοῦσι δὲ μισθόν· ὁ δὲ Κῦρος ὑπισχ. et reliqua. Deinde ἡμίολον dat liber Paris.

ἔν γε τῷ φανερῷ] Margo Steph. et liber 1. 2. in margine Villois. cum Paris. et Eton. dant ἐν τῷ τότε φανερῶς, quas esse interpretationes vulgati ἐνταῦθα et ἐν τῷ φανερῷ censuit Zeune. Deinde ἤκουσε habet liber Paris.

CAP. IV.

ΕΝΤΕΥΘΕΝ ἐξελαύνει σταθμοὺς δύο παρασάγγας
δέκα ἐπὶ τὸν Σάρον ποταμὸν, οὗ ἦν τὸ εὖρος τρία πλέθρα.
Ἐντεῦθεν ἐξελαύνει σταθμὸν ἕνα παρασάγγας πέντε
ἐπὶ τὸν Πύραμον ποταμὸν, οὗ τὸ εὖρος στάδιον. Ἐντεῦ-
θεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας πεντεκαίδεκα
εἰς Ἰσσοὺς, τῆς Κιλικίας ἐσχάτην πόλιν ἐπὶ τῇ θαλάττῃ
οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα ἔμεινεν 2
ἡμέρας τρεῖς· καὶ Κύρῳ παρῆσαν αἱ ἐκ Πελοποννήσου
νῆες, τριάκοντα καὶ πέντε, καὶ ἐπ᾽ αὐταῖς ναύαρχος Πυ-
θαγόρας Λακεδαιμόνιος. Ἡγεῖτο δ᾽ αὐτῶν Ταμὼς Αἰ-
γύπτιος ἐξ Ἐφέσου, ἔχων ναῦς [ἑτέρας] Κύρου πέντε καὶ
εἴκοσιν· αἷς ἐπολιόρκει Μίλητον, ὅτε Τισσαφέρνῃ φίλη
ἦν, καὶ συνεπολέμει Κύρῳ πρὸς αὐτόν. Παρῆν δὲ καὶ 3
Χειρίσοφος ὁ Λακεδαιμόνιος ἐπὶ τῶν νεῶν, μετάπεμπτος
ὑπὸ Κύρου, ἑπτακοσίους ἔχων ὁπλίτας, ὧν ἐστρατήγει
παρὰ Κύρῳ. Αἱ δὲ νῆες ὥρμουν κατὰ τὴν Κύρου σκηνήν.

1. Σάρον] Ex consensu Strabonis, Plinii, Ptolemæi, Stephani et Procopii primus Hutchinson scripturam vulgarem Φάρον correxit. Φαρὸν dant liber 1. 2. in margine Villois. Ψάρον margo Steph. Paris. Eton. Ecce Suidas: Φάρος ποταμὸς Κιλικίας, οὗ τὸ εὖρος πλέθρων τριῶν. καὶ Πύραμος, ποταμὸς, οὗ τὸ εὖρος σταδίου, καὶ Χάλος, ποταμὸς, οὗ τὸ εὖρος πλέθρου, πλήρης ἰχθύων μεγάλων καὶ πραέων. Ultima pertinent ad sect. 9. Pronuntiatio diversa Sarum in Psarum mutavit, ut sittacum in psittacum, oppidum Σιττάκην in Ψιττάκην. Nomen hodiernum fluvii *Sechan* ex Abulfeda annotavit Mannert vol. vi. p. ii. p. 64. numorum veterum scripturam Σάρος annotavit p. 100.

Ἰσσοὺς] Diodoro Ἰσσόν. item Arriano, Xenophontis æmulo.

2. ἔμεινεν] Paris. et Eton. ἔμειναν. Deinde παρῆσαν αἱ addito articulo ex Paris. scripsi, postea ἐπ᾽ αὐταῖς pro ἐπὶ ταύταις ex eodem et Etonensi.

Πυθαγόρας] Hellenic iii. 1, 1. οἱ δ᾽ ἔφοροι Σαμίῳ τῷ τότε ναυάρχῳ ἐπέστειλαν ὑπηρετεῖν Κύρῳ, εἴ τι δέοιτο· κᾀκεῖνος—ἔχων τὸ ἑαυτοῦ ναυτικὸν σὺν τῷ Κύρου περιέπλευσεν ἐς Κιλικίαν, καὶ ἐποίησε τὸν τῆς Κιλικίας ἄρχοντα Συέννεσιν μὴ δύνασθαι κατὰ γῆν ἐναντιοῦσθαι Κύρῳ. ad quem locum vide annotata.

ναῦς [ἑτέρας]] Eton. ἑτέρας omittit; igitur seclusi.

ὅτε Τισσαφέρνῃ] Ita pro ὅτι Codex Paris. Ita mihi oratio minus difficilis procedere videbatur. ὅτε pertinet etiam ad sequens καὶ συνεπολέμει repetendus erat Ταμώς.

4. ἑπτακοσίους] Diodorus xiv. 19. et 21. ὀκτακοσίους nominat. Deinde male Edd. vett. ὥρμων dabant, ut infra sect. 6.

κατὰ τὴν Κύρου] Ita Edd. vett. Pa-

Ἐνταῦθα καὶ οἱ παρ' Ἀβροκόμα μισθοφόροι Ἕλληνες ἀποστάντες ἦλθον παρὰ Κῦρον, τετρακόσιοι ὁπλῖται, καὶ συνεστρατεύοντο ἐπὶ βασιλέα.

4 Ἐντεῦθεν ἐξελαύνει σταθμὸν ἕνα παρασάγγας πέντε ἐπὶ πύλας τῆς Κιλικίας καὶ τῆς Συρίας. Ἦσαν δὲ ταῦτα δύο τείχη· καὶ τὸ μὲν ἔσωθεν πρὸ τῆς Κιλικίας Συέννεσις εἶχε καὶ Κιλίκων φυλακή· τὸ δ' ἔξω τὸ πρὸ τῆς Συρίας βασιλέως ἐλέγετο φυλακὴ φυλάττειν. Διὰ μέσου δὲ τούτων ῥεῖ ποταμὸς, Κέρσος ὄνομα, εὖρος πλέθρου. Ἅπαν δὲ τὸ μέσον τῶν τειχῶν ἦσαν στάδιοι τρεῖς· καὶ παρελθεῖν οὐκ ἦν βίᾳ· ἦν γὰρ ἡ πάροδος στενὴ, καὶ τὰ τείχη εἰς τὴν θάλατταν καθήκοντα, ὑπερ-

ris. Guelf. παρὰ cum Stephano dedit Zeune. κατὰ est adversus, e regione. Margo Villois. ex libro 1. παρὰ annotavit.

παρὰ Κῦρον] Eton. παρὰ Κύρῳ et mox συνεστρατεύσαντο dat.

4. πύλας—Συρίας] *Inferiores maritimasque, a superioribus sive Amanicis diversas* recte interpretatur Hutchinson: contra Zeune πύλας τὰς Ἀμανικὰς ex Arriano ii. 8. comparat, easdemque a Diodoro xiv. 20. describi ait. Pessime! Cicero ad Div. xv. 4. *duo sunt aditus in Ciliciam ex Syria, quorum uterque parvis præsidiis propter angustias intercludi potest.* Plura volenti dabit Mannert vol. vi. parte i.

Ἦσαν δὲ ταῦτα] Weiskio scribendum videbatur ἦσαν δ' ἐνταῦθα. Nam non ipsa castella πύλας fuisse dicta, sed aditus angustos inter binos montes, ut in aliis regionibus. Deinde auctorem addere ἐπὶ δὲ τοῖς τείχεσιν ἐφειστήκεσαν πύλαι. Cui germanicus Interpres Halbkart ita respondit, ut appareat, eum τείχη intellexisse *castella.* In quo falsum eum esse docent verba καὶ τὰ τείχη εἰς τὴν θάλατταν καθήκοντα. Sunt igitur muri ad mare deducti et pertingentes. Atque ita apparet, conjecturam Weiskii esse vero admodum similem.

Κέρσος] Cum margine Steph. libro 1. 2. in margine Villois. Paris. et Eton. et Danvillio cive suo scripturam Κάρσος præferebat Larcherus.

εὖρος πλέθρου] Edd. vett. Guelf. Steph. πλέθρον. Cum Welsio et Hutchinsono πλέθρου scripsit Zeune. εὖρος ἦν πλέθρου Eton. habet cum margine Villois. in quo veræ lectionis vestigia latere videntur. Sic enim supra sect. 1. bis est οὗ τὸ εὖρος τρία πλέθρα—οὗ τὸ εὖρος στάδιον.— Postea ἐφεστήκεσαν dat Guelf. πέτροι est in libro 1. marginis Villois. Diodorus xiv. 20. locum ita describit: ἔστι δὲ ἡ φύσις τοῦ τόπου στενὴ καὶ παράκρημνος, ὥστε δι' ὀλίγων ῥᾳδίως παραφυλάττεσθαι. ὄρη γὰρ πλησίον ἀλλήλων κεῖται, τὸ μὲν τραχὺ καὶ κρημνοὺς ἔχον ἀξιολόγους· ἐπ' αὐτῆς δ' ἄρχεται τῆς ὁδοῦ, (μία δ' ἐστὶ τῶν περὶ τοὺς τόπους ἐκείνους,) καὶ καλεῖται μὲν Λίβανος, παρατείνει δὲ παρὰ τὴν Φοινίκην. ὁ δὲ ἀνὰ μέσον τόπος τῶν ὀρῶν, ὑπάρχων ὡς τριῶν σταδίων, παντελῶς τετειχισμένος καὶ πύλας ἔχων εἰς στενὸν συγκλειομένας. In quibus errorem in nomine Libani commissum indicavit Wesseling. Vestigia portarum reliqua descripsit Pococke Itiner. tom. ii. p. 253. Cf. Mannert Geogr. vol. vi. p. i. p. 486. p. ii. p. 49. ubi fluvium Cersum hodie a castello vicino *Merkes* vocari refert.

θεν δὲ ἦσαν πέτραι ἠλίβατοι· ἐπὶ δὲ τοῖς τείχεσιν ἀμ-
φοτέροις ἐφειστήκεσαν πύλαι. Ταύτης οὖν ἕνεκα τῆς 5
παρόδου Κῦρος τὰς ναῦς μετεπέμψατο, ὅπως ὁπλίτας
ἀποβιβάσειεν εἴσω καὶ ἔξω τῶν πυλῶν, καὶ βιασάμενοι
τοὺς πολεμίους παρέλθοιεν, εἰ φυλάττοιεν ἐπὶ ταῖς Συ-
ρίαις πύλαις· ὅπερ ᾤετο ποιήσειν τὸν Ἀβροκόμαν ὁ Κῦ-
ρος, ἔχοντα πολὺ στράτευμα. Ἀβροκόμας δὲ οὐ τοῦτο
ἐποίησεν, ἀλλ' ἐπεὶ ἤκουε Κῦρον ἐν Κιλικίᾳ ὄντα, ἀνα-
στρέψας ἐκ Φοινίκης παρὰ βασιλέα ἀπήλαυνεν, ἔχων,
ὡς ἐλέγετο, τριάκοντα μυριάδας στρατιᾶς.
Ἐντεῦθεν ἐξελαύνει διὰ Συρίας σταθμὸν ἕνα παρα- 6
σάγγας πέντε εἰς Μυρίανδρον, πόλιν οἰκουμένην ὑπὸ Φοι-
νίκων ἐπὶ τῇ θαλάττῃ· ἐμπόριον δ' ἦν τὸ χωρίον, καὶ
ὥρμουν αὐτόθι ὁλκάδες πολλαί. Ἐνταῦθ' ἔμειναν ἡμέ- 7
ρας ἑπτά· καὶ Ξενίας ὁ Ἀρκὰς στρατηγὸς καὶ Πασίων
ὁ Μεγαρεὺς, ἐμβάντες εἰς πλοῖον, καὶ τὰ πλείστου
ἄξια ἐνθέμενοι, ἀπέπλευσαν, ὡς μέντοι πλείστοις ἐδόκει,
φιλοτιμηθέντες, ὅτι τοὺς στρατιώτας αὐτῶν, παρὰ Κλέ-

5. *Ταύτης οὖν ἕνεκα τῆς*] Juntina et Guelf. *οὖν ἑκὰς τῆς παρ.* Aldina *οὕνεκα τῆς παρ.* Stephanus *ταύτης ἕνεκα τῆς* edidit, ut est in margine Villois. quem sequitur Weiske.

εἴσω καὶ ἔξω τῶν πυλῶν] Recte Weiske *εἴσω intra Ciliciam*, *ἔξω in Syriam* interpretatur, et taxat eos, qui *in vallem, intra castella* (debebant *muros*) interpretati sunt. Ita enim ipse Xenophon interpretari jubet, qui paulo antea dixerat: *τὸ μὲν ἔσωθεν πρὸ τῆς Κιλικίας—τὸ δ' ἔξω τὸ πρὸ τῆς Συρίας.* Vulgarem tamen rationem prætulit Halbkart. Sed idem recte vidit et monuit, Weiskium in eo loco plane aberrasse a vero, ubi verbum *βιασάμενοι* interpretatur *invito altero aliquid facere*, et *παρελθεῖν prætervehi navibus*, cum vulgo recte *βιασάμενοι παρελθεῖν* interpretentur *vi perrumpere aditus et intrare.* Navium et militum navibus impositorum prætervectio ad rem minime pertinebat.

βιασάμενοι] Liber 2. in margine Villois. *βιασάμενος* habet. et deinceps *παρέλθειεν, εἰ φυλάττειεν* Eton.

ἐποίησεν] Ita Eton. Paris. et margo Villois. Ante Zeunium erat *ἐποιήσατο.* Deinde *ἤκουσεν* dat Guelf. Paris. Eton. *ἄκουε* et *ἤκουσε* ex libro 1. 3. annotat margo Villois.

6. *ἐπὶ τῇ θαλάττῃ*] Ita Paris. Eton. et liber 1. 2. 3. in margine Villois. idque præferebat Brodæus vulgato *ἐν.* Arrianus ii. 6, 3. de Alexandro ex iisdem portis Syriis egresso: *δευτεραῖος δὲ ὑπερβαλὼν τὰς πύλας ἐστρατοπέδευσε πρὸς Μυριάνδρῳ πόλει.* Scylax p. 40. *Μυρίανδρος Φοινίκων.*

7. *ἐδόκει*] Ita Aldina cum Steph. *ἐδόκουν* Junt. Guelf. Paris. Eton. Deinceps Muretus *φίλοις θυμηθέντες* scriptum malebat, inani conjectura.

παρὰ Κλέαρχον] Eton. *Κλεάρχῳ*, Paris. *τοὺς παρὰ Κλέαρχον.*

αρχον ἀπελθόντας, ὡς ἀπιόντας εἰς τὴν Ἑλλάδα πάλιν,
καὶ οὐ πρὸς βασιλέα, εἴα Κῦρος τὸν Κλέαρχον ἔχειν.
Ἐπεὶ δ᾽ οὖν ἦσαν ἀφανεῖς, διῆλθε λόγος, ὅτι διώκοι αὐ-
τοὺς Κῦρος τριήρεσι· καὶ οἱ μὲν εὔχοντο, ὡς δολίους ὄντας
αὐτοὺς ληφθῆναι· οἱ δ᾽ ᾤκτειρον, εἰ ἁλώσοιντο.
8 Κῦρος δὲ, συγκαλέσας τοὺς στρατηγοὺς, εἶπεν· "Ἀπο-
λελοίπασιν ἡμᾶς Ξενίας καὶ Πασίων· ἀλλ᾽ εὖ γε μέντοι
ἐπιστάσθωσαν, ὅτι οὔτε ἀποδεδράκασιν· οἶδα γὰρ, ὅπῃ
οἴχονται· οὔτε ἀποπεφεύγασιν· ἔχω γὰρ τριήρεις, ὥστε
ἑλεῖν τὸ ἐκείνων πλοῖον. Ἀλλὰ, μὰ τοὺς θεοὺς, οὐκ
ἔγωγε αὐτοὺς διώξω· οὐδὲ ἐρεῖ οὐδεὶς, ὡς ἐγὼ, ἕως μὲν
ἂν παρῇ τις, χρῶμαι· ἐπειδὰν δὲ ἀπιέναι βούληται,
συλλαβὼν καὶ αὐτοὺς κακῶς ποιῶ, καὶ τὰ χρήματα
ἀποσυλῶ. Ἀλλὰ ἰόντων [ἂν], εἰδότες, ὅτι κακίους εἰσὶ
περὶ ἡμᾶς, ἢ ἡμεῖς περὶ ἐκείνους. Καίτοι ἔχω γε αὐτῶν
καὶ τέκνα καὶ γυναῖκας, ἐν Τράλλεσι φρουρούμενα·
ἀλλ᾽ οὐδὲ τούτων στερήσονται· ἀλλ᾽ ἀπολήψονται, τῆς
9 πρόσθεν ἕνεκα περὶ ἐμὲ ἀρετῆς." Καὶ ὁ μὲν ταῦτα εἶπεν·
οἱ δ᾽ Ἕλληνες, εἴ τις καὶ ἀθυμότερος ἦν πρὸς τὴν ἀνά-

Ἐπεὶ δ᾽ οὖν] Eton. cum libro 1. 3. marginis Villois. omittit οὖν. Deinceps διῆλθε λόγος scripsi ex Eton. pro ὁ λόγος.

διώκοι] Eton. διώκει dat. Sequens δολίους Paris. et liber 1. in margine Villois. cum margine Steph. et Guelf. a prima manu mutant in δήλους.

8. εὖ γε] Edd. vett. cum Guelf. omittunt γε. Sequens prius οὔτε ex Edd. vett. Guelf. Eton. et Ammonio p. 20. (in quo Larcherus pro εὔδηλον corrigit ἄδηλον) revocavit Zeune. οὐδὲ dedit Stephanus.

αὐτοὺς] Refertur ad τις, quod de pluribus intelligendum est.

ἰόντων ἂν] Stephanus reperit etiam scriptum ἴτωσαν; ipse ἂν abesse malebat. Paris. liber ἴτωσαν solum dat, liber 1. 2. 3. in margine Villois. ἴτωσαν ἄν. Particulam ἂν, nuspiam imperativo junctam, damnat etiam cum Porsono Zeune; hic igitur in οὖν mutandam censuit, aut prorsus delendam. Weiskium ἂν non offendit, sed is potius alicubi scriptum legisse sibi videbatur hæc verba: ἀλλὰ περὶ τούτου μὲν λεγέτω ἄν, ὅ τι τις ἐθέλει. Duo loca allata vidi, ubi ἂν videtur jungi cum imperativo. Aristophanis locum Acharn. 1200. φιλήσατόν με μαλθακῶς τὸ περιπεταστὸν κἀπιμανδαλωτὸν ἂν posuit Zeune ad Vigerum p. 486. alterum Sophoclis in Œd. Tyr. 1438. ἔδρασ᾽ ἄν, εὖ τοῦτ᾽ ἴσθ᾽ ἄν, εἰ μὴ τοῦ θεοῦ Πρώτιστ᾽ ἔχρῃζον ἐκμαθεῖν, τί πρακτέον, posuit G. Hermannus ibidem p. 782. Neuter tamen nostro plane similis esse videtur; et potius ex varietate scripturæ supra ἰόντων apposita, ita ut σαν vel solum αν appingeretur, ortum suspicor ἰόντων ἄν. Quare ἂν seclusi.

βασιν, ἀκούσαντες τὴν Κύρου ἀρετὴν, ἥδιον καὶ προθυμό-
τερον συνεπορεύοντο.

Μετὰ δὲ ταῦτα Κῦρος ἐξελαύνει σταθμοὺς τέτταρας
παρασάγγας εἴκοσιν ἐπὶ τὸν Χάλον ποταμὸν, ὄντα τὸ
εὖρος πλέθρου, πλήρη δ' ἰχθύων μεγάλων καὶ πραέων,
οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον, καὶ ἀδικεῖν οὐκ εἴων, οὐδὲ
τὰς περιστεράς. Αἱ δὲ κῶμαι, ἐν αἷς ἐσκήνουν, Παρυ-
σάτιδος ἦσαν, εἰς ζώνην δεδομέναι. Ἐντεῦθεν ἐξελαύνει 10
σταθμοὺς πέντε παρασάγγας τριάκοντα ἐπὶ τὰς πηγὰς
τοῦ Δαράδακος ποταμοῦ, οὗ τὸ εὖρος πλέθρου. Ἐν-
ταῦθα ἦσαν τὰ Βελέσιος βασίλεια, τοῦ Συρίας ἄρξαν-
τος, καὶ παράδεισος πάνυ μέγας καὶ καλὸς, ἔχων
πάντα, ὅσα ὧραι φύουσι. Κῦρος δ' αὐτὸν ἐξέκοψε, καὶ
τὰ βασίλεια κατέκαυσεν.

Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας 11
πεντεκαίδεκα ἐπὶ τὸν Εὐφράτην ποταμὸν, ὄντα τὸ εὖρος

9. ἀκούσαντες] Edd. vett. Guelf. Eton. ἀκούοντες dant. Ceterum ἄθυμος est h. l. pro ἀπρόθυμος positum. Inepte Index Zeunianus interpretabatur: *gravius tulerat expeditionem.*

Μετὰ δὲ ταῦτα] Eton. καὶ μετὰ ταῦτα dat. Sequens τέτταρας ex Paris. dedit Zeune. τέσσαρας revocavit Weiske.

ὄντα τὸ εὖρος] Suidas in v. Φάρος et Χάλος dat οὗ τὸ εὖρος πλέθρου. De piscibus sanctis apud Syros et columbis compara Diodorum ii. 4. et 20. Lucianum de Dea Syria. Fluvium Chalum esse eundem, qui Berœam urbem, *Chalep* Syris, Aleppo Francis dictam, permeat, apud Abulfedam *Kowaik* vocatum, affirmat Mannert Geogr. vol. vi. p. i. p. 516.

πραέων] Male hic et infra i. 5, 14. πρᾳέων et πρᾴως scriptum exstabat, quamvis jam Fischerus ad Wellerum ii. p. 84. solum comparativum πρᾴων, quippe ex πραΐων contractum, recte scribi cum iota monuit.

εἰς ζώνην] Vulgatum ζωὴν correxerunt Jungermann ad Pollucem vii. 67. Brodæus et Muretus ad h. l. comparatis locis Herodoti ii. 98. Platonis Alcibiade i. p. 44. Ciceronis Verrin. iii. 33. Nepotis Themistocle extremo, Athenæo i. c. 23.

10. Δαράδακος] Margo Steph. Villois. Eton. Δάρδητος, Brodæi liber et Paris. Δάρδατος. Locum fluvio in provincia Chalybonitide Ptolemæi assignat Mannert Geogr. vol. vi. p. i. p. 522.

οὗ τὸ εὖρος] Ita cum Stephano margo Villois. οὗτος εὖρος Edd. vett. Guelf. ὄντος libri Brodæi dant.

Βελέσιος] Guelf. Paris. Βελέσυος dant. Infra vii. 8, 25. sine varietate est Συρίας καὶ Ἀσσυρίας Βέλεσις. Sed in Diodoro ii. 24. et 25. ex optimis libris Wesselingius Βέλεσυν scripsit. Nominatur is Βαβυλωνίων στρατηγὸς, et ἱερέων Χαλδαίων ἐπισημότατος.

11. Εὐφράτην] Diodorus xiv. 21. ὁδοιπορήσας δ' ἡμέρας εἴκοσι, παρεγενήθη πρὸς Θάψακον πόλιν, ἣ κεῖται παρὰ τὸν ποταμὸν Εὐφράτην· ἐνταῦθα δὲ πένθ' ἡμέρας διατρίψας καὶ τὴν δύναμιν ἐξιδιοποιησάμενος ταῖς τε τῶν ἐπιτηδείων ἀφ-

τεττάρων σταδίων· καὶ πόλις αὐτόθι ὠκεῖτο μεγάλη καὶ
εὐδαίμων, Θάψακος ὀνόματι. Ἐνταῦθα ἔμειναν ἡμέ-
ρας πέντε· καὶ Κῦρος, μεταπεμψάμενος τοὺς στρατη-
γοὺς τῶν Ἑλλήνων, ἔλεγεν, ὅτι ἡ ὁδὸς ἔσοιτο πρὸς βασι-
λέα μέγαν, εἰς Βαβυλῶνα· καὶ κελεύει αὐτοὺς λέγειν
12 ταῦτα τοῖς στρατιώταις, καὶ ἀναπείθειν ἕπεσθαι. Οἱ
δὲ ποιήσαντες ἐκκλησίαν, ἀπήγγελλον ταῦτα· οἱ δὲ
στρατιῶται ἐχαλέπαινον τοῖς στρατηγοῖς, καὶ ἔφασαν,
αὐτοὺς πάλαι ταῦτα εἰδότας κρύπτειν· καὶ οὐκ ἔφασαν
ἰέναι, ἂν μή τις αὐτοῖς χρήματα διδῷ, ὥσπερ καὶ τοῖς
πρότερον μετὰ Κύρου ἀναβᾶσι παρὰ τὸν πατέρα τοῦ Κύ-
ρου· καὶ ταῦτα, οὐκ ἐπὶ μάχην ἰοῦσιν, ἀλλὰ καλοῦντος
13 τοῦ πατρὸς Κῦρον. Ταῦτα οἱ στρατηγοὶ Κύρῳ ἀπήγ-
γελλον· ὁ δ' ὑπέσχετο, ἀνδρὶ ἑκάστῳ δώσειν πέντε ἀρ-
γυρίου μνᾶς, ἐπὰν εἰς Βαβυλῶνα ἥκωσι, καὶ τὸν μισθὸν
ἐντελῆ, μέχρις ἂν καταστήσῃ τοὺς Ἕλληνας εἰς Ἰωνίαν
πάλιν. Τὸ μὲν δὴ πολὺ τοῦ Ἑλληνικοῦ οὕτως ἐπείσθη.
Μένων δὲ, πρὶν δῆλον εἶναι, τί ποιήσουσιν οἱ ἄλλοι στρα-
τιῶται, πότερον ἕψονται Κύρῳ, ἢ οὔ, συνέλεξε τὸ αὑτοῦ
στράτευμα χωρὶς τῶν ἄλλων, καὶ ἔλεξε τάδε·
14 "Ἄνδρες, ἐὰν ἐμοὶ πεισθῆτε, οὔτε κινδυνεύσαντες, οὔτε

θονίαις καὶ ταῖς ἐκ τῶν προνομῶν ὠφελείαις, συνήγαγεν ἐκκλησίαν καὶ τὴν ἀλήθειαν τῆς στρατείας ἐδήλωσε.

ἔμειναν] Guelf. ἔμεινεν vulgata suprascripta, quam sequens καὶ Κῦρος postulat, quamquam hucusque Xenophon in simili transitu ἔμεινε frequentavit.

ἕπεσθαι] Eton. omisit verbum.

12. τοῖς πρότερον] Vulgatur προτέροις, margo Villois. προτέρω habet. Sed supra iii. 18. est de eadem re πρότερον et πρόσθεν. Copulam post ὥσπερ Eton. omisit.

ἰοῦσιν] Vulgatum ἰόντων ex Eton. correxi. Contra vulgati scholion luculentum esse scripturam Etonensem censebat Zeune. Deinde τὸν Κῦρον dat margo Villois. Credo in libro fuisse τὸν Κύρου.

13. Ταῦτα—ἀπήγγελλον] Desunt hæc in Edd. vett. et Guelf. adsunt in Steph. Eton. et Paris. sed hi libri cum margine Villois. additum habent Κύρῳ, quod adscivi.

ἀνδρὶ ἑκάστῳ] Diodorus: ἐδεῖτο πάντων μὴ καταλιπεῖν ἑαυτὸν, ἐπαγγελλόμενος ἄλλας τε μεγάλας δωρεὰς, καὶ ὅτι παραγενόμενος αὐτὸς ἐς Βαβυλῶνα κατ' ἄνδρα ἕκαστον δώσει πέντε μνᾶς ἀργυρίου.

τὸ αὑτοῦ—καὶ ἔλεξε] Hæc omissa sunt in Juntina, in margine Guelf. manus secunda adjecit.

πονήσαντες, τῶν ἄλλων πλέον προτιμήσεσθε στρατιωτῶν ὑπὸ Κύρου. Τί οὖν κελεύω ποιῆσαι; Νῦν δεῖται Κῦρος ἕπεσθαι τοὺς Ἕλληνας ἐπὶ βασιλέα· ἐγὼ οὖν φημὶ, ὑμᾶς χρῆναι διαβῆναι τὸν Εὐφράτην ποταμὸν, πρὶν δῆλον εἶναι, ὅ τι οἱ ἄλλοι Ἕλληνες ἀποκρινοῦνται Κύρῳ. Ἢν μὲν γὰρ ψηφίσωνται ἕπεσθαι, ὑμεῖς δόξετε 15
αἴτιοι εἶναι, ἄρξαντες τοῦ διαβαίνειν· καὶ ὡς προθυμοτάτοις ὑμῖν οὖσι χάριν εἴσεται Κῦρος καὶ ἀποδώσει· (ἐπίσταται δ' εἴ τις καὶ ἄλλος) ἢν δ' ἀποψηφίσωνται οἱ ἄλλοι, ἄπιμεν μὲν πάντες εἰς τοὔμπαλιν· ὑμῖν δ', ὡς μόνοις πειθομένοις, πιστοτάτοις χρήσεται καὶ εἰς φρούρια καὶ εἰς λοχαγίας· καὶ ἄλλου οὗτινος ἂν δέησθε, οἶδα, ὅτι ὡς φίλοι τεύξεσθε Κύρου." Ἀκούσαντες ταῦτα 16
ἐπείθοντο καὶ διέβησαν, πρὶν τοὺς ἄλλους ἀποκρίνασθαι. Κῦρος δ' ἐπεὶ ᾔσθετο διαβεβηκότας, ἥσθη τε, καὶ τῷ στρατεύματι πέμψας Γλοῦν, εἶπεν· "Ἐγὼ μὲν, ὦ ἄνδρες, ὑμᾶς ἐπαινῶ· ὅπως δὲ καὶ ὑμεῖς ἐμὲ ἐπαινέσητε, ἐμοὶ μελήσει· ἢ μηκέτι με Κῦρον νομίζετε." Οἱ μὲν δὴ 17
στρατιῶται, ἐν ἐλπίσι μεγάλαις ὄντες, εὔχοντο αὐτὸν εὐτυχῆσαι· Μένωνι δὲ καὶ δῶρα ἐλέγετο πέμψαι μεγαλο-

14. ὑμᾶς χρῆναι] Ita Junt. Guelf. Paris. ἡμᾶς Aldina et Steph.

15. εἴ τις καὶ] Guelf. copulam omittit. Ceterum ea quæ sequuntur a verbis inde ὑμῖν δ', ὡς μόνοις, τεύξεσθε Κύρου vix suum locum obtinere puto. Potius antecessisse crediderim, et his demum subjecta fuisse illa: ἢν δ' ἀποψηφίσωνται—τοὔμπαλιν· quibus rectius oratio conclusa fuisse videtur.

λοχαγίας] Ita cum Steph. margo Villois. λοχαγωγίας Edd. vett. et Guelf.

ὡς φίλοι] Ita liber Paris. φίλα Eton. Vulgatum φίλου defendit Zeune exemplo Euripidis, ubi est τεύξομαι ταῦτα σέθεν, altero Xenophontis infra vi. 6, 32. ταῦτα δὲ σοῦ τυχόντες. Sed desidero exemplum geminati genitivi casus.

16. ἀποκρίνασθαι] Male Guelf. ἀποκρίνεσθαι dat. Deinceps διαβάντας Eton.

Γλοῦν] Eton. nomen omisit. Tami filius fuit, apud Polyænum vii. 20. Diodorum xiv. 35. xv. 3. Γλῶς vel Γάως vocatus.

ἄνδρες, ὑμᾶς] Vulgo intersertum ἤδη auctore libro Eton. ut inutile omisi.

ἐπαινέσητε] Zeune malebat ἐπαινέσετε scriptum, quod et ipse probo. Deinceps μελήσοι est in Paris.

17. μεγαλοπρεπῆ] Ita cum Aldina Steph. μεγαλοπρεπῶς Junt. Guelf. margo Steph. Paris. Eton.

πρεπῆ. Ταῦτα δὲ ποιήσας διέβαινε· συνείπετο δὲ καὶ τὸ ἄλλο στράτευμα αὐτῷ ἅπαν· καὶ τῶν διαβαινόντων τὸν ποταμὸν οὐδεὶς ἐβρέχθη ἀνωτέρω τῶν μασθῶν ὑπὸ
18 τοῦ ποταμοῦ. Οἱ δὲ Θαψακηνοὶ ἔλεγον, ὅτι οὐ πώποθ' οὗτος ὁ ποταμὸς διαβατὸς γένοιτο πεζῇ, εἰ μὴ τότε, ἀλλὰ πλοίοις· ἃ τότε Ἀβροκόμας προϊὼν κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ. Ἐδόκει δὲ θεῖον εἶναι, καὶ σαφῶς ὑποχωρῆσαι τὸν ποταμὸν Κύρῳ, ὡς βασιλεύσοντι.

19 Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Συρίας σταθμοὺς ἐννέα παρασάγγας πεντήκοντα καὶ ἀφικνοῦνται πρὸς τὸν Ἀράξην ποταμόν. Ἐνταῦθα ἦσαν κῶμαι πολλαί, μεσταὶ σίτου καὶ οἴνου. Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς, καὶ ἐπεσιτίσαντο.

CAP. V.

ΕΝΤΕΥΘΕΝ ἐξελαύνει διὰ τῆς Ἀραβίας, τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων, σταθμοὺς ἐρήμους πέντε παρασάγγας τριάκοντα καὶ πέντε. Ἐν τούτῳ δὲ τῷ τόπῳ ἦν μὲν ἡ γῆ πεδίον ἅπαν ὁμαλὸν ὥσπερ θάλαττα, ἀψινθίου δὲ πλῆρες· εἰ δέ τι καὶ ἄλλο ἐνῆν ὕλης ἢ καλάμου, ἅπαντα ἦσαν εὐώδη, ὥσπερ ἀρώματα· δένδρον

ἅπαν] Margo Villois. ἅπαντι annotavit. Deinceps μαθῶν Juntina, μαζῶν Brodæus, Edd. Halenses et Castal. nostrum est in Aldina, Steph. Guelf.

18. οὗτος ὁ ποταμὸς] Offendit Weiskium additum οὗτος, qui οὕτω scriptum malebat, quod ipsum Amasæum reddidisse censebat scribentem: *neminem ante tam facile potuisse eum amnem pedibus transmittere.*

γένοιτο] Eton. γέγονε habet. Deinceps Paris. πλοίοισιν. Ceterum idem in transeundo fluvio hoc contigisse Lucullo ex Plutarchi Vita cap. 24. annotat Zeune.

Ἐδόκει δὲ] Malim ἐδόκει δή.

1. Ἀραβίας] Mesopotamiæ partem ad meridiem versam, quam Arabes Scenitæ incolebant, teste Strabone i. p. 28. et xvi. p. 514. Iidem postea Saraceni vocati, auctore Ammiano Marcell. xxiii. 6. Cf. Mannert Geogr. v. p. 313.

ἀψινθίου] Ammianus xxv. 8. de hac ipsa regione: *cognito per porrectam planitiem in regionibus aridis nec aquam inveniri posse præter salsam et fœtidam, nec ad victum aliquid, nisi abrotanum et absinthium et dracontium* (sunt tres ejusdem generis plantæ) *aliquae herbarum genera tristissima.—Et via sex dierum emensa, cum ne gramina quidem invenirentur* &c.

καλάμου] Herba geniculos gerens, geniculatim nascens, ut frumento-

δʼ οὐδὲν ἐνῆν. Θηρία δὲ παντοῖα, πλεῖστοι μὲν ὄνοι 2
ἄγριοι, οὐκ ὀλίγαι δὲ στρουθοὶ αἱ μεγάλαι· ἐνῆσαν δὲ καὶ ὠτίδες καὶ δορκάδες· ταῦτα δὲ τὰ θηρία οἱ ἱππεῖς ἐδίωκον ἐνίοτε. Καὶ οἱ μὲν ὄνοι, ἐπεί τις διώκοι, προδραμόντες ἂν εἱστήκεσαν· (πολὺ γὰρ τοῦ ἵππου θᾶττον

rum genera. Arrianus Anab. vii. 20, 4. de Arabia: τῆς τε χώρας ἡ εὐδαιμονία ὑπεκίνει αὐτὸν &c. Sed ille de Arabia felice potius intelligendus est.

δένδρον] Castalio δένδρων edidit.

2. *Θηρία δὲ παντοῖα—μὲν ὄνοι ἄγριοι*] Ita locum correxi ex libris scriptis. Liber enim Brodæi, margo Steph. Villois. Paris. Eton. παντοῖα addunt; deinde margo Steph. Paris. Eton. πλεῖστοι μὲν ὄνοι ἄγριοι dant. Margo Villois. παντοῖα, ὄνοι ἄγριοι πολλοὶ δέ. Ibidem annotatur a libris abesse πλεῖστοι et deinceps ὀλίγαι. Vulgo erat θηρία δὲ, πλεῖστοι μὲν οἱ ἄγριοι ὄνοι. De onagris istius regionis confer Ammianum xxiv. 8. δορκάδας vocat cervos xxiv. 1. Has easdem δορκάδας intelligere videtur auctor Anonymus Augustanus MS. ab amicissimo *Matthæi* exscriptus et mecum communicatus cap. 17. Ὅτι ἐὰν διωκόμενος δόρκος μικρὸν στῇ καὶ οὐρήσῃ, πλέον τρέχει καὶ διαφεύγει. Ὅτι οἱ δόρκοι καὶ οἱ πέρδικες ἀλλήλων φίλοι εἰσίν· ὅθεν ὑπʼ ἀλλήλων διὰ τῶν θηρευτῶν ἀγρεύονται. Ὅτι ὅπου ἂν ἐκ τῆς ἀγέλης εἷς ἀποπατήσῃ, ἐκεῖ καὶ οἱ ἄλλοι· ἀγελάζονται δὲ μετὰ τῶν ὀνάγρων. Sed diversa genera hic permutata esse suspicor.

αἱ μεγάλαι] Articulum omittit margo Villois. Paulo antea Edd. vett. ὀλίγοι habent, quod vitium repetitum a Stephano et Leonclavio primus correxit Welsius. Aristoteli de Part. Anim. iv. 14. στρουθὸς ὁ Λιβυκὸς audit; Æliano de N. A. ii. 27. στρουθὸς ἡ μεγάλη, ubi locum Aristotelis παραφράζει. Item iv. 37. viii. 10. ix. 58. xiv. 7. sed xiv. 13. ex alio scriptore vocat χερσαίας στρουθούς. Vulgarem vero passerem idem μικρὸν vocat, cum Libyco nempe comparatum.

ἂν εἱστήκεσαν] Aldinam scripturam unice probandam esse recte monuit Porson. In margine Steph. Codice Paris. et Eton. est ἵστασαν, quod item cum ἂν ἑστήκεσαν habet margo Villois. Stephanus aut ἵστασαν aut ἕστασαν scribendum et cum Amasæo *restitabant* interpretandum censebat. Hutchinsoni ἐφειστήκεσαν poterat probari propter locum de Venat. v. 7. et 19. Sed Aldina scriptura significat *restitare solebant.*

τῶν ἵππων] Ita margo Steph. Villois. Paris. Eton. Deinde vulgatam πλησιάζοι ὁ ἵππος, ταὐτὰ ἐποίουν· ὥστε οὐκ ἦν λαβεῖν. iidem libri mutant in πλησιάζοιεν οἱ ἵπποι, ταὐτόν· καὶ οὐκ ἦν λ. nisi quod in margine Villois. est ὡς καὶ οὐκ ἦν λ. Ibidem ταὐτὸν et ταὐτὰ annotatur. Quominus optimorum librorum auctoritatem ubique sequerer, impediit locus Arriani de Venatione cap. 24. ubi de equis Libycis est: ἀλλὰ καὶ τοὺς ὄνους τοὺς ἀγρίους, οἳ δὴ ὠκύτητι διαφέροντές εἰσι, καὶ τῷ ἐπὶ μήκιστον ἀντέχειν θέοντες. Ὁπότε γοῦν ἐπὶ μέγαν βασιλέα ἤλαυνον οἱ ἅμα Κύρῳ τῷ Δαρείου Ἕλληνες, οἷς καὶ Ξενοφῶν συνεστράτευσε, λέγει Ξενοφῶν, οὗ τὰ πεδία τὰ Ἀραβίων ἐξήνυον, ἀγέλας προφαίνεσθαι τῶν ὄνων τῶν ἀγρίων· καὶ ὑπὸ ἑνὸς μὲν ἱππέως μήποτε ἁλῶναι ὄνον ἄγριον, διϊσταμένους δὲ ἄλλους ἐπʼ ἄλλοις ἐλαύνειν· τοὺς δὲ πολλοῖς (vulgatur πολλοὺς) ἀντίσχοντας τελευτῶντας ἤδη ἀπαγορεύειν ὑπὸ καμάτου. Quæ sequuntur ex communi aliquo scriptore tradit etiam Ælianus de N. A. xiv. 10. de Maurusiis asinis; quos eosdem forte intelligi voluit xii. 16. ubi est τοὺς τῶν Λιβύων ὄνους μεγίστους ὄντας, ex quibus cum equabus coeuntibus progigni mulos. Contra in extremo capite 10. libri 14. hæc subjunxit Ælianus: ὅτι δὲ μακροὶ μὲν ἰδεῖν εἰσὶν οἱ Λιβυκοὶ ἵπποι καὶ ὄνοι, δραμεῖν δʼ ὤκιστοι, ἀνωτέρω εἶπον. At de asinis Libycis locus a me positus contrarium habet; nec alius in eo volumine extat. Contra de equis Libycis testatur libri iii. cap. 2. sed ibi λεπτοὶ, non

ἔτρεχον) καὶ πάλιν ἐπεὶ πλησιάζοι ὁ ἵππος, ταὐτὸν
ἐποίουν· καὶ οὐκ ἦν λαβεῖν, εἰ μὴ διαστάντες οἱ ἱππεῖς
θηρῷεν διαδεχόμενοι τοῖς ἵπποις. Τὰ δὲ κρέα τῶν ἁλι-
σκομένων ἦν παραπλήσια τοῖς ἐλαφείοις, ἁπαλώτερα
3 δέ. Στρουθὸν δὲ οὐδεὶς ἔλαβεν· οἱ δὲ διώξαντες τῶν
ἱππέων ταχὺ ἐπαύοντο· πολὺ γὰρ ἀπεσπᾶτο φεύγουσα,

μικροὶ dicuntur. Breviter ut dicam, verba καὶ ὄνοι in Æliano ab aliena manu inserta et delenda censeo. Redeo ad Arrianum, quem vides verba Xenophontis ἐπεί τις διώκοι ita interpretari, quasi scriptum esset ἐπεὶ εἷς τις, *unus aliquis*. Itaque etiam deinceps scriptura librorum πλησιάζοι ὁ ἵππος tuenda erat. Partem loci laudavit Demetrius cap. 93.

Superest, ut de ipso onagro videamus. Ita enim vocabulo composito vocant ceteri scriptores. Plinius viii. cap. 44. *Onagri in Phrygia et Lycaonia præcipui. Pullis eorum ceu præstantibus sapore Africa gloriatur, quos Lalesiones appellant.* Is igitur onagrum Phrygiæ et Lycaoniæ eundem esse censebat cum Africano, quod vides etiam visum fuisse Arriano. Oppianus Cyneg. iii. 183. seqq. onagrum satis accurate describens, patriam non nominat. Ad eum locum quod scripseram olim, onagrum Oppiani esse animal Africanum, quod hodie Zebra vocamus, in eo erravi, erroremque coarguit Gallicus Oppiani Interpres. Quem enim Oppianus, Xenophon, Ælianus et Arrianus nominant asinum silvestrem, is est, quem in campis desertis Asiæ gregatim et libere incedentem, multoque hoc nostro domestico asino majorem pulcrioremque descripsit et pinxit egregius Pallas. Contra *pulcher onager* Martialis xiii. epigr. 101. esse videtur is, quem ex Africa ultima allatum Constantinopolin vidit et accurate descripsit Philostorgius h. eccles. iii. 11. ita ut appareat, fuisse eum onagrum animal asino cognatum, quod *Zebra* vocabulo peregrino vocamus.

Suidas: Καυδώ, νῆσος πλησίον Κρήτης, ἔνθα μέγιστοι ὄναγροι γίνονται. Hæc est insula *Gaudos* Melæ ii. 7. quam Plinius iv. 12. cum Chrysa contra Hierapytnam sitam ait. Utramque recte agnovit Gallus Tournefort in Itinerar. tom. ii. p. 53. qui hodie Γαιδαρόνησοι, *insulas asinorum*, vocari tradit. Hæc est Γαῦδος Callimachi apud Strabonem i. p. 119. et vii. p. 358. sive in Fragmentis p. 429. ubi tacent Interpretes, nec in Strabone constant sibi Interpretes.

ἐλαφείοις] Ad locum Plinii viii. sect. 68. et 69. laudat Harduinus Theophylactum, qui narrat, Chosroen Hormisdæ patri inter delicias ciborum misisse ὄνων ἀγρίων τῶν μελῶν τὰ ἐπίσημα.

3. ἀπεσπᾶτο φεύγουσα] Vulgatum ἀπέσπα, tanquam solœcum, damnat cum Juntina Guelf. ἀπέσπα exhibentes; præterea liber Paris. et Eton. φεύγουσα dant. Scripturam ἀπέσπα repudiavit Zeune et Weiske, contra probavit Wyttenbach in Bibl. Critic. Amstelod. vol. iii. p. 104. Sed verbo activo recentiores tantum scriptores ita usos esse monuit Hemsterhuis ad Lucianum i. p. 256. vetus exemplum præter hoc nostrum non attulit Wyttenbach. Cum vero infra ii. 2, 12. sit: ἵνα ὡς πλεῖστον ἀποσπασθῶμεν τοῦ βασιλικοῦ στρατεύματος, recte conjecit amicissimus *Buttmann*, etiam hoc in loco Xenophonti ἀπεσπᾶτο restituendum esse, quo ducit scriptura Paris. et Eton. φεύγουσα, non ἀποφεύγουσα exhibentium. Scilicet ἀπὸ ortum duxit ex syllaba extrema verbi ἀπεσπᾶτο. Quod vero infra vii. 2, 11. est Νέων μὲν ἀποσπάσας, ἐστρατοπεδεύσατο χωρὶς ἔχων ὡς ὀκτακοσίους ἀνθρώπους, ibi intelligendum et repetendum censeo ἀποσπάσας τοὺς ὀκτ. ἀνθρώπους. Ceterum mira est ad h. l. annotatio Weiskii, qui præter alia ἅμα pro ἄρασα scriptum malebat.

τοῖς μὲν ποσὶ δρόμῳ, ταῖς δὲ πτέρυξιν, ἄρασα, ὥσπερ ἱστίῳ χρωμένη. Τὰς δὲ ὠτίδας, ἄν τις ταχὺ ἀνιστῇ, ἔστι λαμβάνειν· πέτονται γὰρ βραχὺ, ὥσπερ πέρδικες, καὶ ταχὺ ἀπαγορεύουσι. Τὰ δὲ κρέα αὐτῶν ἥδιστα ἦν.

Πορευόμενοι δὲ διὰ ταύτης τῆς χώρας ἀφικνοῦνται ἐπὶ 4
τὸν Μασκᾶν ποταμὸν, τὸ εὖρος πλεθριαῖον. Ἐνταῦθα ἦν πόλις ἐρήμη, μεγάλη, ὄνομα δὲ αὐτῇ Κορσωτή· περιεῤῥεῖτο δὲ αὐτὴ ὑπὸ τοῦ Μασκᾶ κύκλῳ. Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς, καὶ ἐπεσιτίσαντο. Ἐντεῦθεν ἐξελαύ- 5
νει σταθμοὺς ἐρήμους τρισκαίδεκα παρασάγγας ἐννενήκοντα τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων, καὶ ἀφικνεῖται ἐπὶ Πύλας. Ἐν τούτοις τοῖς σταθμοῖς πολλὰ τῶν ὑποζυγίων ἀπώλετο ὑπὸ τοῦ λιμοῦ· οὐ γὰρ ἦν χόρτος, οὐδὲ ἄλλο δένδρον οὐδὲν, ἀλλὰ ψιλὴ ἦν ἅπασα ἡ χώρα· οἱ δὲ ἐνοικοῦντες ὄνους ἀλέτας περὶ τὸν ποταμὸν ὀρύττον-

ἄρασα] Ælianus cum Aristotele in locis antea laudatis ἁπλώσασα dixit, et eadem comparatione usus est. Liber Paris. αἴρουσα habet. Rationem struthiocameli capiendæ docet Ælianus xiv. 7. ubi scribendum censeo: καὶ ἐλάττονι (κύκλῳ, vulgo est ἔλαττον) περιϊόντες ἀπειποῦσαν τῷ δρόμῳ ἀγρεύουσιν αὐτὴν χρόνῳ.

ἀνιστῇ] Ita vulgatum antea ἀνίστη correxit Stephanus. *si quid eas celeriter invadat*, vertit Amasæus.

πέτονται] Paris. Eton. πέτανται, margo Villois. σείονται. Athenæus ix. p. 390. laudat ex h. l. πέτονταί τε γὰρ βραχὺ ὥσπερ οἱ π.—ἡδέα ἐστίν.

4. Μασκᾶν] Codex Paris. Μάσκαν et deinde Μάσκα dat. Nomen oppidi deserti in libro 1. Κορσωτὴ, in libro 2. marginis Villois. Καρσωτή. Mascan esse Ptolemæi Saocoram cum aliis statuit Mannert Geogr. v. p. 323.

ἐπεσιτίσαντο] Ita Paris. cum Eton. Vulgo est ἐπεσιτίσατο τὸ στράτευμα.

5. Πύλας] Babylonias intelligi sequens narratio docet, et locus Sophæneti excerptus a Stephano Byz. sub v. Χαρμάνδη, ubi est: Ἐπὶ δὲ ταῖς Βαβυλωνίαις πύλαις, πέραν τοῦ Εὐφράτου, πόλις ᾤκιστο ὄνομα Χαρμάνδη. Monuit Hutchinson.

ὑπὸ τοῦ λιμοῦ] Eton. articulum omisit; recte, puto.

ἄλλο δένδρον οὐδὲν] Insolentiam additi ἄλλο comparavit Hutchinson cum loco Cyrop. iii. 3, 43. ubi τοῖς ἄλλοις ὁμοτίμοις ait esse *præterea proceribus*. Zeune, qui addit locum vii. 3, 7. ἄλλα πρόβατα *ex cæteris pecoribus oves* interpretatur. Rectius Weiske confert Hesiodeum ex Operibus versu 342. εἰ γάρ τοι καὶ χρῆμ' ἐγχώριον ἄλλο γένηται. Minus convenit in Cyrop. iii. 2, 18. οἱ ἄλλοι Ἀρμένιοι, quod apposuit vir doctus, qui comparat Franco-Gallorum formulas: *nous autres, vous autres, sans autre forme de procès.*

ὄνους ἀλέτας] In Codice Eton. et iis libris, quos inspexerat Stephanus, scholion legebatur inter verba ipsa scriptoris hoc post ὄνους: οὓς ἡμεῖς μύλους, οἱ δὲ Ἀττικοὶ μύλας. Idem in duobus libris annotat margo Villoi-

τες καὶ ποιοῦντες, εἰς Βαβυλῶνα ἦγον καὶ ἐπώλουν, καὶ
6 ἀνταγοράζοντες σῖτον ἔζων. Τὸ δὲ στράτευμα ὁ σῖτος
ἐπέλιπε, καὶ πρίασθαι οὐκ ἦν, εἰ μὴ ἐν τῇ Λυδίᾳ ἀγο-
ρᾷ, ἐν τῷ Κύρου βαρβαρικῷ, τὴν καπίθην ἀλεύρων ἢ
ἀλφίτων τεττάρων σίγλων. Ὁ δὲ σίγλος δύναται ἑπτὰ
ὀβολοὺς καὶ ἡμιοβόλιον Ἀττικούς· ἡ δὲ καπίθη δύο
χοίνικας Ἀττικοὺς ἐχώρει. Κρέα οὖν ἐσθίοντες οἱ στρα-
7 τιῶται διεγίγνοντο. Ἦν δὲ τούτων τῶν σταθμῶν, οὓς
πάνυ μακροὺς ἤλαυνεν, ὁπότε ἢ πρὸς ὕδωρ βούλοιτο δια-
τελέσαι ἢ πρὸς χιλόν. Καὶ δή ποτε στενοχωρίας καὶ
πηλοῦ φανέντος ταῖς ἁμάξαις δυσπορεύτου, ἐπέστη ὁ
Κῦρος σὺν τοῖς περὶ αὐτὸν ἀρίστοις καὶ εὐδαιμονεστάτοις,
καὶ ἔταξε Γλοῦν καὶ Πίγρητα, λαβόντας τοῦ βαρβαρι-
8 κοῦ στρατοῦ συνεκβιβάζειν τὰς ἁμάξας. Ἐπεὶ δὲ ἐδό-
κουν αὐτῷ σχολαίως ποιεῖν, ὥσπερ ὀργῇ ἐκέλευσε τοὺς

soni. Hesychio *ὄνος* est *ὁ ἀνώτερος λίθος τοῦ μύλου.* Sic etiam Suidas sub v. *Μύλη* et Photius in Lexico MSto. Contra Helladius in Chrestomathia apud Photium inferiorem lapidem, quem Romani *metam* dixere, interpretatur, recte; ut jam olim ad Suidam admonuit Küster. *ὄνου λίθον ἀλοῦντος* meminit Aristoteles Problem. xxxv. 3.

ποιοῦντες] *Apparantes, formantes.* Ceterum *παρὰ τὸν ποταμὸν* est in Eton. libris Stephani, duobus, quos margo Villois. annotavit, et in Guelf.

6. *Λυδίᾳ ἀγορᾷ*] Larcherus admonet ex Herodoto i. 155. 157. Lydos inde a Cyri majoris temporibus, qui eos usu armorum privatos reddiderat imbelles, mercaturam exercuisse et cauponariam.

ἀλεύρων ἢ ἀλφίτων] Muretus Var. Lect. xv. 16. deleri voluit verba *ἀλεύρων ἢ*, quæ nata esse putat e dubitatione librarii, utro modo in veteri libro scriptum esset. Cum Mureto sentit Weiske, qui generis utriusque pretium idem fuisse credibile esse negat, quod æstumat ita, ut modius mensuræ Berolinensis thaleris 30 moduli conventionis constiterit.

σίγλος] Paris. Codex *σίγκλος* dat. Vulgarem scripturam ex h. l. retulit Hesychius, sed varie interpolatus.

καπίθη] Hesychius capitham facit duarum cotylarum: ad quem multa disputant Interpretes. Contra Polyænus iv. 3, 32. *ἡ δὲ καπέτις ἐστὶ χοῖνιξ Ἀττική.*

7. *Ἦν δὲ—οὓς*] In hoc verbo solo poetæ et prosaici scriptores, sed hi quidem multo rarius, singularem numerum plurali substantivi numero jungebant. Nota sunt *ἔστιν οἵ*, aliqui, sunt qui. Ita h. l. *ἦν—οὕς.* Hutchinson posuit loca Sophoclis Trachin. 529. Aristoph. Lysistr. 1262. Porson. addidit Eurip. Ionem 1165. Confer Valcken. ad Herodoti v. 12.

τὰς ἁμάξας] Edd. vett. Guelf. et margo Steph. *ταῖς ἁμάξαις.* Ceterum in Guelf. vocabulum ubique spiritum lenem adscriptum habet.

8. *σχολαίως*] Ita cum Steph. margo Villois. ante erat *σχολαίους*, quod habet etiam Guelf.

περὶ αὐτὸν Πέρσας τοὺς κρατίστους, συνεπισπεῦσαι τὰς
ἁμάξας. Ἔνθα δὴ μέρος τι τῆς εὐταξίας ἦν θεάσα-
σθαι. Ῥίψαντες γὰρ τοὺς πορφυροῦς κάνδυς, ὅπου
ἕκαστος ἔτυχεν ἑστηκὼς, ἵεντο, ὥσπερ ἂν δράμοι τις περὶ
νίκης, καὶ μάλα κατὰ πρανοῦς γηλόφου, ἔχοντες τούτους
τε τοὺς πολυτελεῖς χιτῶνας, καὶ τὰς ποικίλας ἀναξυρί-
δας· ἔνιοι δὲ καὶ στρεπτοὺς περὶ τοῖς τραχήλοις, καὶ
ψέλλια περὶ ταῖς χερσίν· εὐθὺς δὲ σὺν τούτοις εἰσπηδή-
σαντες εἰς τὸν πηλὸν, θᾶττον ἢ ὥς τις ἂν ᾤετο, μετεώ-
ρους ἐξεκόμισαν τὰς ἁμάξας. Τὸ δὲ σύμπαν, δῆλος ἦν 9
Κῦρος σπεύδων πᾶσαν τὴν ὁδὸν, καὶ οὐ διατρίβων, ὅπου
μὴ ἐπισιτισμοῦ ἕνεκα ἤ τινος ἄλλου ἀναγκαίου ἐκαθέ-
ζετο· νομίζων, ὅσῳ μὲν ἂν θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρα-
σκευαστοτέρῳ βασιλεῖ μάχεσθαι, ὅσῳ δὲ σχολαιότε-
ρον, τοσούτῳ πλέον βασιλεῖ συναγείρεσθαι στράτευμα.
Καὶ συνιδεῖν δ' ἦν τῷ προσέχοντι τὸν νοῦν ἡ βασιλέως
ἀρχὴ, πλήθει μὲν χώρας καὶ ἀνθρώπων ἰσχυρὰ οὖσα,
τοῖς δὲ μήκεσι τῶν ὁδῶν καὶ τῷ διεσπάσθαι τὰς δυνά-
μεις ἀσθενὴς, εἴ τις διὰ ταχέων τὸν πόλεμον ποιοῖτο.

Πέραν δὲ τοῦ Εὐφράτου ποταμοῦ κατὰ τοὺς ἐρήμους 10

συνεπισπεῦσαι] Paris. Eton. *συνεπισπεύσειν—πορφυρούς.*

τούτους] Notas illas purpureas tunicas. Compara Cyrop. i. 3, 2. vi. 4, 2.

τοῖς τραχήλοις—περὶ ταῖς χερσίν.] Ita margo Steph. Villois. Paris. Eton. habent; vulgo est *τῷ τραχήλῳ—ἐπὶ τῶν χειρῶν.* In Cyrop. l. c. est *περὶ ταῖν χεροῖν* et *περὶ τοὺς καρποὺς τῶν χειρῶν.* Ceterum in Edd. vett. præter Castal. Guelf. Paris. est *ψέλια.*

9. *σπεύδων*] Cod. Paris. Eton. et margo Villois. addunt *ὡς* ante *σπεύδων.* deinceps *νομίζων ἂν, ὅσῳ μὲν θᾶττον ἔλθοι,—μάχεσθαι* cum Dawesio in Miscell. Critic. p. 79. seqq. scribendum censuit Porson. Vulgatum quidem *μαχεῖσθαι* debetur Stephano; Edd. enim veteres cum Guelf. *μάχεσθαι* dant, liber Eton. cum margine Villois. *συμμαχεῖσθαι.* Sed particulam *ἂν* Xenophon numeri causa transposuisse, ut sæpius alibi, videtur. Subjecit amicissimus Buttmann exemplum Demosthenis in Midiana cap. 15. *νῦν δέ μοι δοκεῖ κἂν ἀσέβειαν εἰ καταγιγνώσκοι τις, τὰ προσήκοντα ποιεῖν.* ubi recta oratio postulabat hunc ordinem *καὶ εἴ τις ἀσέβειαν καταγιγνώσκοι, τὰ πρ. ἂν ποιεῖν.*

τοῖς δὲ μήκεσι] Ita margo Steph. Villois. Paris. Eton. pro *τῷ δὲ μήκει.* Deinceps *ἐποιεῖτο* est in Paris. libro.

10. *ποταμοῦ*] Addidi ex libro Brodæi, margine Steph. Villois. Paris. Eton. Nomen urbis *Καρμάνδη* scriptum edidit Stephanus. Vulgarem tamen

σταθμοὺς ἦν πόλις εὐδαίμων καὶ μεγάλη, ὄνομα δὲ Χαρμάνδη· ἐκ ταύτης οἱ στρατιῶται ἠγόραζον τὰ ἐπιτήδεια, σχεδίαις διαβαίνοντες ὧδε· Διφθέρας, ἃς εἶχον σκεπάσματα, ἐπίμπλασαν χόρτου κούφου, εἶτα συνῆγον καὶ συνέσπων, ὡς μὴ ἅπτεσθαι τῆς κάρφης τὸ ὕδωρ· ἐπὶ τούτων διέβαινον. καὶ ἐλάμβανον τὰ ἐπιτήδεια, οἶνόν τε ἐκ τῆς βαλάνου πεποιημένον τῆς ἀπὸ τοῦ φοίνικος, καὶ σῖτον μελίνης· τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον.

11 Ἀμφιλεξάντων δέ τι ἐνταῦθα τῶν τε τοῦ Μένωνος στρατιωτῶν καὶ τῶν τοῦ Κλεάρχου, ὁ Κλέαρχος, κρίνας ἀδικεῖν τὸν τοῦ Μένωνος, πληγὰς ἐνέβαλεν· ὁ δ' ἐλθὼν πρὸς τὸ ἑαυτοῦ στράτευμα, ἔλεγεν· ἀκούσαντες δ' οἱ

scripturam præter Edd vett. habent Guelf. et duo Regii Paris. in quorum tamen altero est Χαρμάνθη. Locum Sophæneti apposui supra ad sect. 5. Urbi successisse seculis posterioribus *Diakira* suspicatur Mannert Geogr. v. p. 329.

στεγάσματα] Suidas sub voc. κάρφη ita laudat h. l. διφθέρας εἶχον σκεπάσματα ἐμπίπλασαν &c. Quæ varietas non est spernenda. Plato enim in Politico cap. 22. σκεπάσματα et στεγάσματα ita distinguit, ut dicat: καὶ τοίνυν τὴν τῶν ὁλοσχίστων σκεπασμάτων θεραπείαν δερματουργικὴν, καὶ τὰς τῶν στεγασμάτων, ὅσαι τε ἐν οἰκοδομικῇ καὶ ὅλῃ τεκτονικῇ καὶ ἐν ἄλλαις τέχναις ῥευμάτων στεκτικαὶ γίγνονται, συμπάσας ἀφείλομεν. Videtur Xenophon *segestra* dicere voluisse, de quibus Casaubonus ad Suetonii Octav. cap. 83. Hanc meam opinionem confirmare videtur locus Arriani iii. 29, 8. ubi est ὑφ' αἷς ἐσκήνουν οἱ στρατιῶται. atque iterum i. 3, 7. καὶ τὰς διφθέρας, ὑφ' αἷς ἐσκήνουν, τῆς κάρφης πληρώσας. Igitur non dubitavi σκεπάσματα recipere.

συνέσπων] Suidas l. c. addit τὰς διφθέρας. Arrianus Anab. v. 9, 5. καὶ αἱ διφθέραι τῆς κάρφης ἐμπιπλάμεναι. item cap. 12, 4. ἐνταῦθα ἐπληροῦντο τῆς νυκτὸς αἱ διφθέραι τῆς κάρφης—καὶ κατεῤῥάπτοντο εἰς ἀκρίβειαν. Sed locus Arriani iii. 29, 8. manifestam habet imitationem Xenophontis: Ξυναγαγὼν τὰς διφθέρας, ὑφ' αἷς ἐσκήνουν οἱ στρατιῶται, φορυτοῦ ἐμπλῆσαι ἐκέλευσεν ὡς ξηροτάτου, καὶ καταδῆσαί τε καὶ ξυῤῥάψαι ἀκριβῶς, τοῦ μὴ ἐσδύεσθαι ἐς αὐτὰς τοῦ ὕδατος· ἐμπλησθεῖσαι δὲ καὶ ξυῤῥαφεῖσαι ἱκαναὶ ἐγένοντο διαβιβάσαι τὸν στρατόν. Quod est καταῤῥάπτειν Arriano, συσπᾷν dixit Xenophon. Ceterum in margine Steph. Villois. et libro Paris. est κορυφῆς pro κάρφης. De ipsa re compara Casaub. ad Suetonii Cæs. c. 57.

ἐπὶ τούτων] Edd. vett. Guelf. ἐπὶ τούτῳ habent. Cum Stephani Editione facit margo Villois.

τοῦ φοίνικος] Male Paris. τῆς φοινίκης. De vino palmeo Dioscorides v. 40. qui modum conficiendi docet, et Plinius xiii. c. 4.

σῖτον μελίνης] Harpocratio καὶ σίτου καὶ μελίνης laudat ex h. l. Melinophagi igitur erant populi hujus regionis.

11. τῶν τοῦ Κλεάρχου] Ita Brodæus cum libro Paris. scribi voluit. Ante Zeunium aberat τῶν, quod est in Guelf. sed ibi τοῦ omittitur.

τὸν τοῦ Μένωνος] Cum Aldina et margine Steph. τοὺς dat Codex Paris. Utramque scripturam annotavit margo Villois. Deinceps Guelf. ἐνέβαλλεν dat.

στρατιῶται, ἐχαλέπαινον, καὶ ὠργίζοντο ἰσχυρῶς τῷ
Κλεάρχῳ. Τῇ δ' αὐτῇ ἡμέρᾳ Κλέαρχος, ἐλθὼν ἐπὶ 12
τὴν διάβασιν τοῦ ποταμοῦ, καὶ ἐκεῖ κατασκεψάμενος
τὴν ἀγορὰν, ἀφιππεύει ἐπὶ τὴν αὐτοῦ σκηνὴν διὰ τοῦ Μέ-
νωνος στρατεύματος σὺν ὀλίγοις τοῖς περὶ αὐτόν· (Κῦρος
δ' οὔπω ἧκεν, ἀλλ' ἔτι προσήλαυνε) τῶν δὲ Μένωνος
στρατιωτῶν ξύλα σχίζων τις, ὡς εἶδε τὸν Κλέαρχον διε-
λαύνοντα, ἵησι τῇ ἀξίνῃ. καὶ οὗτος μὲν αὐτοῦ ἥμαρτεν·
ἄλλος δὲ λίθῳ καὶ ἄλλος, εἶτα πολλοὶ, κραυγῆς γενο-
μένης. Ὁ δὲ καταφεύγει εἰς τὸ ἑαυτοῦ στράτευμα, 13
καὶ εὐθὺς παραγγέλλει εἰς τὰ ὅπλα· καὶ τοὺς μὲν
ὁπλίτας ἐκέλευσεν αὐτοῦ μεῖναι, τὰς ἀσπίδας πρὸς τὰ
γόνατα θέντας· αὐτὸς δὲ, λαβὼν τοὺς Θρᾷκας καὶ τοὺς
ἱππέας, οἳ ἦσαν αὐτῷ ἐν τῷ στρατεύματι πλείους ἢ τετ-
ταράκοντα, (τούτων δ' οἱ πλεῖστοι Θρᾷκες) ἤλαυνεν ἐπὶ
τοὺς Μένωνος, ὥστε ἐκείνους ἐκπεπλῆχθαι καὶ αὐτὸν
Μένωνα, καὶ τρέχειν ἐπὶ τὰ ὅπλα. Οἱ δὲ καὶ ἕστασαν
ἀποροῦντες τῷ πράγματι. Ὁ δὲ Πρόξενος (ἔτυχε γὰρ 14
ὕστερος προσιὼν, καὶ τάξις αὐτῷ ἑπομένη τῶν ὁπλιτῶν)
εὐθὺς οὖν εἰς τὸ μέσον ἀμφοτέρων ἄγων, ἔθετο τὰ ὅπλα,
καὶ ἐδεῖτο τοῦ Κλεάρχου, μὴ ποιεῖν ταῦτα. Ὁ δὲ ἐχα-
λέπαινεν, ὅτι, αὐτοῦ ὀλίγου δεήσαντος καταλευσθῆναι,

12. τὴν αὐτοῦ—αὐτόν] Ita Edd. vett. cum Guelf. αὑτοῦ—αὑτὸν dedit cum Stephano Zeune et Weiſke. ἑαυτοῦ priore loco dat Paris.

διελαύνοντα] Suidas in verbo ἵησι habet ex h. l. προσιόντα.

13. εἰς τὰ ὅπλα] Suidas in παραγγέλλοντας ex h. l. αὐτοῦ laudavit. Infra cap. 8. sect. 3. est de eodem: τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον.

ἱππέας] Margo Villois. ἱππεῖς annotat. Deinde τεσσαράκοντα Guelf. Postea Juntina habet δὲ Θρᾷκας. In Guelf. οἱ πλεῖστοι additum est a manu secunda. Vulgatum habet etiam margo Villois.

ἕστασαν] Guelf. ἔστασαν, quod in formam legitimam ἕστησαν, quæ alibi, v. c. v. 4, 12. est, mutari voluit Zeune.

14. ὕστερος] Ita cum Eton. Guelf. sed hic a secunda manu. Vulgo est ὕστερον. Deinceps in Eton. est πλὴν τῶν ὁπλιτικῶν.

ἔθετο τὰ ὅπλα] i. e. cum armis in acie consistebat. Sic iterum est vi. 4.

ὅτι, αὐτοῦ ὀλίγου] In Edd. vett. αὐ-

πράως λέγοι τὸ αὐτοῦ πάθος· ἐκέλευέ τε αὐτὸν ἐκ τοῦ
15 μέσου ἐξίστασθαι. Ἐν τούτῳ δὲ, ἐπεὶ ἧκε Κῦρος καὶ
ἐπύθετο τὸ πρᾶγμα, εὐθὺς ἔλαβε τὰ παλτὰ εἰς τὰς χεῖρας, καὶ σὺν τοῖς παροῦσι τῶν πιστῶν ἧκεν ἐλαύνων
16 εἰς τὸ μέσον, καὶ λέγει ὧδε· "Κλέαρχε καὶ Πρόξενε, καὶ οἱ ἄλλοι οἱ παρόντες Ἕλληνες, οὐκ ἴστε, ὅ τι ποιεῖτε. Εἰ γάρ τινα ἀλλήλοις μάχην συνάψετε, νομίζετε, ἐν τῇδε τῇ ἡμέρᾳ ἐμέ τε κατακεκόψεσθαι, καὶ ὑμᾶς οὐ πολὺ ἐμοῦ ὕστερον· κακῶς γὰρ τῶν ἡμετέρων ἐχόντων, πάντες οὗτοι, οὓς ὁρᾶτε, βάρβαροι πολεμιώτεροι ἡμῖν ἔσονται τῶν
17 παρὰ βασιλεῖ ὄντων." Ἀκούσας ταῦτα ὁ Κλέαρχος, ἐν
ἑαυτῷ ἐγένετο· καὶ παυσάμενοι ἀμφότεροι, κατὰ χώραν ἔθεντο τὰ ὅπλα.

CAP. VI.

ΕΝΤΕΥΘΕΝ προϊόντων, ἐφαίνετο ἴχνια ἵππων καὶ

τοῦ deest, in Guelf. a manu secunda additum. Margo Villois. annotat αὐτοῦ ὅτι ὀλίγου.

τὸ αὐτοῦ] Male Steph. secunda αὐτοῦ dedit. Deinde ἐκέλευσε Paris.

15. ἐπεὶ ἧκε] Paris. et Eton. ἐπήει καὶ Κῦρος habent.

τὰ παλτὰ] Ita margo Steph. cum Paris. et Eton. Vulgo est ὅπλα, cujus vocabuli interpretamentum τὰ παλτὰ esse censebat Zeune. Sed oblitus erat vir doctus, græce ὅπλον quid sit, unde ὁπλῖται dicuntur, *scutum* videlicet. Contra Persæ equites duo jacula gestabant, narrante nostro in Cyrop. i. 2, 6. iv. 3, 9. In hoc ipso libro infra cap. 8, 3. est de Cyro: ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ εἰς χεῖρας ἔλαβε. ubi recte Codd. εἰς τὰς χεῖρας habent.

τῶν πιστῶν] Ita liber Paris. et duo Regii a Larchero inspecti. Idem ex scriptura Eton. πισιῶν effecit Abresch in Auctario Dilucid. p. 363. Vulgatum πλείστων ita corrigebat Muretus, ut scribendum censeret σὺν τοῖς πλείστοις τῶν παρόντων. Verum dedit Hutchinson. Cf. infra cap. 8, 1. Deinde pro ὧδε in Paris. est τάδε.

16. ἡμετέρων] Castalio ὑμετέρων dedit. Sequens πολεμιώτεροι in Juntina omissum, in Guelf. addidit manus secunda. Weiske *hostes magis periculosi* interpretatur.

ἡμῖν ἔσονται] Aldina ὑμῶν, margo Villois. ἡμῶν.

κατὰ χώραν ἔθεντο] Cum Hutchinsono male interpretatur Zeune κατὰ τὴν οἰκείαν τάξιν. Sic item Weiske. Contra Valckenaer ad Herodoti iv. 135. ubi est πάγχυ κατὰ χώρην ἤλπιζον τοὺς Πέρσας εἶναι, i. e. *esse vel manere adhuc eodem in loco*, et Küster ad Aristoph. Plut. 367. formulam bene sunt interpretati. θέσθαι τὰ ὅπλα est h. l. *deponere arma*.

1. ἴχνια] Ita Codex Paris. cum Eton. pro ἴχνη. Eton. præterea ποδῶν ἵππων. Margo Villois. ἴχνεα annotat. Vulgatum ἴχνη numerum orationis vitiat, quod pronunciando senties.

κόπρος· εἰκάζετο δὲ εἶναι ὁ στίβος ὡς δισχιλίων ἵππων.
Οὗτοι προϊόντες ἔκαιον καὶ χιλὸν καὶ εἴ τι ἄλλο χρήσι-
μον ἦν. Ὀρόντης δὲ, Πέρσης ἀνὴρ, γένει τε προσήκων
βασιλεῖ, καὶ τὰ πολεμικὰ λεγόμενος ἐν τοῖς ἀρίστοις
Περσῶν, ἐπιβουλεύει Κύρῳ, καὶ πρόσθεν πολεμήσας.
Καταλλαγεὶς δὲ οὗτος Κύρῳ, εἶπεν, εἰ αὐτῷ δοίη ἱππέας 2
χιλίους, ὅτι τοὺς προκατακαίοντας ἱππέας ἢ κατακαίνοι
ἂν ἐνεδρεύσας, ἢ ζῶντας πολλοὺς αὐτῶν ἕλοι, καὶ κωλύ-
σειε τοῦ καίειν ἐπιόντας, καὶ ποιήσειεν, ὥστε μήποτε δύ-
νασθαι αὐτοὺς, ἰδόντας τὸ Κύρου στράτευμα, βασιλεῖ
διαγγεῖλαι. Τῷ δὲ Κύρῳ ἀκούσαντι ταῦτα ἐδόκει ὠφέ-
λιμα εἶναι· καὶ ἐκέλευεν αὐτὸν λαμβάνειν μέρος παρ'
ἑκάστου τῶν ἡγεμόνων.

Ὁ δὲ Ὀρόντης, νομίσας, ἑτοίμους αὐτῷ εἶναι τοὺς ἱπ- 3
πέας, γράφει ἐπιστολὴν παρὰ βασιλέα, ὅτι ἥξοι ἔχων
ἱππέας ὡς ἂν δύνηται πλείστους· ἀλλὰ φράσαι τοῖς
ἑαυτοῦ ἱππεῦσιν ἐκέλευεν, ὡς φίλιον αὐτὸν ὑποδέχεσθαι.
Ἐνῆν δ' ἐν τῇ ἐπιστολῇ καὶ τῆς πρόσθεν φιλίας ὑπομνή-
ματα καὶ πίστεως. Ταύτην τὴν ἐπιστολὴν δίδωσι πιστῷ
ἀνδρὶ, ὡς ᾤετο· ὁ δὲ λαβὼν, Κύρῳ δείκνυσιν. Ἀναγνοὺς 4
δὲ αὐτὴν ὁ Κῦρος, συλλαμβάνει Ὀρόντην, καὶ συγκαλεῖ

ὁ στίβος] Brodæus in libro vetere στίφος reperit scriptum, quod Amasæus *globus* vertit. At ita Xenophontem potius στίφος τις scripturum fuisse, censebat Zeune. Præterea στῖφος genere neutro tantum frequentatum reperi. ὁ στίβος aperte sunt *vestigia illa* equorum. στίβοι ποδῶν sunt in Æschyli Choeph. 203. ut adeo scriptura Eton. non sit spernenda.

Ὀρόντης] Aldina cum Steph. h. l. et sect. 3. dat Ὀρόντας. Nostrum est in Junt. Guelf. Paris. Eton.

πολεμικὰ] Est Stephani et Mureti correctio vulgaris πολέμια, quod item infra iii. 1, 43. est in Edd. vett. et Guelf.

2. κατακαίνοι ἂν] Junt. et Guelf. κατακαοῖεν, Ald. margo Villois. κατακάνοιεν, Castal. κατακαοῖ.

3. αὐτῷ—ἥξοι] Stephanus αὑτῷ—ἥξει edidit.

ἀλλὰ φράσαι] *Igitur* vel *tamen* interpretatur Hutchinson comparans Aristophanis Nub. 367. ἔπειτα δ' ἐκέλευσ' αὐτὸν ἀλλὰ μυρρίνην λαβόντα τῶν &c.

δείκνυσιν] Margo Steph. Villois. Paris. Eton. δίδωσιν.

4. ὁ Κῦρος] Articulum ex Guelf. adjecit Zeune. Deinceps αὑτοῦ—αὑτὸν cum Steph. dedit Zeune. Nostrum est in Edd. vett. Guelf. Paris.

εἰς τὴν αὐτοῦ σκηνὴν Περσῶν τοὺς ἀρίστους τῶν περὶ αὐτὸν
ἑπτά· καὶ τοὺς τῶν Ἑλλήνων στρατηγοὺς ἐκέλευεν ὁπλί-
τας ἀγαγεῖν, τούτους δὲ θέσθαι τὰ ὅπλα περὶ τὴν αὐτοῦ
σκηνήν. Οἱ δὲ ταῦτα ἐποίησαν, ἀγαγόντες ὡς τρισχι-
5 λίους ὁπλίτας. Κλέαρχον δὲ καὶ εἴσω παρεκάλεσε
σύμβουλον, ὅς γε καὶ αὐτῷ καὶ τοῖς ἄλλοις ἐδόκει προ-
τιμηθῆναι μάλιστα τῶν Ἑλλήνων. Ἐπεὶ δ' ἐξῆλθεν,
ἐξήγγειλε τοῖς φίλοις τὴν κρίσιν τοῦ Ὀρόντου, ὡς ἐγένετο·
οὐ γὰρ ἀπόρρητον ἦν. Ἔφη δὲ, Κῦρον ἄρχειν τοῦ λόγου
ὧδε·

6 "Παρεκάλεσα ὑμᾶς, ἄνδρες φίλοι, ὅπως σὺν ὑμῖν βου-
λευόμενος, ὅ τι δίκαιόν ἐστι καὶ πρὸς θεῶν καὶ πρὸς ἀν-
θρώπων, τοῦτο πράξω περὶ Ὀρόντου τουτουί. Τοῦτον
γὰρ πρῶτον μὲν ὁ ἐμὸς πατὴρ ἔδωκεν ὑπήκοον ἐμοὶ εἶναι.
Ἐπεὶ δὲ ταχθεὶς, ὡς ἔφη αὐτὸς, ὑπὸ τοῦ ἐμοῦ ἀδελφοῦ
οὗτος ἐπολέμησεν ἐμοὶ, ἔχων τὴν ἐν Σάρδεσιν ἀκρόπολιν,
καὶ ἐγὼ αὐτὸν προσπολεμῶν ἐποίησα, ὥστε δόξαι τούτῳ,
τοῦ πρὸς ἐμὲ πολέμου παύσασθαι, καὶ δεξιὰν ἔλαβον
7 καὶ ἔδωκα. Μετὰ ταῦτα," ἔφη, "ὦ Ὀρόντα, ἔστιν, ὅ τι
σε ἠδίκησα;" Ὁ δὲ ἀπεκρίνατο, ὅτι οὔ. Πάλιν ὁ Κῦρος
ἠρώτα· "Οὐκοῦν ὕστερον, ὡς αὐτὸς σὺ ὁμολογεῖς, οὐδὲν
ὑπ' ἐμοῦ ἀδικούμενος, ἀποστὰς εἰς Μυσοὺς, κακῶς
ἐποίεις τὴν ἐμὴν χώραν, ὅ τι ἐδύνω;" Ἔφη ὁ Ὀρόντης.
"Οὐκοῦν," ἔφη ὁ Κῦρος, "ὁπότ' αὖ ἔγνως τὴν σεαυτοῦ δύνα-

ἐκέλευεν] Edd. vett. ἐκέλευον, recte Castal.

5. ὅς γε] Ita cum Aldina Stephanus; ὡς Juntinæ, Guelf. Amasæi revocavit Zeune. Deinceps ἐπήγγειλε dat Eton. Postea Ὀρόντα Guelf. a manu secunda scriptum habet.

6. Παρεκάλεσα] Junt. Guelf. παρακαλέσω. Sequens δίκαιόν ἐστι ex margine Steph. Villois. Paris. Eton. dedi pro δικαιότατον. Etiam βουλόμενος dat margo Villois.

ταχθεὶς] Larcheri κελευσθεὶς merito repudiat Zeune comparato iv. 6, 22. v. 4, 16.

οὗτος] Juntina et Guelf. a sec. manu ὄντος habet.

7. οὐδὲν ὑπ' ἐμοῦ] Larcheri conjecturam in locum vulgati οὐδὲ recepi cum Weiskio.

αὖ ἔγνως] Brodæus vitium loci agnoscens ἀνέγνως scribi voluit; equidem ἀπέγνως verum puto.

μιν, ἐλθὼν ἐπὶ τὸν τῆς Ἀρτέμιδος βωμὸν, μεταμέλειν τέ
σοι ἔφησθα, καὶ πείσας ἐμὲ, πιστὰ πάλιν ἔδωκάς μοι,
καὶ ἔλαβες παρ' ἐμοῦ;" Καὶ ταῦθ' ὡμολόγει ὁ Ὀρόντης.
"Τί οὖν," ἔφη ὁ Κῦρος, "ἀδικηθεὶς ὑπ' ἐμοῦ, νῦν τὸ τρίτον 8
ἐπιβουλεύων μοι φανερὸς γέγονας;" Εἰπόντος δὲ τοῦ
Ὀρόντου, ὅτι οὐδὲν ἀδικηθεὶς, ἠρώτησεν ὁ Κῦρος αὐτόν.
"Ὁμολογεῖς οὖν, περὶ ἐμὲ ἄδικος εἶναι;" Ἦ γὰρ ἀνάγκη,
ἔφη ὁ Ὀρόντης. Ἐκ τούτου πάλιν ἠρώτησεν ὁ Κῦρος, "ἔτι
οὖν ἂν γένοιο τῷ ἐμῷ ἀδελφῷ πολέμιος, ἐμοὶ δὲ καὶ φί-
λος καὶ πιστός;" Ὁ δὲ ἀπεκρίνατο, ὅτι, οὐδ', εἰ γενοί-
μην, ὦ Κῦρε, σοί γ' ἂν ἔτι ποτὲ δόξαιμι.

Πρὸς ταῦτα ὁ Κῦρος εἶπε τοῖς παροῦσιν· "Ὁ μὲν ἀνὴρ 9
τοιαῦτα μὲν πεποίηκε, τοιαῦτα δὲ λέγει· ὑμῶν δὲ σὺ
πρῶτος, ὦ Κλέαρχε, ἀπόφηναι γνώμην, ὅ τί σοι δοκεῖ."
Κλέαρχος δὲ εἶπε τάδε· "Συμβουλεύω ἐγὼ, τὸν ἄνδρα
τοῦτον ἐκποδὼν ποιεῖσθαι ὡς τάχιστα· ὡς μηκέτι δέοι
τοῦτον φυλάττεσθαι, ἀλλὰ σχολὴ εἴη ἡμῖν, τὸ κατὰ
τοῦτον εἶναι, τοὺς ἐθελοντὰς φίλους τούτους εὖ ποιεῖν."
Ταύτῃ δὲ τῇ γνώμῃ ἔφη καὶ τοὺς ἄλλους προσθέσθαι. 10
Μετὰ ταῦτα, κελεύοντος Κύρου, ἐλάβοντο τῆς ζώνης τὸν

Ἀρτέμιδος] *Ephesinam* interpretantur præeunte Hutchinsono.

μεταμέλειν τέ σοι] Ita Paris. Eton. Regius B. Ante Zeunium erat: μεταμεμέληταί σοι; Castalio μεταμεμέλησθαί σοι dedit, μεταμεμελῆσθαί σοι rectius scribi voluerunt Stephanus, Muretus, Leoncl. quam scripturam postremam recepit Hutchinson.

παρ' ἐμοῦ] Guelf. ὑπ' ἐμοῦ habet.

8. ἄδικος εἶναι] Margo Steph. Villois. Paris. Eton. γεγενῆσθαι.

9. ἀπόφηναι] Male Edd. vett. ἀπόφηνε habent.

δέοι—εἴη] Guelf. τοῦτον δέοι, Steph. conjiciebat δεῆσον aut δέῃ. Sequens εἴη conjecturæ Stephani debetur, quam confirmari scriptura Eton. ubi scriptum ἦν extat, cum Hutchinsono censebat Zeune. Vulgo enim deerat verbum. Buttmannus lectionem Eton. ex ᾖ ortam putabat, atque hinc etiam δέῃ scribendum censebat; sed ita oratio fieret magis etiam κακόφωνος, quod pronunciando σχολὴ ᾖ ἡμῖν facile senties. Cum Buttmanno tamen sentientem reperi God. Hermannum in Observ. Critic. ad Æschyl. et Eurip. p. 21.

τὸ κατὰ τοῦτον εἶναι] Sic infra iii. 2, 32. τὸ νῦν εἶναι. Thucyd. iv. 48. τὸ ἐπ' ἐμοὶ εἶναι.

ἐθελοντὰς] Vulgatum ἐθέλοντας, ad quod εἶναι intelligebat Leonclavius, ita mutavit Stephanus Muretusque præeunte Amasæo. Sequens τούτους margo Villois. in τοῦτον mutat.

10. Μετὰ ταῦτα] Margo Villois. ἔφη adjungit.

ἐλάβοντο] Paris. et Regius ἔλαβον,

Ὀρόντην ἐπὶ θανάτῳ, ἅπαντες ἀναστάντες καὶ οἱ συγγενεῖς· εἶτα [δὲ] ἐξῆγον αὐτὸν, οἷς προσετάχθη. Ἐπεὶ δὲ εἶδον αὐτὸν, οἵπερ πρόσθεν προσεκύνουν, καὶ τότε προσεκύνησαν, καίπερ εἰδότες, ὅτι ἐπὶ θανάτῳ ἄγοιτο.
11 Ἐπεὶ δὲ εἰς τὴν Ἀρταπάτα σκηνὴν εἰσήχθη, τοῦ πιστοτάτου τῶν Κύρου σκηπτούχων, μετὰ ταῦτα οὔτε ζῶντα Ὀρόντην, οὔτε τεθνεῶτα οὐδεὶς πώποτε εἶδεν, οὐδ᾽ ὅπως ἀπέθανεν οὐδεὶς εἰδὼς ἔλεγεν· εἴκαζον δ᾽ ἄλλοι ἄλλως· τάφος δ᾽ οὐδεὶς πώποτε αὐτοῦ ἐφάνη.

CAP. VII.

ΕΝΤΕΥΘΕΝ ἐξελαύνει διὰ τῆς Βαβυλωνίας σταθμοὺς τρεῖς παρασάγγας δώδεκα. Ἐν δὲ τῷ τρίτῳ σταθμῷ Κῦρος ἐξέτασιν ποιεῖται τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐν τῷ πεδίῳ περὶ μέσας νύκτας· (ἐδόκει γὰρ, εἰς τὴν ἐπιοῦσαν ἕω ἥξειν βασιλέα σὺν τῷ στρατεύματι μαχούμενον) καὶ ἐκέλευε Κλέαρχον μὲν τοῦ δεξιοῦ κέρως ἡγεῖσθαι, Μένωνα δὲ τὸν Θετταλὸν τοῦ εὐωνύμου· αὐτὸς
2 δὲ τοὺς ἑαυτοῦ διέταττε. Μετὰ δὲ τὴν ἐξέτασιν ἅμα τῇ ἐπιούσῃ ἡμέρᾳ αὐτόμολοι παρὰ μεγάλου βασιλέως ἥκοντες ἀπήγγελλον Κύρῳ περὶ τῆς βασιλέως στρατιᾶς.

margo Villois. ἔλεγον. Vulgatum solœcum censebat Porson, sed recte Zeune comparat Diodori xvii. 30. ὁ μὲν Δαρεῖος ἐπιλαβόμενος τῆς τοῦ Χαριδήμου ζώνης κατὰ τὸν τῶν Περσῶν νόμον, παρέδωκε τοῖς ὑπηρέταις καὶ προσέταξεν ἀποκτεῖναι. ad quem locum Wesseling laudat verba Nicolai Damasceni ex Excerptis Valesianis hæc: εἰ μὴ παραδῷ Νάναρος τὸν Παρσώνδην, λαβόμενος τῆς ζώνης, ἄγειν αὐτὸν ἐπὶ θανάτῳ.

εἶτα [δὲ]] Seclusi δὲ, quod margo Villois. omittit. Deinde οἳ pro οἷς est in Edd. vett. Guelf. Verum est in Castal. Steph. margine Guelf. et Villois.

ἐπὶ θανάτῳ] Margo Steph. Villois. Paris. Eton. ἐπὶ θάνατον: ibidem deinceps est Ἀρτυπάτου—εἰσηνέχθη. In Eton. est Ἀρμαπάτου. Ἀρταβάτην Persam nominat Cyrop. viii. 3, 18. viii. 6, 7. Postea τεθνηκότα margo Villois.

11. ὅπως ἀπέθανεν] Brodæus ex Herodoti loco vii. 114. Περσικὸν δὲ τὸ ζῶντας κατορύσσειν suspicatur vivum terra obrutum fuisse in ipso tentorio.

1. ἐν τῷ πεδίῳ] Diodorus xiv. 22. de Artaxerxe: ὡς δ᾽ εἰς τὸ Βαβυλώνιον ἧκε πεδίον, παρὰ τὸν Εὐφράτην στρατοπεδείαν ἐβάλετο, διανοούμενος ἐν ταύτῃ καταλιπεῖν τὴν ἀποσκευήν.

διέταττε] Paris. et margo Villois. διέταξε.

Κῦρος δὲ, συγκαλέσας τοὺς στρατηγοὺς καὶ λοχαγοὺς
τῶν Ἑλλήνων, συνεβουλεύετό τε, πῶς ἂν τὴν μάχην ποι-
οῖτο, καὶ αὐτὸς παρῄνει θαῤῥύνων τοιάδε· "Ὦ ἄνδρες 3
Ἕλληνες, οὐκ ἀνθρώπων ἀπορῶν βαρβάρων, συμμάχους
ὑμᾶς ἄγω, ἀλλὰ νομίζων, ἀμείνονας καὶ κρείττους πολ-
λῶν βαρβάρων ὑμᾶς εἶναι, διὰ τοῦτο προσέλαβον.
Ὅπως οὖν ἔσεσθε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας, ἧς κέκτη-
σθε, καὶ ὑπὲρ ἧς ὑμᾶς ἐγὼ εὐδαιμονίζω. Εὖ γὰρ ἴστε,
ὅτι τὴν ἐλευθερίαν ἑλοίμην ἂν, ἀντὶ ὧν ἔχω πάντων καὶ
ἄλλων πολλαπλασίων. Ὅπως δὲ καὶ εἰδῆτε, εἰς οἷον 4
ἔρχεσθε ἀγῶνα, ἐγὼ ὑμᾶς εἰδὼς διδάξω. Τὸ μὲν γὰρ
πλῆθος πολὺ, καὶ πολλῇ κραυγῇ ἐπίασιν· ἂν δὲ ταῦτα
ἀνάσχησθε, τἄλλα καὶ αἰσχύνεσθαί μοι δοκῶ οἵους
ἡμῶν γνώσεσθε τοὺς ἐν τῇ χώρᾳ ὄντας ἀνθρώπους.
Ὑμῶν δὲ ἀνδρῶν ὄντων, καὶ εὐτόλμων γενομένων, [ἐγὼ
ὑμῶν] τὸν μὲν οἴκαδε βουλόμενον ἀπιέναι τοῖς οἴκοι ζη-
λωτὸν ποιήσω ἀπελθεῖν· πολλοὺς δ' οἶμαι ποιήσειν τὰ
παρ' ἐμοὶ ἑλέσθαι ἀντὶ τῶν οἴκοι."

2. *συνεβουλεύετό τε*] Ita vulgatum *συνεβούλευε τότε* ex Guelf. Paris. Eton. et Regio A. et libro 3. 1. in margine Villois. correxit Zeune.

αὐτὸς παρῄνει] Ita Junt. margo Steph. Guelf. Eton. Paris. *αὐτοὺς* Aldina, Stephani prior et Leoncl. quod iterum probavit Weiske. *ἂν παρῄνει* Stephani sec. Paulo antea *ποιεῖτο* habet Guelf.

3. *εὐδαιμονίζω*] Infra ix. 29. Cyrus dicitur servus regis. Antecedens *ὑπὲρ* omittit margo Villois. ut sequens *ἐγὼ* Guelf.

πολλαπλασίων] Ita Steph. et Guelf. cum margine Villois. *παραπλησίων* Edd. vett. et Eton.

4. *Ὅπως δὲ καὶ—ὑμᾶς εἰδὼς*] Ex libro Paris. et Eton. adjunxi *καὶ* et *εἰδώς*. Posterius habet etiam margo Steph. et Villois.

Τὸ μὲν γὰρ] Aldina et Steph. *γὰρ* omittunt, quod ex Junt. Guelf. Paris. revocavit Zeune. Deinceps *ἐπιᾶσι* Edd. vett. Guelf. Postea *οἵους ἡμῖν* dat Paris. liber.

ἀνθρώπους] Sequens *ἀνδρῶν* opponi cum significatione virtutis virilis recte admonet Hutchinson comparans Philostrati V. A. i. 16. *οὐκ ἀνθρώπων ἑαυτῷ δεῖν, ἀλλ' ἀνδρῶν.* Ceterum *ὄντων* cum sequenti *γενομένων* non bene coire censens Weiske mutari voluit in *ὄντως*. Acute!

ἐγὼ ὑμῶν] Orationem scabram et hiulcam lævigandam censeo ita, ut præeunte libro Eton. verba hæc deleamus, quæ interim seclusi. Varietatem hanc cum multis aliis omiserat annotare Zeune.

ἑλέσθαι] Ita cum margine Steph. Villois. Paris. Eton. solœcum *αἱρήσεσθαι* correxi, quod miror tam diu tolerasse Interpretes. Infra v. 7, 27. est *ποιήσουσιν ὑμᾶς τῶν λόγων μὴ ἀκοῦσαι.*

Ἐνταῦθα Γαυλίτης παρὼν, φυγὰς Σάμιος, πιστὸς δὲ
Κύρῳ, εἶπε· "Καὶ μὴν, ὦ Κῦρε, λέγουσί τινες, ὅτι πολλὰ
ὑπισχνῇ νῦν, διὰ τὸ ἐν τοιούτῳ εἶναι τοῦ κινδύνου προσιόν-
τος· ἂν δ' εὖ γένηταί τι, οὐ μεμνῆσθαί σε·" ἔνιοι δὲ, "οὐδ'
εἰ μεμνῷό τε καὶ βούλοιο, δύνασθαι ἂν ἀποδοῦναι, ὅσα
6 ὑπισχνῇ." Ἀκούσας ταῦτα ἔλεξεν ὁ Κῦρος· "Ἀλλ' ἔστι
μὲν ἡμῖν, ὦ ἄνδρες, ἡ ἀρχὴ ἡ πατρῴα, πρὸς μὲν μεσημ-
βρίαν, μέχρις οὗ διὰ καῦμα οὐ δύνανται οἰκεῖν οἱ ἄν-
θρωποι· πρὸς δὲ ἄρκτον, μέχρις ὅτου διὰ χειμῶνα· τὰ
δ' ἐν μέσῳ τούτων ἅπαντα σατραπεύουσιν οἱ τοῦ ἐμοῦ
7 ἀδελφοῦ φίλοι. Ἦν δ' ἡμεῖς νικήσωμεν, ἡμᾶς δεῖ τοὺς
ἡμετέρους φίλους τούτων ἐγκρατεῖς ποιῆσαι. Ὥστε οὐ
τοῦτο δέδοικα, μὴ οὐκ ἔχω, ὅ τι δῶ ἑκάστῳ τῶν φίλων,
ἂν εὖ γένηται, ἀλλὰ μὴ οὐκ ἔχω ἱκανοὺς, οἷς δῶ. Ὑμῶν
δὲ τῶν Ἑλλήνων καὶ στέφανον ἑκάστῳ χρυσοῦν δώσω."
8 Οἱ δὲ ταῦτα ἀκούσαντες αὐτοί τε ἦσαν πολὺ προθυμότε-
ροι, καὶ τοῖς ἄλλοις ἐξήγγελλον. Εἰσῄεσαν δὲ παρ'
αὐτὸν [οἵ τε στρατηγοὶ] καὶ τῶν ἄλλων Ἑλλήνων τινὲς,

5. Γαυλίτης] Thucydides viii. 85. Mindaro Spartano Tissaphernes ξυνέπεμψε πρεσβευτὴν τῶν παρ' ἑαυτοῦ Γαυλείτην ὄνομα, Κᾶρα δίγλωσσον. Is postea in Cyri partes transiisse videtur.

τοῦ κινδύνου προσιόντος] Vulgatum τοῦ κ. τοῦ προσιόντος ex Cod. Paris. correxi. Articulus enim ferri hic non poterat. Hæc scilicet verba non copulanda sunt cum illis ἐν τοιούτῳ, sed ibi καιρῷ intelligendum.

οὐ μεμνῆσθαί σε] Repete λέγουσι. Non est igitur opus post σε cum MS. Paris. Eton. et margine Villois. φασὶν addere. Ex Eton. μεμνῆσθαί οἱ φασὶν annotavit Hutchinson.

μεμνῷό] Vulgatum μέμνοιό corrigendum putavi ex usu Xenophonteo, de quo dictum ad Cyrop. i. 6, 3. p. 58. In Platonis Rep. i. p. 134. est adhuc μεμνῆτ' ἄν. Deinceps ἐνδοῦναι pro ἀποδοῦναι habet margo Villois.

6. ἡ πατρῴα] Juntina articulum ἡ omisit: deinceps Stephanus πρὸς μὲν τὴν μεσημβρίαν edidit, quem sequitur Weiske; sed articulum τὴν omittunt Edd. vett. cum Guelf. et sequitur πρὸς δὲ ἄρκτον.

μέχρις ὅτου] Sentio cum Buttmanno ὅπου scribendum esse.

7. ἡμᾶς δεῖ] Ita cum Steph. sec. Edd. vett. Amasæo et Guelf. Zeune; reliquæ ante Zeunianam ὑμᾶς δεῖ habebant, quod in Guelf. manus secunda adscripsit.

ἑκάστῳ] Edd. vett. cum Guelf. omittunt, hinc ὑμῖν edidit Castalio. Ἑλλήνων ἑκάστῳ καὶ στέφ. dat margo Villois.

8. [οἵ τε στρατηγοὶ] Vitium loci intellexit Weiske, medelam non reperit. Gallicus interpres Ablancourt *l'allerent trouver en particulier* vertit, sed additum in oratione græca tale nihil reperitur. Igitur hæc verba delenda censeo; interim seclusi.

ἀξιοῦντες εἰδέναι, τί σφίσιν ἔσται, ἐὰν κρατήσωσιν. Ὁ
δὲ ἐμπιπλὰς ἁπάντων τὴν γνώμην ἀπέπεμπε. Παρε- 9
κελεύοντο δ' αὐτῷ πάντες, ὅσοιπερ διελέγοντο, μὴ μάχε-
σθαι, ἀλλ' ὄπισθεν ἑαυτῶν τάττεσθαι. Ἐν δὲ τῷ
καιρῷ τούτῳ Κλέαρχος ὧδέ πως ἤρετο Κῦρον· Οἴει γάρ
σοι, ὦ Κῦρε, μαχεῖσθαι τὸν ἀδελφόν; Νὴ Δί', ἔφη ὁ
Κῦρος, εἴπερ γε Δαρείου καὶ Παρυσάτιδός ἐστι παῖς, καὶ
ἐμὸς δὲ ἀδελφὸς, οὐκ ἀμαχεὶ ταῦτα ἐγὼ λήψομαι.

Ἐνταῦθα δὴ ἐν τῇ ἐξοπλισίᾳ ἀριθμὸς ἐγένετο τῶν μὲν 10
Ἑλλήνων ἀσπὶς μυρία καὶ τετρακοσία· πελτασταὶ δὲ
δισχίλιοι καὶ τετρακόσιοι· τῶν δὲ μετὰ Κύρου βαρβάρων
δέκα μυριάδες, καὶ ἅρματα δρεπανηφόρα ἀμφὶ τὰ εἴ-
κοσι. Τῶν δὲ πολεμίων ἐλέγοντο εἶναι ἑκατὸν καὶ εἴ- 11
κοσι μυριάδες, καὶ ἅρματα δρεπανηφόρα διακόσια.
Ἄλλοι δὲ ἦσαν ἑξακισχίλιοι ἱππεῖς, ὧν Ἀρταγέρσης ἦρ-
χεν· οὗτοι δὲ πρὸ αὐτοῦ βασιλέως τεταγμένοι ἦσαν.
Τοῦ δὲ βασιλέως στρατεύματος ἦσαν ἄρχοντες καὶ στρα- 12
τηγοὶ καὶ ἡγεμόνες τέτταρες, τριάκοντα μυριάδων ἕκα-
στος, Ἀβροκόμας, Τισσαφέρνης, Γωβρύας, Ἀρβάκης.
Τούτων δὲ παρεγένοντο ἐν τῇ μάχῃ ἐννενήκοντα μυριάδες,

ἐμπιπλὰς] Guelf. ἐμπιμπλὰς, Suidas εἰσπιμπλὰς in h. v. dat. Noster Hellenic. vi. 1, 4. p. 339. ἐκπλῆσαι τὰς γνώμας αὐτῶν. ubi Brodæus ἐμπλῆσαι malebat ex hoc loco scriptum. Ibidem Demosthenis locum adscripsi.

9. μὴ μάχεσθαι] Cyri responsum habet Plutarchus Artax. 8. Τί λέγεις, ὦ Κλέαρχε; σὺ κελεύεις με, τὸν βασιλείας ὀρεγόμενον, ἀνάξιον εἶναι βασιλείας; Clearchi rationes exposuit Polyænus ii. 2, 3.

καὶ ἐμὸς δὲ] Ex margine Steph. Villois. et Paris. δὲ adscivi. Sequens ἐγὼ omittit Eton.

10. μυρία καὶ τετρακοσία] Cum major numerus positus sit supra i. 2, 9. cum Zeunio statuit Weiske, eos, qui ad impedimenta fuerint relicti cap. 10, 3. hic non numerari. Sed numerus ille superior valde dubius est propter librorum scriptorum diversitatem; atque hoc in ipso loco margo Steph. Villois. et Paris. πεντακόσιοι dant pro τετρακόσιοι.

11. ἑκατὸν καὶ εἴκοσι] Cum Ctesia τετταράκοντα μυριάδας numerat Plutarchus, et cum Ephoro Diodorus xiv. 22.

Ἀρταγέρσης] Ita etiam margo Villois. cum Plutarcho nominat. Ἀρταγέσης Juntina, Guelf. Ἀνταγέρσης margo Steph. et Paris.

αὐτοῦ βασιλέως] Weiske αὐτοῦ τοῦ β. malebat.

12. καὶ στρατηγοὶ καὶ ἡγεμόνες] Hæc a glossatore accessisse non dissimilis veri est conjectura Weiskii.

Ἀβροκόμας] Margo Steph. Ἀκροκό-

καὶ ἅρματα δρεπανηφόρα ἑκατὸν καὶ πεντήκοντα· Ἀβρο-
κόμας γὰρ ὑστέρησε τῆς μάχης ἡμέρας πέντε, ἐκ Φοινί-
13 κης ἐλαύνων. Ταῦτα δὲ ἤγγελλον πρὸς Κῦρον οἱ αὐτο-
μολήσαντες ἐκ τῶν πολεμίων παρὰ μεγάλου βασιλέως
πρὸ τῆς μάχης· καὶ μετὰ τὴν μάχην, οἳ ὕστερον ἐλή-
14 φθησαν τῶν πολεμίων, ταὐτὰ ἤγγελλον. Ἐντεῦθεν δὲ
Κῦρος ἐξελαύνει σταθμὸν ἕνα παρασάγγας τρεῖς συντε-
ταγμένῳ τῷ στρατεύματι παντὶ καὶ τῷ Ἑλληνικῷ καὶ
τῷ βαρβαρικῷ· ᾤετο γὰρ, ταύτῃ τῇ ἡμέρᾳ μαχεῖσθαι
βασιλέα· κατὰ γὰρ μέσον τὸν σταθμὸν τοῦτον τάφρος
ἦν ὀρυκτὴ, βαθεῖα, τὸ μὲν εὖρος ὀργυιαὶ πέντε, τὸ δὲ
15 βάθος ὀργυιαὶ τρεῖς. Παρετέτατο δὲ ἡ τάφρος ἄνω διὰ
τοῦ πεδίου ἐπὶ δώδεκα παρασάγγας μέχρι τοῦ Μηδίας
τείχους. Ἔνθα δὴ εἰσὶν αἱ διώρυχες, ἀπὸ τοῦ Τίγρητος
ποταμοῦ ῥέουσαι· εἰσὶ δὲ τέτταρες, τὸ μὲν εὖρος πλε-
θριαῖαι, βαθεῖαι δὲ ἰσχυρῶς, καὶ πλοῖα πλεῖ ἐν αὐταῖς
σιταγωγά· εἰσβάλλουσι δὲ εἰς τὸν Εὐφράτην, διαλεί-
πουσι δὲ ἑκάστη παρασάγγην, γέφυραι δὲ ἔπεισιν. Ἦν

μας, Γεβρύας, deinde cum margine Villois. Ἀρκάβης. Infra vii. 8, 25. Μηδείας Ἀρβάκας ἄρχων dicitur. Anonymus Suidæ in voc. Κονοσκογκόλυρος Sardanapali ducem Ἀρβάκην nominat: ὁ δὲ Ἀρβάκης οὗτος καὶ τὴν βασιλείαν μετέθηκεν εἰς Μήδους. Plura de eo Arbace narrat Diodorus ii. 24. seqq.

ὑστέρησε] At supra iv. 5. dicitur e Phœnicia abiisse ad regem, et sect. 18. Cyri exercitum antecessisse. Cui discrepantiæ qui medeamur, nulla est excogitata adhuc ratio.

14. συντεταγμένῳ] Ita cum Stephano liber 2. in margine Villois. συντεταγμένοι Juntini, συντεταγμένος Aldina, Castal. liber 1. 3. in margine Villois.

βαθεῖα] De altitudine et latitudine dissensum Plutarchi, Diodori et Xenophontis, quis hodie componat? et quid operæ pretium?

15. Παρετέτατο] Castal. παρετέτακτο dedit, deinde Μηδίας; sed Edd. vett. reliquæ Μειδίας cum Guelf. De eodem muro est infra ii. 4, 12.

Τίγρητος] Ita cum Guelf. Leoncl. Welfiana, Hutchinsoniana. Ceteræ Edd. cum Eton. et margine. Villois. Πίγρητος dant. Hæc eadem librorum scripturæ varietas est in hoc nomine apud Herodotum et Arrianum, eamque jam olim in Codicibus repertam annotavit Eustathius ad Dionysium, monente Weiskio. Ceterum canales non ex Tigride in Euphratem, sed contra, derivatos esse, præter multos alios testes, significat Arriani Anabasis vii. 7. ubi compara Interpretes.

ἰσχυρῶς—πλεῖ] Cum Edd. vett. πλεῖν haberent, Castalio ἰσχυρῶς in ὥστε et πλεῖ in πλεῖν mutavit. Muretus ἰσχυρῶς ὡς—πλεῖν conjecit. Stephani scripturam firmat margo Villois. Guelf. Eton. Deinceps παραλείπουσι pejus Eton. habet.

δὲ παρ' αὐτὸν τὸν Εὐφράτην πάροδος στενὴ μεταξὺ τοῦ ποταμοῦ καὶ τῆς τάφρου, ὡς εἴκοσι ποδῶν τὸ εὖρος. Ταύτην δὴ τὴν τάφρον βασιλεὺς μέγας ποιεῖ ἀντὶ ἐρύματος, ἐπειδὴ πυνθάνεται Κῦρον προσελαύνοντα. Ταύτην 16
δὲ τὴν πάροδον Κῦρός τε καὶ ἡ στρατιὰ παρῆλθε, καὶ ἐγένοντο εἴσω τῆς τάφρου. Ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ οὐκ 17
ἐμαχέσατο βασιλεὺς, ἀλλ' ὑποχωρούντων φανερὰ ἦσαν καὶ ἵππων καὶ ἀνθρώπων ἴχνη πολλά. Ἐνταῦθα Κῦ- 18

16. Ταύτην δὴ] Hutchinsoniana et Zeuniana Editio δὲ habent; prior etiam cum Weiskiana paulo post habet ταύτην δὲ τὴν πάροδον. ubi Zeune monet id esse operarum vitium in Hutchinsoniana. Altero tamen loco Weiskium sequi placuit. Ceterum de usu bellico Persarum ita Cyropæd. iii. 3, 26. οἱ μὲν οὖν Ἀσσύριοι καὶ οἱ σὺν αὐτοῖς, ἐπειδὴ ἐγγὺς ἀλλήλων τὰ στρατεύματα ἐγίγνετο, τάφρον περιεβάλλοντο· ὅπερ καὶ νῦν ἔτι ποιοῦσιν οἱ βάρβαροι βασιλεῖς· ὁπόταν στρατοπεδεύωνται, τάφρον περιβάλλονται εὐπετῶς διὰ τὴν πολυχειρίαν. Tum rationes ejus rei exponit, addens: τούτων δὴ ἕνεκα πάντων καὶ οἱ ἄλλοι καὶ ἐκεῖνοι τὰ ἐρύματα περιβάλλονται. καὶ ἅμα αὐτοῖς δοκεῖ τὸ ἐν ἐχυρῷ εἶναι καὶ ἐξουσίαν παρέχειν, ὅταν βούλωνται, μὴ μάχεσθαι. De fossa ab Artaxerxe castris circumdata Plutarchus c. 7. καὶ γὰρ τάφρον εὖρος ὀργυιῶν δέκα καὶ βάθος ἴσον ἐπὶ σταδίους διὰ τοῦ πεδίου τετρακοσίους ἐνέβαλε. καὶ ταύτης τε περιεῖδε τὸν Κῦρον ἐντὸς παρελθόντα καὶ Βαβυλῶνος αὐτῆς οὐ μακρὰν γενόμενον. Aliter Diodorus xiv. 22. ὡς δ' εἰς τὸ Βαβυλώνιον ἧκε πεδίον, παρὰ τὸν Εὐφράτην στρατοπεδείαν ἐβάλετο, διανοούμενος ἐν ταύτῃ καταλιπεῖν τὴν ἀποσκευήν.—ὀρύξας οὖν τάφρον τὸ μὲν πλάτος ποδῶν ἑξήκοντα, τὸ δὲ μῆκος ποδῶν δέκα, περιέθηκε κύκλῳ τὰς συνακολουθούσας ἁρμαμάξας καθαπερεὶ τεῖχος· καταλιπὼν δ' ἐν τῇ παρεμβολῇ τὴν ἀποσκευὴν καὶ τὸν ἀχρεῖον ὄχλον, ἐπὶ μὲν ταύτης ἱκανὴν φυλακὴν παρέστησεν· αὐτὸς δὲ τὴν δύναμιν εὔζωνον προαγαγὼν ἀπήντα τοῖς πολεμίοις. Quæ partim lacunosa, alia vitiosa esse viderunt Interpretes. Conciliare numerorum diversitatem hodie etiam libris melioribus adhibitis vix licebit. Ex his patet, τάφρον hanc ὀρυκτὴν pro tempore fuisse effossam ab Artaxerxe ad castra munienda: patet etiam enormis error Mannerti in Geographia v. p. 330. ubi locum Ammiani comparat xxiv. 2. Is enim τάφρον hanc pro canali habuit ducto ex Euphrate, quos διώρυχας vocare solet. Verba ejus sunt hæc: *Xenophon sahe diesen Kanal noch im vollkommenen Zustande; die Tiefe des Grabens hatte 5 orgyiæ, die Breite 3; nach seiner Erzählung hatte er 12 Parasangen in die Laenge, stiess erst ostlich an die Medische Mauer, und war vond em Euphrat durch einen 20 Fuss breiten bevestigten Strich Landes getrennt. Diese Enge nennt er Pylæ, den Pass, und versteht gewiss nicht, wie es Danville annimmt, eine viel weiter nordwestlich am Euphrat gelegene Stadt.* Postrema orationis pars de Pylis supra v. 5. nominatis plane est ab hoc situ aliena. De muro Medico dicetur ad ii. 4, 12. Errorem repetiit Mannert p. 380. unde apparet, eum verba Xenophontis ταύτην τὴν τάφρον βασιλεὺς ποιεῖ ἀντὶ ἐρύματος pessime interpretatum dixisse: *Zwischen ihm (dem Kanal, τάφρος) und dem Euphrat befand sich ein Zwischenraum von 20 Fuss, der den Eingang erlaubte, aber zur Befestigung des Landes diente, weil hier ein Feind leicht abzuhalten war. Eben deswegen heisst Xenophon diesen Pass weiter oben Pylæ.* Errorem repetitum cumulavit suspicionibus variis, quas refellere operæ non est, cum error primarius pateat.

17. Ταύτῃ μὲν οὖν] Eton. ταύτῃ μὲν δὲ dat.

ρος, Σιλανὸν καλέσας, τὸν Ἀμβρακιώτην μάντιν, ἔδω-
κεν αὐτῷ δαρεικοὺς τρισχιλίους, ὅτι τῇ ἐνδεκάτῃ ἀπ' ἐκεί-
νης τῆς ἡμέρας πρότερον θυόμενος, εἶπεν αὐτῷ, ὅτι βασι-
λεὺς οὐ μαχεῖται δέκα ἡμερῶν· Κῦρος δ' εἶπεν, Οὐκ
ἄρα ἔτι μαχεῖται, εἰ μὴ ἐν ταύταις ταῖς ἡμέραις μαχεῖ-
ται· ἐὰν δ' ἀληθεύσῃς, ὑπισχνοῦμαί σοι δέκα τάλαντα.
Τοῦτο τὸ χρυσίον τότε ἀπέδωκεν, ἐπεὶ παρῆλθον αἱ δέκα
19 ἡμέραι. Ἐπεὶ δ' ἐπὶ τῇ τάφρῳ οὐκ ἐκώλυε βασιλεὺς
τὸ Κύρου στράτευμα διαβαίνειν, ἔδοξε καὶ Κύρῳ καὶ τοῖς
ἄλλοις ἀπεγνωκέναι τοῦ μάχεσθαι· ὥστε τῇ ὑστεραίᾳ
20 Κῦρος ἐπορεύετο ἠμελημένος μᾶλλον. Τῇ δὲ τρίτῃ ἐπί
τε τοῦ ἅρματος καθήμενος τὴν πορείαν ἐποιεῖτο, καὶ ὀλί-
γους ἐν τάξει ἔχων πρὸ αὐτοῦ· τὸ δὲ πολὺ αὐτῷ ἀνατε-
ταραγμένον ἐπορεύετο, καὶ τῶν ὅπλων τοῖς στρατιώταις
πολλὰ ἐπὶ ἁμαξῶν καὶ ὑποζυγίων ἤγετο.

18. Ἀμβρακιώτην] Ita cum Steph. margo Villois. Ἀβρακιώτην Edd. vett.

τρισχιλίους] MS. Paris. δισχιλίους. Sequens θυόμενος ex conjectura Leonclavii, quam firmat alter locus infra v. 6, 18. ubi est de eadem re: ὅτι τὰς δέκα ἡλήθευσε θυόμενος Κύρῳ. recepit cum Hutchinsono Zeune. πυθόμενος enim est in Edd. Guelf. Eton. πυθομένῳ conjecerat Muretus.

εἰ μὴ] Liber Paris. Eton. εἰ ἐν ταύταις οὐ μαχεῖται ταῖς ἡμέραις. Margo Villois. εἰ οὐ ἐν ταύταις μαχεῖται ἡμέραις.

δέκα τάλαντα] Hanc igitur summam efficiunt tria millia daricorum.

19. τοῦ μάχεσθαι] Vulgatum μαχεῖσθαι correxi. Xenophon Hellenicorum vii. 5, 7. τὸ κατὰ γῆς πορεύεσθαι ἀπεγνωκέναι habet, sed τοῦ scribendum videtur. Thucydides iii. 85. ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλό τι ἢ κρατεῖν τῆς γῆς dixit pro eo, quod vulgatius diceretur ὅπως ἀπογιγνώσκωσι τοῦ. Dionysius ἀπογνοὺς ἁπάσης ἐλπίδος habet. Arrianus Anab. v. 24, 12. ὡς δ' ἀπέγνω διώκειν τοῦ πρόσω τοὺς φεύγοντας. ubi facillimum erat corrigere τοῦ διώκειν, nisi nuperus Editor Codicis optimi opem exspectasset. Idem tamen Arrianus iii. 20, 4. Ἀλέξανδρος δὲ ὡς ἀπέγνω κατὰ πόδας αἱρήσειν Δαρεῖον habet, quod ad defendendam vulgatam scripturam h. l. non valet; est enim *desperare*, contra in Xenophonte est *consilium abjicere alicujus rei.* Est etiam locus i. 5, 14. Ἀλέξανδρος τὴν μὲν πόλιν ἀπέγνω ἑλεῖν ἄν. qui futuri significationem habet eandem cum notione *desperandi.*

ἠμελημένος] Stephanus ἠμελημένως edidit, quem sequitur Weiske. Plutarchus Artax. 7. καὶ τὸ μὲν πρῶτον ἐξαίφνης καταφανεὶς — τοὺς πολεμίους ἀσυντάκτους καὶ ἀνόπλους διὰ τὸ θαῤῥεῖν καὶ καταφρονεῖν ὁδοιποροῦντας ἐξέπληξε καὶ συνετάραξεν, ὥστε σὺν θορύβῳ καὶ βοῇ πολλῇ μόλις εἰς τάξιν καθίστασθαι τὸν Κῦρον.

20. ἐν τάξει] Ita Castalio et margo Villois. τάχει Juntina. deinceps ἀνατετραμμένον habet margo Steph. Villois. Paris.

CAP. VIII.

ΚΑΙ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν, καὶ πλησίον
ἦν ὁ σταθμὸς, ἔνθα ἔμελλε καταλύσειν, ἡνίκα Πατα-
γύας, ἀνὴρ Πέρσης, τῶν ἀμφὶ Κῦρον πιστῶν, προφαίνε-
ται ἐλαύνων ἀνὰ κράτος ἱδροῦντι τῷ ἵππῳ· καὶ εὐθὺς
πᾶσιν, οἷς ἐνετύγχανεν, ἐβόα καὶ βαρβαρικῶς καὶ Ἑλ-
ληνικῶς, ὅτι βασιλεὺς σὺν στρατεύματι πολλῷ προσέρ-
χεται, ὡς εἰς μάχην παρεσκευασμένος. Ἔνθα δὴ ϖο- 2
λὺς τάραχος ἐγένετο· αὐτίκα γὰρ ἐδόκουν οἱ Ἕλληνες
καὶ πάντες δὲ, ἀτάκτοις σφίσιν ἐπιπεσεῖσθαι. Καὶ 3
Κῦρός τε καταπηδήσας ἀπὸ τοῦ ἅρματος τὸν θώρακα
ἐνέδυ, καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον, τὰ παλτὰ εἰς τὰς
χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξο-
πλίζεσθαι, καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκα-
στον. Ἔνθα δὴ σὺν πολλῇ σπουδῇ καθίσταντο, Κλέ- 4
αρχος μὲν τὰ δεξιὰ τοῦ κέρατος ἔχων, πρὸς τῷ Εὐφράτῃ
ποταμῷ, Πρόξενος δὲ ἐχόμενος· οἱ δ' ἄλλοι μετὰ τοῦτον.
Μένων δὲ [καὶ τὸ στράτευμα] τὸ εὐώνυμον κέρας εἶχε τοῦ

1. καταλύσειν] Margo Villois. cum Paris. καταλύειν habet.

Παταγύας] Paris. Πατηγύας, Eton. Παντηγύας, Junt. Guelf. Παγύας, margo Villois. Παταγύας et Πατάγδας habet.

πιστῶν] Margo Steph. et Villois. cum Paris. dat πιστός. Deinceps ἀνὰ κράτος cum margine Steph. Villois. Paris. Eton. et Suida in ἀνακράτος et ἀγκράτος edidit Zeune pro vulgato antea κατὰ κράτος, quod tamen est infra sect. 19.

σὺν στρατεύματι] Præpositionem omittunt Edd. vett. Guelf. addit cum Stephano margo Villois. ubi est etiam παρεσκευασμένος, quod in locum vulgati παρασκευασμένος, recepit Stephanus.

2. καὶ πάντες δὲ] Atque omnes omnino, etiam Persæ. Comparavit Hutchinson similem locum Cyrop. i. 1, 2.

3. Καὶ Κῦρός τε—ἐκ] Paris. καὶ Κῦρος καταπηδήσας ἀπὸ τοῦ ἅρματος. Eton. Κῦρός τε habet. deinceps ἐνέδυτο Eton. Equidem ἀπὸ recepi in locum vulgati ἐκ.

τὸν ἵππον] Edd. vett. Guelf. a prima manu et Suidas in v. παλτὰ dant τῶν ἵππων, margo Villois. τοῦ ἵππου.

εἰς τὰς χεῖρας] Articulum ex Paris. et Eton. addidi. Suidas in v. παλτὰ habet ἐπὶ τὰς χεῖρας. Cf. cap. v. sect. 15.

παρήγγελλεν] Aldina, Guelf. παρήγγελεν.

4. Μένων δὲ [καὶ τὸ στράτευμα]] Edd. vett. et Guelf. omittunt καὶ, quod addidit Stephanus et habet margo Villois. Arnaldus Animadv.

5 Ἑλληνικοῦ. Τοῦ δὲ βαρβαρικοῦ ἱππεῖς μὲν Παφλα-
γόνες εἰς χιλίους παρὰ Κλέαρχον ἕστασαν ἐν τῷ δεξιῷ,
καὶ τὸ Ἑλληνικὸν πελταστικόν· ἐν δὲ τῷ εὐωνύμῳ Ἀρι-
6 αῖός τε ὁ Κύρου ὕπαρχος καὶ τὸ ἄλλο βαρβαρικόν. Κῦ-
ρος δὲ καὶ ἱππεῖς μετ' αὐτοῦ ἑξακόσιοι (κατὰ τὸ μέσον,)
ὡπλισμένοι θώραξι μὲν αὐτοὶ καὶ παραμηριδίοις καὶ
κράνεσι πάντες, πλὴν Κύρου. Κῦρος δὲ, ψιλὴν ἔχων
τὴν κεφαλὴν, εἰς τὴν μάχην καθίστατο. [Λέγεται δὲ
καὶ τοὺς ἄλλους Πέρσας ψιλαῖς ταῖς κεφαλαῖς ἐν τῷ
7 πολέμῳ διακινδυνεύειν.] Οἱ δ' ἵπποι ἅπαντες, οἱ μετὰ
Κύρου, εἶχον καὶ προμετωπίδια καὶ προστερνίδια· εἶχον
δὲ καὶ μαχαίρας οἱ ἱππεῖς Ἑλληνικάς.
8 Καὶ ἤδη τε ἦν μέσον ἡμέρας, καὶ οὔπω καταφανεὶς

Critic. p. 173. corrigebat Μένων δὲ τὸ στρατεύματος εὐώνυμον κέρας εἶχε τοῦ Ἑλλ. In libro Paris. est ἔσχε. Weiske conjecit scribendum Μένωνος δὲ τὸ στράτευμα τὸ εὐών. Equidem cum Wyttenbachio verba seclusi, quæ ex interpretatione orta esse censebat vir doctus.

5. ἕστασαν] Guelf. ἔστασαν, ut supra cap. v. 13. ἔστησαν Paris. Deinceps Eton. Ἀρισταῖος dat, Diodorus Ἀριδαῖος habet. Diodorus: συνηγωνίζοντο δ' αὐτῷ τῶν ἱππέων οἱ συναχθέντες ἀπὸ Παφλαγονίας, ὄντες ὑπὲρ τοὺς χιλίους. Postea πελταστὸν ex libro 2. annotat margo Villois.

6. καὶ ἱππεῖς μετ' αὐτοῦ] Guelf. καὶ omisit, deinde ἱππεῖς τούτου ὅσον Paris. Eton. αὐτοῦ ὅσον Codex 2. marginis Villois. Diodorus: προηγοῦντο δ' αὐτῷ τῶν ἱππέων οἱ κάλλιστα διεσκευασμένοι χίλιοι, θώρακας ἔχοντες καὶ μαχαίρας Ἑλληνικάς.

κατὰ τὸ μέσον] Intellige ἦσαν. Sed hæc ipsa verba ex conjectura Leonclavii suppleta desunt in libris scriptis et editis omnibus; expreſſit tamen versio Galli Pyrami de Candole ab Hutchinsono comparata. Amasæus *in principiis* posuit. Sensum supplementi confirmat Diodori narratio et mos regum Persarum, de quo infra sect. 22.

μὲν αὐτοὶ] Ita cum Paris. et libro 2. in margine Villois. scripsi pro μεγάλοις. Sed in libro 1. verba hæc deesse monet margo Villois.

ψιλὴν] *Caput tiara vel pileo tectum*, non *galea*, interpretatur Hutchinson. Persis enim in pugna κυρβασίας ἐπὶ τῇσι κεφαλῇσι tribuit Herodotus v. 49. et Plutarchus Artaxerxis c. 11. narrat Cyro de capite tiaram defluxisse.

Λέγεται—διακινδυνεύειν] Ne hæc pugnent cum superioribus, ubi equites Cyri (Persæ scilicet) galeis armati dicuntur, per ἄλλους Zeune intelligendos censet vel pedites, vel potius equites eos, qui non pertinerent ad cohortem prætorianam Cyri. Similiter enim in Cyrop. vii. 1, 2. equites stipatores Cyri majoris dici gestasse galeas aureas. Contra Wyttenbach aut totum hoc membrum insititium esse censet, aut vitium residere in ἄλλους. Weiske totum locum tanquam e scholio ortum seclusit. Alieno enim loco referri, et esse per se ineptum; repugnare enim ei, quod modo dictum est; deinde cur dubitanter Xenophon per λέγεται id referat, quod ipse oculis suis viderat? Non constanter autem Persas pileos in pugna gestasse pro galea, verosimile esse ex Cyrop. vi. 4, 1. Conferri etiam jubet Herodotum vii. 84.

ἦσαν οἱ πολέμιοι· ἡνίκα δὲ δείλη ἐγένετο, ἐφάνη κονιορτὸς, ὥσπερ νεφέλη λευκὴ, χρόνῳ δὲ οὐ συχνῷ ὕστερον, ὥσπερ μελανία τις ἐν τῷ πεδίῳ ἐπιπολύ. Ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις ἤστραπτε, καὶ αἱ λόγχαι καὶ αἱ τάξεις καταφανεῖς ἐγίγνοντο. Καὶ ἦσαν 9
ἱππεῖς μὲν λευκοθώρακες ἐπὶ τοῦ εὐωνύμου τῶν πολεμίων· (Τισσαφέρνης ἐλέγετο τούτων ἄρχειν) ἐχόμενοι δὲ τούτων, γεῤῥοφόροι· ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν· (Αἰγύπτιοι δὲ οὗτοι ἐλέγοντο εἶναι) ἄλλοι δ' ἱππεῖς, ἄλλοι τοξόται. Πάντες δὲ οὗτοι κατὰ ἔθνη, ἐν πλαισίῳ πλήρει ἀνθρώπων ἕκαστον τὸ ἔθνος ἐπορεύετο.
Πρὸ δ' αὐτῶν ἅρματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων, 10
τὰ δρεπανηφόρα καλούμενα· εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀποτεταμένα, καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν, ὅτῳ ἐντύχοιεν. Ἡ δὲ γνώμη ἦν, ὡς εἰς τὰς τάξεις τῶν Ἑλλήνων ἐλώντων καὶ

8. ἐγένετο] Paris. ἐγίγνετο. Negationem ante συχνῷ ex conjectura Leonclavii addidit primus Hutchinson firmante Amasæi et veteri Gallica versione.

9. ἐχόμενοι] Suidas in voc. γέῤῥον habet ex h. l. καὶ γεῤῥοφόροι ὁπλῖται· ἐχόμενοι τούτων σὺν ποδήρεσι καὶ ξυλίναις ἀσπίσι· Αἰγ. &c. Ægyptiis eadem arma tribuuntur Cyrop. vi. 2, 10. Hos vero Ægyptios Zeune opinatur esse posteros eorum, qui a Cyro in fidem recepti dicuntur in Cyrop. vii. 1, 45. Ceterum particulam δὲ post Αἰγύπτιοι omittunt Edd. vett. cum Guelf. ut paulo post πάντες; utroque loco habet margo Villois.

ἕκαστον τὸ] Articulum ex Paris. cum Zeunio inserui. Herodotus vii. 60. de Xerxe copias recensente: ἀριθμήσαντες δὲ κατὰ ἔθνεα διέτασσον et cap. 100. Xerxes διεξελαύνων ἐπ' ἅρματος παρ' ἔθνος ἓν ἕκαστον ἐπυνθάνετο.

10. συχνὸν] Suidas ex h. l. πολὺ interpretatur. De curribus falcatis eadem tradunt Diodorus et Plutarchus.

καλούμενα] Ita cum Suida in v. δρεπανηφόρος Paris. et margo Villois. Vulgo est λεγόμενα.

ἀξόνων] Junt. Eton. et a prima manu Guelf. ἀξινῶν habent; deinde Aldina ἀποτεταγμένα.

ὑπὸ τοῖς δίφροις] In Cyrop. vi. 1, 30. est προσέθηκε δὲ καὶ δρέπανα σιδηρᾶ ὡς διπήχεα πρὸς τοὺς ἄξονας ἔνθεν καὶ ἔνθεν τῶν τροχῶν, καὶ ἄλλα κάτω ὑπὸ τῷ ἄξονι εἰς γῆν βλέποντα, ὡς ἐμβαλούντων εἰς τοὺς ἐναντίους τοῖς ἅρμασιν· ubi minus distincte dixit ὑπὸ τῷ ἄξονι, quod hic est ὑπὸ τοῖς δίφροις. Cogitandum enim est, currus esse birotos, quorum axi incumbit δίφρος, cui ipsi insistit παραιβάτης, et ante eum ἡνίοχος.

ἐντύχοιεν] Suidas ἐνετύγχανον, margo Villois. cum Paris. ἐντυγχάνοιεν, Eton. διακόπτοιεν ὅτῳ ἐντυγχάνοιεν. Ad vocabulum γνώμη intellige τῶν ἁρμάτων. Thucydides viii. 90. ἦν δὲ τοῦ τείχους ἡ γνώμη αὕτη.

ἐλώντων] Edd. vett. Guelf. ἑλόντων, Castal. ἐλούντων. Paris. cum libro 1.

11 διακοψόντων. Ὁ μέντοι Κῦρος εἶπεν, ὅτε καλέσας παρ-
εκελεύετο τοῖς Ἕλλησι, τὴν κραυγὴν τῶν βαρβάρων ἀν-
έχεσθαι, ἐψεύσθη τοῦτο· οὐ γὰρ κραυγῇ, ἀλλὰ σιγῇ ὡς
12 ἀνυστὸν, καὶ ἡσυχῇ ἐν ἴσῳ καὶ βραδέως προσῄεσαν. Καὶ
ἐν τούτῳ Κῦρος, παρελαύνων αὐτὸς σὺν Πίγρητι τῷ ἑρμη-
νεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι, τῷ Κλεάρχῳ ἐβόα,
ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων, ὅτι
ἐκεῖ βασιλεὺς εἴη· κἂν τοῦτο, ἔφη, νικῶμεν, πάνθ᾽ ἡμῖν
13 πεποίηται. Ὁρῶν δὲ ὁ Κλέαρχος τὸ μέσον στίφος, καὶ
ἀκούων Κύρου, ἔξω ὄντα τοῦ Ἑλληνικοῦ εὐωνύμου βασι-
λέα, (τοσούτῳ γὰρ πλήθει περιῆν βασιλεὺς, ὥστε μέσον
τὸ ἑαυτοῦ ἔχων τοῦ Κύρου εὐωνύμου ἔξω ἦν) ἀλλ᾽ ὅμως ὁ
Κλέαρχος οὐκ ἤθελεν ἀποσπᾶσαι ἀπὸ τοῦ ποταμοῦ τὸ
δεξιὸν κέρας, φοβούμενος, μὴ κυκλωθείη ἑκατέρωθεν·
τῷ δὲ Κύρῳ ἀπεκρίνατο, ὅτι αὐτῷ μέλοι, ὅπως καλῶς
ἔχοι.

14 Καὶ ἐν τούτῳ τῷ καιρῷ τὸ μὲν βαρβαρικὸν στράτευμα

2. 3. in margine Villois. ἐλθόντα καὶ διακόψοντα. Sequens διακοψόντων habet etiam Castalionis editio, ceteræ antiquæ διακοψάντων. Demetrius sect. 104. h. l. interpretatur: διενοοῦντο ἐλάσαι καὶ διακόψαι. Plutarchus: εὖ δὲ καὶ κατὰ τοὺς Ἕλληνας ἔταξε τῶν δρεπανηφόρων τὰ ῥωμαλεώτατα πρὸ τῆς ἑαυτοῦ φάλαγγος, ὡς, πρὶν ἐν χερσὶ γενέσθαι, διακόψοντα τὰς τάξεις βίᾳ τῆς εἰσελάσεως. De usu curruum falcatorum dixi ad Cyrop. vi. 1, 30. Similiter in exercitu Græcorum antiquo more ante aciem pugnabant παραιβάται curribus insistentes. Cf. Eurip. Suppl. 675. Diodorus xii. 79. xx. 41.

11. ἀνέχεσθαι] Ita pro ἀνασχέσθαι dedi ex MS. Paris. et Eton. Rem narrat supra vii. 4.

ὡς ἀνυστὸν] Edd. vett. Guelf. ὡς ἂν οἰστόν. Castalio, ὡς ἂν οἷόν τε, Eton. ὡς ἂν ἰστὸν, margo Villois. ὡς ἂν ὠστὸν, verum conjectura assecutus est cum Mureto Stephanus, firmante Paris. et Regio B. Noster in Republ. Laced. i. 3. ὡς ἀνυστὸν μετριωτάτῳ τρέφειν. Plutarchus Lycurgi c. 29. ἐπεθύμησεν, ὡς ἀνυστὸν ἐξ ἀνθρωπίνης προνοίας, ἀθάνατον τὴν νομοθεσίαν ἀπολιπεῖν. Arrianus i. 16, 10. ἵνα αὐτὸς ὡς ἀνυστὸν τῇ φάλαγγι προσμίξῃ αὐτοῖς.

ἐν ἴσῳ καὶ βραδέως] Plutarchus cap. vii. σιγῇ καὶ σχέδην ἐπάγων. Ad vocabulum ἴσῳ intellige βήματι. Cyrop. vii. 1, 4. παρηγγύησε δὲ—ἐν ἴσῳ ἕπεσθαι.

12. τέτταρσι] Paris. τέτρασι. Deinceps κἂν τοῦτ᾽, ἔφη margo Villois. dat, male κἂν τούτῳ Edd. vett. cum Guelf.

13. εὐωνύμου] Male edd. vett. εὐώνυμος ἔξω ἦν. Paris. τοσοῦτον, deinde Paris. Eton. μέσον τῶν ἑαυτοῦ.

ὅμως] Plutarchus c. viii. οὐχ ἧττον ἥμαρτεν, εἰ καὶ μὴ μᾶλλον, Κλέαρχος ἀντιτάξαι κατὰ τὸν βασιλέα μὴ θελήσας τοὺς Ἕλληνας, ἀλλὰ προσμίξας τῷ ποταμῷ τὸ δεξιὸν, ὡς μὴ κυκλωθείη. et quæ sequuntur graviter dicta contra Clearchi consilium.

μέλοι] Paris. μέλει habet.

ὁμαλῶς προῄει· τὸ δ' Ἑλληνικὸν, ἔτι ἐν τῷ αὐτῷ μένον, συνετάττετο ἐκ τῶν ἔτι προσιόντων. Καὶ ὁ Κῦρος παρελαύνων οὐ πάνυ πρὸς αὐτῷ τῷ στρατεύματι, κατεθεᾶτο ἑκατέρους [ἄποθεν], τούς τε πολεμίους ἀποβλέπων τούς τε φιλίους. Ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενοφῶν 15
Ἀθηναῖος, ὑπελάσας ὡς συναντῆσαι, ἤρετο, εἴ τι παραγγέλλοι· ὁ δ' ἐπιστήσας εἶπε, καὶ λέγειν ἐκέλευε πᾶσιν, ὅτι τὰ ἱερὰ καὶ τὰ σφάγια καλὰ εἴη. Ταῦτα δὲ 16
λέγων, θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος, καὶ ἤρετο, τίς ὁ θόρυβος εἴη. Ὁ δὲ Ξενοφῶν εἶπεν, ὅτι τὸ σύνθημα παρέρχεται δεύτερον ἤδη. Καὶ ὃς ἐθαύμασε, τίς παραγγέλλει, καὶ ἤρετο, ὅ τι καὶ εἴη τὸ σύνθημα. Ὁ δὲ ἀπεκρίνατο, ὅτι ΖΕΥΣ ΣΩΤΗΡ ΚΑΙ ΝΙΚΗ. Ὁ δὲ 17
Κῦρος ἀκούσας, ἀλλὰ δέχομαί τε, ἔφη, καὶ τοῦτο ἔστω. Ταῦτα δὲ εἰπὼν, εἰς τὴν ἑαυτοῦ χώραν ἀπήλαυνε· καὶ

14. *ἔτι ἐν τῷ αὐτῷ*] Vulgo ante positum *ὅτε* cum libris Brodæi, Paris. Eton. Regio B. recte omisit Weiske. Muretus in vulgata scriptura *μένον* mutabat in *ἔμενον*; Stephani conjecturam *ἅτ'* recepit Hutchinson. Deinceps male margo Steph. Villois. Paris. Eton. *προϊόντων* habent scriptum. denique margo Steph. cum Paris. *ἀπελαύνων* dant.

ἑκατέρους] Margo Steph. cum Paris. Eton. *ἑκατέρωσε ἀποβλέπων εἰς τοὺς πολεμίους καὶ τοὺς φίλους.* Etiam Juntina cum Guelf. *φίλους* habet. Margo Villois. *ἀπελαύνων ἑκατέρωσε ἀποβλέπων εἰς τοὺς πολεμίους καὶ φιλίους τοὺς φίλους* habet. Quæ diversitas vitium vulgatæ latens alicubi satis arguit. Mihi quidem *καταθεᾶσθαι ἄποθεν* cum sequenti *ἀποβλέπων* junctum pleonasmum ineptum continere videntur; quare *ἄποθεν* seclusi. Weiske *ἄπωθεν* edidit scriptum; at idem in Cyrop. v. 1, 16. *τοὺς ἄποθεν θεωμένους* posuit.

15. *ἐκέλευε*] Margo Villois. *ἐκέλευσε.* Eton. *πᾶσιν* omittit.

τὰ ἱερὰ καὶ τὰ σφάγια] Paris. liber *ὅτι καὶ τὰ ἱερὰ καλὰ καὶ τὰ σφάγια καλά. ταῦτα* &c. Leonclavius dis crimen inter *ἱερὰ* et *σφάγια* hoc esse putavit, ut *ἱερὰ exta*, *σφάγια hostias* significarent. Locus Virgilii Æneid. xi. 739. diversus est, quem Hutchinson comparavit. Admonet Weiske, iterum infra vi. 3, 21. distingui *ἱερὰ* a Xenophonte facta (sect. 2.) a *σφαγίοις*, quæ Arexion haruspex fecerat. Discriminis rationem ignorare ipse non diffitetur.

16. *θόρυβος εἴη*] Ex libris Stephani, Paris. et margine Villois. adjunxi *εἴη*. in Eton. est *ᾖ*.

ὁ δὲ Ξενοφῶν] *Κλέαρχος* in libris aliis scriptum reperit Stephanus, idque nomen est in margine Villois. et Paris. Credo rectius, nam Xenophon longiuscule aberat ab ordinibus.

ὅ τι καὶ εἴη] Junt. Guelf. Paris. Eton. *καὶ* omittunt, sed habet cum Steph. margo Villois. Idem de sequenti *τε* post *δέχομαι* dictum volo, quod item Aldina cum iisdem libris omisit, sed habet margo Villois.

17. *δέχομαι*] Intellige *τὸν οἰωνὸν, accipio omen*, non *τὸ σύνθημα*, ut cum Brodæo quidam accipiunt, recte monente Weiskio.

οὐκ ἔτι τρία ἢ τέτταρα στάδια ἀπειχέτην τὼ φάλαγγε
ἀπ' ἀλλήλων, ἡνίκα ἐπαιάνιζόν τε οἱ Ἕλληνες, καὶ ἤρ-
18 χοντο ἀντίοι ἰέναι τοῖς πολεμίοις. Ὡς δὲ πορευομένων
ἐξεκύμαινέ τι τῆς φάλαγγος, τὸ ἐπιλειπόμενον ἤρξατο
δρόμῳ θεῖν· καὶ ἅμα ἐφθέγξαντο πάντες, οἷόν περ τῷ
Ἐνυαλίῳ ἐλελίζουσι, καὶ πάντες δὲ ἔθεον. Λέγουσι δέ
τινες, ὡς καὶ ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν,
19 φόβον ποιοῦντες τοῖς ἵπποις. Πρὶν δὲ τόξευμα ἐξικνεῖ-
σθαι, ἐκκλίνουσιν οἱ βάρβαροι τοῖς ἵπποις καὶ φεύγουσι.
Καὶ ἐνταῦθα δὴ ἐδίωκον μὲν κατὰ κράτος οἱ Ἕλληνες,
ἐβόων δὲ ἀλλήλοις, μὴ θεῖν δρόμῳ, ἀλλ' ἐν τάξει ἕπε-
20 σθαι. Τὰ δὲ ἅρματα ἐφέρετο τὰ μὲν δι' αὐτῶν τῶν

ἀπειχέτην] Margo Steph. Villois. Paris. Eton. διειχέτην. deinceps προήρχοντο male Paris. Eton.

18. ἐξεκύμαινε] Demetrius sect. 84. laudat ἐπεὶ δὲ—ἐξεκύμηνε. In Codd. Brodæi fuit ἐξεκυμαίνετο τῆς φ. Verbum et sententiam loci interpretatur Arrianus Anab. ii. 10, 4. ὁ δὲ ἦγεν ἐν τάξει ἔτι τὰ μὲν πρῶτα βάδην, τοῦ μὴ διασπασθῆναί τι ἐν τῇ ξυντονωτέρᾳ πορείᾳ κυμῆναν τῆς φάλαγγος.—Deinceps Ἐνυελίῳ Guelf. a prima manu habet.

δρόμῳ θεῖν] Diodorus xiv. 23. ὡς δ' ἐντὸς βέλους ἦσαν, ἔθεον κατὰ πολλὴν σπουδήν· παρηγγελκὼς δ' αὐτοῖς Κλέαρχος ἦν τοῦτο πράττειν. Causam deinde addit, et plura in sequentibus variat. Idem tradit Polyænus ii. 2, 3. τὴν δὲ φάλαγγα τῶν Ἑλλήνων κατ' ἀρχὰς μὲν βάδην ἦγε τῇ εὐταξίᾳ τοὺς βαρβάρους ἐκπλήττων· ὡς δὲ βέλους ἐντὸς ἤμελλον εἶναι, δρόμῳ χρῆσθαι παρήγγειλεν, ὅπως μηδὲν ὑπὸ τῶν βελῶν βλάπτοιντο.

ἐλελίζουσι] Plutarchus Thesei c. 22. ἐπιφωνεῖν δὲ ἐν ταῖς σπονδαῖς ἐλελεῦ, ἰοὺ, ἰοὺ, τοὺς παρόντας, ὧν τὸ μὲν σπεύδοντες ἀναφωνεῖν καὶ παιωνίζοντες εἰώθασι, τὸ δὲ ἐκπλήξεως καὶ ταραχῆς ἐστιν. Suidas: ἐλελεῦ, ἐπίφθεγμα πολεμικὸν—καὶ γὰρ οἱ προσιόντες εἰς πόλεμον τὸ ἐλελεῦ ἐφώνουν μετά τινος ἐμμελοῦς κινήσεως. Affert Achæi locum in Philoctete, ubi Agamemnon exercitum alloquitur: ὥρα ταχύνειν, ἐλελεῦ. Demetrius de Elocutione cap. 98. Ξενοφῶν δὲ ἠλέλιξέ φησιν ὁ στρατηγὸς, τὴν τοῦ ἐλελεῦ ἀναβόησιν, ἣν ἀνεβόα στρατηγὸς συνεχῶς, παραποιήσας ὀνόματι. ubi tamen Codex Dresdensis et alter Guelferbytanus habet ἠλλάξεν. Infra v. 2, 14. ἅμα τε τῷ Ἐνυαλίῳ ἠλάλαξαν καὶ ἔθεον δρόμῳ est, sed liber Eton. dat ἠλέλιξαν, quod fortasse scriptum ibi legerat Demetrius.

ταῖς ἀσπίσι] Arrianus Anab. i. 6, 7. ὁ δὲ καὶ ἐπαλαλάξαι ἐκέλευσε τοὺς Μακεδόνας καὶ τοῖς δόρασι δουπῆσαι πρὸς τὰς ἀσπίδας. ubi nuperus Editor male cum Codice Florentino πρὸς omisit.

19. ἐξικνεῖσθαι] Codd. Brodæi, Paris. Eton. ἀφικνεῖσθαι habent. Verba sequentia τοῖς ἵπποις absunt a Paris. Eton. et libro 1. 3. 4. 6. marginis Villois.

20. ἐφέρετο] Eton. ἐφέροντο. Deinceps διὰ τῶν Ἑλλήνων libri Paris. quam ipsam scripturam conjectura Muretus assecutus erat, recepit Hutchinson. Vulgatam tamen retulit Demetrius sect. 103. τὰ μὲν δι' αὐτῶν τῶν φιλίων, τὰ δὲ καὶ δι' αὐτῶν τῶν πολεμίων, et in repetito αὐτῶν vim aliquam et speciem magnitudinis quæsivit. Cum Mureto sentit Weiske.

πολεμίων, τὰ δὲ καὶ δι' αὐτῶν τῶν Ἑλλήνων, κενὰ ἡνιό-
χων. Οἱ δὲ, ἐπεὶ προΐδοιεν, διΐσταντο· ἔστι δ' ὅστις καὶ
κατελήφθη, ὥσπερ ἐν ἱπποδρόμῳ, ἐκπλαγείς· καὶ οὐδὲν
μέντοι οὐδὲ τοῦτον παθεῖν ἔφασαν· οὐδὲ ἄλλος δὲ τῶν
Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ ἔπαθεν οὐδεὶς οὐδὲν, πλὴν
ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέγετο.

Κῦρος δὲ, ὁρῶν τοὺς Ἕλληνας νικῶντας τὸ καθ' αὐ- 21
τοὺς καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη ὡς
βασιλεὺς ὑπὸ τῶν ἀμφ' αὐτὸν, οὐδ' ὣς ἐξήχθη διώκειν·
ἀλλὰ συνεσπειραμένην ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακοσίων
ἱππέων τάξιν, ἐπεμελεῖτο, ὅ τι ποιήσει βασιλεύς. Καὶ
γὰρ ᾔδει αὐτὸν, ὅτι μέσον ἔχοι τοῦ Περσικοῦ στρατεύμα-
τος. Καὶ πάντες δὲ οἱ τῶν βαρβάρων ἄρχοντες, μέσον 22
ἔχοντες τὸ αὑτῶν ἡγοῦντο, νομίζοντες, οὕτως καὶ ἐν ἀσφα-
λεστάτῳ εἶναι, ἢν ἡ ἰσχὺς αὐτῶν ἑκατέρωθεν ᾖ, καὶ, εἴ τι
παραγγεῖλαι χρῄζοιεν, ἡμίσει ἐν χρόνῳ αἰσθάνεσθαι τὸ
στράτευμα. Καὶ βασιλεὺς δὴ τότε, μέσον ἔχων τῆς 23
ἑαυτοῦ στρατιᾶς, ὅμως ἔξω ἐγένετο τοῦ Κύρου εὐωνύμου
κέρατος. Ἐπεὶ δὲ οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἐναντίου,
οὐδὲ τοῖς αὐτοῦ τεταγμένοις ἔμπροσθεν, ἐπέκαμπτεν, ὡς
εἰς κύκλωσιν. Ἔνθα δὴ Κῦρος δείσας, μὴ ὄπισθεν γε- 24

διΐσταντο] Hoc vulgato ἵσταντο merito prætulit cum Larchero Zeune ex margine Steph. Villois. Paris. Eton. Regio B. *laxatis ordinibus impetum occurrentium curruum falcatorum exceperunt*, Curtius iv. 13, 33.

κατελήφθη] Weiskio κατελείφθη scribendum videbatur. Sed is sequens ἐκπλαγεὶς *excussus e curru* interpretatur, nempe inopinato appulsu et succussu alius currus subsecuti et celeriter prætervecturi. Sed a sensu loci plane aberravit vir doctus. Persæ enim curribus falcatis insistentes pugnabant, Græci eos vitabant laxatis ordinibus; pauci imprudentes correpti a curribus et dejecti fuerunt.

καὶ οὐδὲν] Edd. vett. Guelf. καὶ οὐδὲ habent.

21. ὡς βασιλεὺς] Hæc omisit Eton. qui deinde habet μέσον ἔχει.

22. τὸ αὑτῶν] Edd. vett. Guelf. αὐτῶν. Morem Persarum firmat ad h. l. respiciens Arrianus Anab. ii. 8.

οὕτως καὶ] Ex Eton. καὶ addidi; idem liber ἡμίσει ἂν χρόνῳ habet. Paris. ἵν' ᾖ ἡ ἰσχὺς α. ἑκατέρωθεν ἄν. Videtur etiam hic liber ἡμίσει ἂν dare voluisse.

23. οὐδὲ τοῖς] Ita cum Ald. Steph. margo Villois. ἐν δὲ τοῖς Junt. Guelf. deinceps ἐπέκαμψεν edidit Castalio.

νόμενος κατακόψῃ τὸ Ἑλληνικὸν, ἐλαύνει ἀντίος· καὶ
ἐμβαλὼν σὺν τοῖς ἑξακοσίοις, νικᾷ τοὺς πρὸ βασιλέως
τεταγμένους, καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους·
καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ Ἀρταγέρ-
σην, τὸν ἄρχοντα αὐτῶν.
25 Ὡς δὲ ἡ τροπὴ ἐγένετο, διασπείρονται καὶ οἱ Κύρου
ἑξακόσιοι, εἰς τὸ διώκειν ὁρμήσαντες· πλὴν πάνυ ὀλίγοι
ἀμφ' αὐτὸν κατελείφθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι κα-
26 λούμενοι. Σὺν τούτοις δὲ ὢν, καθορᾷ βασιλέα καὶ τὸ
ἀμφ' ἐκεῖνον στίφος· καὶ εὐθὺς οὐκ ἠνέσχετο, ἀλλ' εἰ-
πὼν, Ὁρῶ τὸν ἄνδρα, ἵετο ἐπ' αὐτόν· καὶ παίει κατὰ τὸ
στέρνον, καὶ τιτρώσκει διὰ τοῦ θώρακος, ὥς φησὶ Κτη-
27 σίας ὁ ἰατρὸς, καὶ ἰᾶσθαι αὐτὸς τὸ τραῦμά φησι. Παί-
οντα δ' αὐτὸν ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν
βιαίως· καὶ ἐνταῦθα μαχόμενοι καὶ βασιλεὺς καὶ Κῦ-
ρος, καὶ οἱ ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέρου, ὁπόσοι μὲν τῶν
ἀμφὶ βασιλέα ἀπέθανον, Κτησίας λέγει· (παρ' ἐκείνῳ
γὰρ ἦν) Κῦρος δὲ αὐτός τε ἀπέθανε, καὶ ὀκτὼ οἱ ἄριστοι
28 τῶν περὶ αὐτὸν ἔκειντο ἐπ' αὐτῷ. Ἀρταπάτης δὲ ὁ πι-
στότατος αὐτῷ τῶν σκηπτούχων θεράπων λέγεται, ἐπειδὴ

24. κατακόψῃ] Edd. vett. κατακόψει. quod ipsum, aut κατακόψειε probandum puto.

πρὸ βασιλέως] Ita cum Stephano margo Villois. πρὸς βασιλέα Edd. vett. Guelf. Nomen ducis Junt. margo Steph. Guelf. Ἀρταγέσην, Paris. Ἀνταγέρσην scribit. Cf. ad vii. 11. Cyropædia vi. 3, 31. Ἀρταγέρσαν, Codex Altorf. Ἀρταγύρσαν, sine varietate vii. 1, 22. et 27. nominat. Casum ejus narrat etiam Plutarchus cap. 9.

26. Ὁρῶ τὸν ἄνδρα] Margo Villois. τὸν ἄνδρα ὁρῶ habet, idem ἵετο deinceps, ubi ante Stephanum erat in Edd. vett. et Guelf. εἵπετο.

Κτησίας] Ctesiæ narrationem habet Plutarchus, eamque sequitur Diodorus xiv. 23. diversam Dinonis relationem posuit idem Plutarchus.

ἰατρὸς, καὶ] Facilior procedet oratio, si cum Buttmanno ἰατρὸς, ὃς καὶ scripseris.

27. καὶ ἐνταῦθα μαχόμενοι] Pro genitivis μαχομένων καὶ βασιλέως καὶ Κύρου καὶ τῶν positos esse nominativos, recte censuit cum Hutchinsono Weiske. Deinceps ἑκατέρων habet Eton. et margo Villois.

ἀπέθανον] Eton. et margo Villois. ἀπεθνήσκον dant.

οἱ ἄριστοι τῶν περὶ αὐτὸν] Ælianus de nat. anim. vi. 25. λέγων (de Xenophonte ait) μόνους οἱ τοὺς ὁμοτραπέζους ὀκτὼ συμπαραμεῖναι καὶ συναπολέσθαι, καὶ τὸν εὐνοῦχον, ὃς ἦν οἱ σκηπτοῦχος τὴν τιμὴν, ὄνομα δὲ Ἀρταπάτης, ἑαυτὸν ἐπαποκτεῖναι τῷ νεκρῷ.

εἶδε πεπτωκότα Κῦρον, καταπηδήσας ἀπὸ τοῦ ἵππου
περιπεσεῖν αὐτῷ. Καὶ οἱ μέν φασι, βασιλέα κελεῦσαί 29
τινα ἐπισφάξαι αὐτὸν Κύρῳ· οἱ δὲ, ἑαυτὸν ἐπισφάξαι,
σπασάμενον τὸν ἀκινάκην· εἶχε γὰρ χρυσοῦν· καὶ στρε-
πτὸν δὲ ἐφόρει καὶ ψέλλια καὶ τὰ ἄλλα, ὥσπερ οἱ ἄρι-
στοι τῶν Περσῶν· ἐτετίμητο γὰρ ὑπὸ Κύρου δι' εὔνοιάν τε
καὶ πιστότητα.

CAP. IX.

ΚΥΡΟΣ μὲν οὖν οὕτως ἐτελεύτησεν, ἀνὴρ ὢν Περσῶν
τῶν μετὰ Κῦρον τὸν ἀρχαῖον γενομένων βασιλικώτατός τε
καὶ ἄρχειν ἀξιώτατος, ὡς παρὰ πάντων ὁμολογεῖται τῶν
Κύρου δοκούντων ἐν πείρᾳ γενέσθαι. Πρῶτον μὲν γὰρ 2
παῖς ἔτι ὢν, ὅτε ἐπαιδεύετο καὶ σὺν τῷ ἀδελφῷ καὶ σὺν
τοῖς ἄλλοις παισὶ, πάντων πάντα κράτιστος ἐνομίζετο.
Πάντες γὰρ οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βα- 3
σιλέως θύραις παιδεύονται· ἔνθα πολλὴν μὲν σωφροσύνην
καταμάθοι ἄν τις, αἰσχρὸν δ' οὐδὲν οὔτε ἀκοῦσαι, οὔτ'
ἰδεῖν ἔστι. Θεῶνται δ' οἱ παῖδες καὶ τοὺς τιμωμένους 4
ὑπὸ βασιλέως καὶ ἀκούουσι, καὶ ἄλλους ἀτιμαζομένους·
ὥστ' εὐθὺς παῖδες ὄντες μανθάνουσιν ἄρχειν τε καὶ ἄρ-
χεσθαι. Ἔνθα Κῦρος αἰδημονέστατος μὲν πρῶτον τῶν 5

28. περιπεσεῖν] Eton. καταπεσεῖν.

29. ψέλλια] Guelf. Paris. ψέλια. De ornatu principum Persarum compara supra cap. 2. extremum.

1. τὸν ἀρχαῖον] Eton. τῶν ἀρχαίων.

2. παῖς ἔτι ὢν] Ita cum Steph. margo Villois. ὢν ἔτι παῖς Edd. vett. Guelf. Deinceps Paris. σὺν τοῖς ἄλλοις π. Eton. σὺν τοῖς λοιποῖς π. unde σὺν alterum inserui.

3. ἐπὶ ταῖς] Ita margo Steph. Villois. Paris. Eton. Vulgatum ἐν ταῖς θ. tanquam exquisitius prætulit Zeune, etiam in Cyrop. i. 3, 2. ubi ἐν ταῖς θύραις solus Guelf. liber dat. In reliquis locis Xenophontis constanter ἐπὶ ταῖς θύραις scriptum legitur, quæ dabit Index. Ipsam dictionem ex Persico idiomate conversam significare aulam regiam et convenire cum ea, quam hodieque Turcæ frequentant, *portam* appellantes aulam regis sui, monuit jam olim Reiske et repetiit *Heeren*, *Ideen* tom. ii. p. 447.

5. αἰδημονέστατος] Vulgato εὐμαθέστατος, quod ex vitiosa scriptura δαημονέστατος ortum habere monuit Ruhnken. ad Memor. iii. 9, 6. recte hanc lectionem marginis Steph. Villois. Paris. Eton. prætulit Zeune. Cf. Cyrop. i. 5, 1.

ἡλίκων ἐδόκει εἶναι, τοῖς τε πρεσβυτέροις καὶ τῶν ἑαυτοῦ ὑποδεεστέρων μᾶλλον πείθεσθαι· ἔπειτα δὲ φιλιππότατος, καὶ τοῖς ἵπποις ἄριστα χρῆσθαι. Ἔκρινον δ' αὐτὸν καὶ τῶν εἰς τὸν πόλεμον ἔργων, τοξικῆς τε καὶ ἀκοντί-
6 σεως, φιλομαθέστατον εἶναι, καὶ μελετηρότατον. Ἐπεὶ δὲ τῇ ἡλικίᾳ ἔπρεπε, καὶ φιλοθηρότατος ἦν, καὶ πρὸς τὰ θηρία μέντοι φιλοκινδυνότατος. Καὶ ἄρκτον ποτὲ ἐπιφερομένην οὐκ ἔτρεσεν, ἀλλὰ συμπεσὼν κατεσπάσθη ἀπὸ τοῦ ἵππου· καὶ τὰ μὲν ἔπαθεν, ὧν καὶ τὰς ὠτειλὰς φανερὰς εἶχε, τέλος δὲ κατέκανε· καὶ τὸν πρῶτον μέντοι βοηθήσαντα πολλοῖς μακαριστότατον ἐποίησεν.

7 Ἐπεὶ δὲ κατεπέμφθη ὑπὸ τοῦ πατρὸς σατράπης Λυδίας τε καὶ Φρυγίας τῆς μεγάλης καὶ Καππαδοκίας, στρατηγὸς δὲ καὶ πάντων ἀπεδείχθη, οἷς καθήκει εἰς

ἡλίκων] Margo Steph. Villois. Paris. Eton. Brodæi liber ἡλικιωτῶν habent. Sequens καὶ τῶν ἑαυτοῦ ex scriptura Steph. firmat margo Villois. cum versione Amasæi. ἐκ τῶν αὐτοῦ Edd. vett. Guelf. Brodæi rationem καὶ ἐκ τῶν ἑ. probabat Weiske, ut tolleretur ambiguitas in verbis, quam equidem non intelligo.

χρῆσθαι] Repete ἐδόκει; ad φιλιππότατος Zeune ὢν intelligendum censet.

6. τῇ ἡλικίᾳ] Ephebi scilicet, Cyrop. i. 2, 9.

φιλοκινδυνότατος] Hanc Edd. vett. et Guelf. scripturam vulgato φιλοκινδυνώτατος prætulit Porson. Licentiam poeticam syllabæ quantitatem imminuendi in prosaico scriptore non esse tolerandam. Ita supra ἐπικινδυνότερα ex Juntina et libro Paris. restituit, quod fecit etiam Zeune, qui mira tamen oscitantia hunc locûm intactum reliquit. Eadem est culpa Weiskii. Nulla cum varietate ἀκινδυνότατον legitur infra vi. 5, 29. In Thucyd. iv. 62. ἀκινδυνοτέρας ex scriptis libris, ut in Platonis Gorgia p. 477. In Stobæo Serm. 41. ἀνιαρότατον restituit, in Strabone ii. p. 152. xv. p. 713. εὐκρατότερον et ἐντιμοτάτους, in Mœride ἀκρατότερον ex Polluce vi. 24. in Athenæo iii. p. 80. εὐχυλότερα, vii. p. 313. εὐχυλοτέρας, p. 314. ἀχυλοτέραν, p. 320. εὐχυλότερον, p. 321. εὐχυλοτέρους. In Plutarcho tom. ii. p. 114. βαρυλυπότατοι, p. 119. et 121. ἀνιαροτάτου, in Photio Cod. 172. p. 393. ἀτιμότερος corrigit.

ἀπὸ τοῦ ἵππου] Suidas in κατέκανε habet ὑπὸ τ. ἵππου. Idem pro φανερὰς habet ἔτι. Equidem utrumque h. l. scriptum malim.

καὶ τὰ μὲν] Inepte Zeune pro ταῦτα vel τοιαῦτα dictum interpretatur. Scilicet ille expectabat in ἀποδόσει ut sequeretur τὰ δὲ, ut nunc est τέλος δέ. Idem vero recte κατέκανε vulgato κατέκτανε prætulit ex Suida et margine Villois.

πολλοῖς μακαριστότατον ἐποίησε] Ita Eton. nisi quod is μακαριστατον habet. Vulgo erat πολλοῖς μακαριστὸν εἶναι ἐποίησε. Castalio πολὺ dedit. In Memorab. ii. 1, 33. est μακαριστοτάτην εὐδαιμονίαν, in Cyrop. vii. 2, 27. μακαριωτάτην βιοτὴν Codex Altorf. in μακαριστοτάτην mutat. Supra i. 7, 4. est τὸν οἴκαδε βουλόμενον ἀπιέναι τοῖς οἴκοι ζηλωτὸν ποιήσω ἀπελθεῖν.

7. καὶ πάντων] Guelf. καὶ omisit. Deinde ἀπέδειξεν habet Eton.

Καστωλοῦ πεδίον ἀθροίζεσθαι, πρῶτον μὲν ἐπέδειξεν
αὑτὸν, ὅτι περὶ πλείστου ποιοῖτο, εἴ τῳ σπείσαιτο, καὶ εἴ
τῳ συνθοῖτο, καὶ εἴ τῳ ὑπόσχοιτό τι, μηδὲν ψεύδεσθαι.
Καὶ γὰρ οὖν ἐπίστευον μὲν αὐτῷ αἱ πόλεις ἐπιτρεπόμεναι, 8
ἐπίστευον δ' οἱ ἄνδρες· καὶ εἴ τις πολέμιος ἐγένετο, σπει-
σαμένου Κύρου, ἐπίστευε, μηδὲν ἂν παρὰ τὰς σπονδὰς
παθεῖν. Τοιγαροῦν ἐπεὶ Τισσαφέρνει ἐπολέμησε, πᾶσαι 9
αἱ πόλεις ἑκοῦσαι Κῦρον εἵλοντο ἀντὶ Τισσαφέρνους, πλὴν
Μιλησίων· οὗτοι δὲ, ὅτι οὐκ ἤθελε τοὺς φεύγοντας προ-
έσθαι, ἐφοβοῦντο αὐτόν. Καὶ γὰρ ἔργῳ ἐπεδείκνυτο, 10
καὶ ἔλεγεν, ὅτι οὐκ ἄν ποτε προοῖτο, ἐπεὶ ἅπαξ αὐτοῖς
φίλος ἐγένετο, οὐδ' εἰ ἔτι μὲν μείους γένοιντο, ἔτι δὲ καὶ
κάκιον πράξειαν. Φανερὸς δ' ἦν, καὶ εἴ τις τι ἀγαθὸν 11
ἢ κακὸν ποιήσειεν αὐτὸν, νικᾶν πειρώμενος· καὶ εὐχὴν δέ
τινες αὐτοῦ ἐξέφερον, ὡς εὔχοιτο, τοσοῦτον χρόνον ζῆν, ἔστε
νικῴη καὶ τοὺς εὖ καὶ τοὺς κακῶς ποιοῦντας ἀλεξόμενος.
Καὶ γὰρ οὖν πλεῖστοι δὴ αὐτῷ, ἑνί γε ἀνδρὶ τῶν ἐφ' 12
ἡμῶν, ἐπεθύμησαν καὶ χρήματα καὶ πόλεις καὶ τὰ
ἑαυτῶν σώματα προέσθαι.

Οὐ μὲν δὴ οὐδὲ τοῦτ' ἄν τις εἴποι, ὡς τοὺς κακούργους 13

συνθοῖτο] Ita cum Edd. vett. Guelf. Eton. συνθεῖτο Stephanus edidit.

9. προέσθαι] Compara i. 1, 7. i. 2, 2.

10. ἐπεδείκνυτο] Pro vulgato ἐπεδείκνυε recepit Zeune ex margine Steph. Villois. Paris. Eton. comparato loco Memorab. iv. 4, 1. ἀλλὰ καὶ ἔργῳ ἐπεδείκνυτο. sed id ex margine Steph. est a Zeunio receptum in locum vulgati ἀπεδείκνυτο. Ibidem sect. 18. erat ἐγὼ τὸ αὐτὸ ἐπιδείκνυμι νόμιμόν τε καὶ δίκαιον εἶναι. scripsi ἀποδείκνυμαι, et de usu utriusque verbi quædam annotavi.

προοῖτο] Stephanus προεῖτο dedit, ut συνθεῖτο sect. 7. Sequens εἰ Juntina cum Guelf. καὶ ante κάκιον Guelf. δὲ καὶ margo Villois. omittit.

φίλος ἐγένετο] Intellige τις, quod quum plures significet, hinc sequitur numerus pluralis γένοιντο—πράξειαν.

11. εἴ τις τι ἀγαθὸν] Ex Guelf. Paris. Eton. et duobus Regiis τι adscivit Zeune; margo Villois. habet εἴ τις ἢ ἀγαθόν.

αὐτὸν] Edd. vett. Guelf. αὐτῷ, margo Villois. αὐτή.

χρόνον ζῆν] Suidas in verbo ἀλεξόμενον habet τοσοῦτον ὑπερζῆν, ἔστε νικῴη τοὺς εὖ καὶ &c. quam scripturam probat Porson. Ceterum pro ἔστε, quod induxit Stephanus et habet margo Villois. cum Suida, εἴτε est in Edd. vett. unde Castalio ὥστε, Brodæus εἴως κε effecit.

12. πλεῖστοι — αὐτῷ] Lectionem hanc Stephani firmat versio Amasæi. Edd. vett. cum Guelf. αὐτῶν.

καὶ ἀδίκους εἴα καταγελᾶν, ἀλλ' ἀφειδέστατα πάντων ἐτιμωρεῖτο. Πολλάκις δ' ἦν ἰδεῖν παρὰ τὰς στιβομένας ὁδοὺς καὶ ποδῶν καὶ χειρῶν καὶ ὀφθαλμῶν στερουμένους ἀνθρώπους· ὥστε ἐν τῇ τοῦ Κύρου ἀρχῇ ἐγένετο καὶ Ἕλληνι καὶ βαρβάρῳ, μηδὲν ἀδικοῦντι ἀδεῶς πορεύεσθαι,
14 ὅποι τις ἤθελεν, ἔχοντι ὅ τι προχωροίη. Τοὺς μέντοι γε ἀγαθοὺς εἰς πόλεμον ὡμολόγητο διαφερόντως τιμᾶν. Καὶ πρῶτον μὲν ἦν αὐτῷ πόλεμος πρὸς Πεισίδας καὶ Μυσούς· στρατευόμενος οὖν καὶ αὐτὸς εἰς ταύτας τὰς χώρας, οὓς ἑώρα ἐθέλοντας κινδυνεύειν, τούτους καὶ ἄρχοντας ἐποίει, ἧς κατεστρέφετο χώρας, ἔπειτα δὲ καὶ
15 ἄλλοις δώροις ἐτίμα· ὥστε φαίνεσθαι τοὺς μὲν ἀγαθοὺς, εὐδαιμονεστάτους, τοὺς δὲ κακοὺς, δούλους τούτων ἀξιοῦσθαι εἶναι. Τοιγαροῦν πολλὴ ἦν ἀφθονία τῶν ἐθελόντων κινδυνεύειν, ὅπου τις οἴοιτο Κῦρον αἰσθήσεσθαι.

16 Εἰς γε μὴν δικαιοσύνην εἴ τις αὐτῷ φανερὸς γένοιτο

13. καταγελᾶν] Intellige τῶν νόμων. Deinceps ἐν τῇ Κύρου est in Junt. Eton. et Guelf.

καὶ ποδῶν—στερουμένους] De suppliciis maleficorum intelligunt Interpretes plerique omnes, comparato Curtio v. 5. et Diodoro Sic. xvii. 69. Mira est Wyttenbachii interpretatio, qui hæc ad innocentes cæcos mutilosve refert, qui in bene gubernata Cyri provincia ita tuto in publicis viis degerent. Hanc rationem ait cum verbis, constructione et totius loci nexu congruere sibi videri.

ὅ τι προχωροίη] Eton. προσχωροίη. *Si secum portabat, quod commodum esset*, interpretatur Zeune. Weiske: *cum secum haberet, quidquid commodum esset*. Addit: nam a latronibus tutus erat. Hæc equidem non intelligo magis quam græca. Mihi Xenophon de justa itineris causa et honesto profectionis prætextu loqui videtur. Similis fere locus est Arriani de Venatione xxi. 1. ὥστε ἐφιέναι τῶν κυνῶν, ὅπως ἂν τοι προχωρῇ. In Cyrop. i. 2, 4. est ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ. viii. 2, 6. ὡς ἂν ἕκαστον προχωρῇ, οὕτως ἔχειν. iii. 2, 29. ἢν αὐτῷ πέμψῃς, ὁπόσα σοι προχωρεῖ.

14. ἐθέλοντας] Ita cum Castalione Zeune; reliquæ cum Steph. et Guelf. habent ἐθελοντάς.

ἔπειτα δὲ καὶ] Verba duo priora ex Paris. et Eton. adjunxi; margo Villois. dat ἔπειτα καὶ ἄλλῃ.

15. ἀξιοῦσθαι] Brodæus ἀξιοῦν conjiciebat scribendum, quod est in margine Steph. αὐτῷ ἀξιοῦν est in margine Villois.

ἀφθονία τῶν] Ex libro Brodæi, Guelf. Eton. αὐτῷ interseruit Zeune, quod præeunte Aldina cum Stephano omisit Weiske. In Juntina est αὐτῷ, unde Castalio οὕτω effecit. Recte monet Weiske αὐτῷ locum non habere. Dicendum enim fuisse ἀφθονία Κύρῳ τῶν—οἴοιτο αὐτὸν αἰσθ. Ceterum Edd. vett. et Guelf. ἠσθήσεσθαι recte præeunte Amasæo et firmante margine Villois. correxit Stephanus.

ἐπιδείκνυσθαι βουλόμενος, περὶ παντὸς ἐποιεῖτο τούτους
πλουσιωτέρους ποιεῖν τῶν ἐκ τοῦ ἀδίκου φιλοκερδούντων.
Καὶ γὰρ οὖν ἄλλα τε πολλὰ δικαίως αὐτῷ διεχειρίζετο, 17
καὶ στρατεύματι ἀληθινῷ ἐχρήσατο. Καὶ γὰρ στρατη-
γοὶ καὶ λοχαγοὶ οὐ χρημάτων ἕνεκα πρὸς ἐκεῖνον ἔπλευ-
σαν, ἀλλ᾽ ἐπεὶ ἔγνωσαν κερδαλεώτερον εἶναι, Κύρῳ καλῶς
πειθαρχεῖν, ἢ τὸ κατὰ μῆνα κέρδος. Ἀλλὰ μὴν εἴ τίς 18
γέ τι αὐτῷ προστάξαντι καλῶς ὑπηρετήσειεν, οὐδενὶ πώ-
ποτε ἀχάριστον εἴασε τὴν προθυμίαν. Τοιγαροῦν κρά-
τιστοι δὴ ὑπηρέται παντὸς ἔργου Κύρῳ ἐλέχθησαν γενέ-
σθαι. Εἰ δέ τινα ὁρῴη δεινὸν ὄντα οἰκονόμον ἐκ τοῦ δι- 19
καίου, καὶ κατασκευάζοντά τε, ἧς ἄρχοι χώρας, καὶ
προσόδους ποιοῦντα, οὐδένα ἂν πώποτε ἀφείλετο, ἀλλὰ
καὶ πλείω προσεδίδου· ὥστε καὶ ἡδέως ἐπόνουν, καὶ θαρ-
ῥαλέως ἐκτῶντο, καὶ ἃ πέπατο αὖ τις, ἥκιστα Κῦρον
ἔκρυπτεν· οὐ γὰρ φθονῶν τοῖς φανερῶς πλουτοῦσιν ἐφαί-
νετο, ἀλλὰ πειρώμενος χρῆσθαι τοῖς τῶν ὑποκρυπτομένων
χρήμασι. Φίλους γε μὴν ὅσους ποιήσαιτο, καὶ εὔνους 20
γνοίη ὄντας, καὶ ἱκανοὺς κρίνειε συνεργοὺς εἶναι, ὅ τι
τυγχάνει βουλόμενος κατεργάζεσθαι, ὁμολογεῖται πρὸς
πάντων κράτιστος δὴ γενέσθαι θεραπεύειν. Καὶ γὰρ 21

16. ἐπιδείκνυσθαι] Intellige δικαιοσύνην. Locum hunc negligenter exscripsit Suidas in v. περὶ παντός.

17. Κύρῳ καλῶς] Nomen Κύρῳ Junt. et Guelf. omittit, post κερδαλεώτερον collocat margo Villois.

18. εἴ τίς γέ τι] Vulgatum εἴ τίς γέ τοι ex Guelf. et Eton. correxit Hutchinson.

κράτιστοι δὴ] Mihi oratio hiulca videtur esse et vitii aliquid latere, quanquam κράτιστος δὴ statim sect. 20. reperitur.

19. κατασκευάζοντά τε] Suspicatus sum εὖ vel καλῶς addendum esse ad Œconom. iv. 14. p. 22. quanquam in loco ejusdem capitis sect. 16. sit: κατασκευάζειν γὰρ ἄριστος εἶναι ἔφη χώραν καὶ ἀρήγειν τοῖς κατεσκευασμένοις.

ἀφείλετο] Hanc formam vulgato ἀφείλατο prætulit Hutchinson ex conjectura Mureti firmata a libro Guelf. (a manu secunda) Regio apud Dorvillium ad Charitonem p. 334. et Paris. Alteram familiarem LXX. Interpretibus damnat Phrynichus p. 30.

ἀλλὰ καὶ] Eton. ἀλλὰ καὶ ἀεὶ habet, margo Villois. ἀλλ᾽ ἀεί.

ἃ πέπατο] Junt. Guelf. πέπαστο, Paris. ὃ ἐπέπαστο, margo Villois. καὶ τὰ ἃ πέπαστο dant.

ὑποκρυπτομένων] Margo Steph. Villois. Paris. Eton. ἀποκρ. quod damnat Dorville ad Charit. p. 183.

20. κρίνειε] Eton. κρίνοι habet.

αὐτὸ τοῦτο, οὗπερ αὐτὸς ἕνεκα φίλων ᾤετο δεῖσθαι, ὡς
συνεργοὺς ἔχοι, καὶ αὐτὸς ἐπειρᾶτο συνεργὸς τοῖς φίλοις
κράτιστος εἶναι τούτου, ὅτου ἕκαστον αἰσθάνοιτο ἐπιθυ-
μοῦντα.

22 Δῶρα δὲ πλεῖστα μὲν, οἶμαι, εἷς γε ἀνὴρ ὢν, ἐλάμ-
βανε διὰ πολλά· ταῦτα δὲ πάντων δὴ μάλιστα τοῖς
φίλοις διεδίδου, πρὸς τὸν τρόπον ἑκάστου σκοπῶν, καὶ
23 ὅτου μάλιστα ὁρῴη ἕκαστον δεόμενον. Καὶ ὅσα τῷ σώ-
ματι αὐτοῦ κόσμον πέμποι τις ἢ ὡς εἰς πόλεμον ἢ ὡς
εἰς καλλωπισμὸν, καὶ περὶ τούτων λέγειν αὐτὸν ἔφασαν,
ὅτι τὸ μὲν ἑαυτοῦ σῶμα οὐκ ἂν δύναιτο τούτοις πᾶσι
κοσμῆσαι, φίλους δὲ καλῶς κεκοσμημένους μέγιστον
24 κόσμον ἀνδρὶ νομίζοι. Καὶ τὸ μὲν τὰ μεγάλα νικᾷν
τοὺς φίλους εὖ ποιοῦντα, οὐδὲν θαυμαστὸν, ἐπειδή γε καὶ
δυνατώτερος ἦν· τὸ δὲ τῇ ἐπιμελείᾳ περιεῖναι τῶν φίλων,
καὶ τῷ προθυμεῖσθαι χαρίζεσθαι, ταῦτα μᾶλλον ἔμοι-
25 γε δοκεῖ ἀγαστὰ εἶναι. Κῦρος γὰρ ἔπεμπε βίκους οἴνου
ἡμιδεεῖς πολλάκις, ὁπότε πάνυ ἡδὺν λάβοι, λέγων, ὅτι
οὔπω δὴ πολλοῦ χρόνου τούτου ἡδίονι οἴνῳ ἐπιτύχοι· τοῦ-
τον οὖν σοι ἔπεμψε, καὶ δεῖταί σου, τοῦτον ἐκπιεῖν τήμε-

21. ὅτου] Margo Villois. ὅτι annotavit.

22. ταῦτα δὲ πάντων δὴ] Ita margo Steph. Villois. Paris. Eton. Vulgo ταῦτα δὲ δὴ πάντα erat.

διεδίδου] Ita ex conjectura Mureti firmata a libro Paris. vulgatum ἐδίδου correxit Zeune. Deinde τοὺς τρόπους habent margo Steph. Villois. Paris. Eton.

23. περὶ τούτων] Edd. vett. et Guelf. a prima manu τοῦτον, rectum habet Castalio.

κοσμῆσαι] Ita cum Eton. scripsit Zeune. Vulgatum κοσμηθῆναι damnavit jam olim Stephanus, revocavit tamen Weiske. Deinde νομίζειν habet Eton. liber.

24. οὐδὲν θαυμαστὸν] Sententiam eandem iisdem fere verbis posuit in Cyrop. viii. 2, 13.—Eton. liber θαυμάσιον habet.

περιεῖναι] Junt. Guelf. περιϊέναι. male. Deinde τὸ προθυμ. Edd. vett. Guelf.

25. βίκους οἴνου] Eton. οἴνων. Sed vulgatam habet etiam Suidas in v. βίκος.

ἡδίονι οἴνῳ] Edd. vett. Guelf. ἡδίωνι ἔγνω εἰ, Halensis et Castal. ἡδίων ἔγνω εἰ. Verum est in margine Guelf. Villois.

τοῦτον οὖν] Ita pro τοῦτο ex Guelf. Paris. Eton. duobusque Regiis scripsit Zeune, contra τούτου conjecit Wyttenbach in Bibl. Critic. Amstelod.

ρον, σὺν οἷς μάλιστα φιλεῖς. Πολλάκις δὲ χῆνας ἡμι- 26
βρώτους ἔπεμπε, καὶ ἄρτων ἡμίσεα, καὶ ἄλλα τοιαῦτα,
ἐπιλέγειν κελεύων τὸν φέροντα. Τούτοις ἥσθη Κῦρος·
βούλεται οὖν, καὶ σὲ τούτων γεύσασθαι. Ὅπου δὲ 27
χιλὸς σπάνιος πάνυ εἴη, αὐτὸς δ᾽ ἐδύνατο παρασκευά-
σασθαι διὰ τὸ πολλοὺς ἔχειν ὑπηρέτας, καὶ διὰ τὴν ἐπι-
μέλειαν, διαπέμπων ἐκέλευε τοὺς φίλους, τοῖς τὰ ἑαυτῶν
σώματα ἄγουσιν ἵπποις ἐμβάλλειν τοῦτον τὸν χιλὸν, ὡς
μὴ πεινῶντες τοὺς ἑαυτοῦ φίλους ἄγωσιν. Εἰ δὲ δή ποτε 28
πορεύοιτο, καὶ πλεῖστοι μέλλοιεν ὄψεσθαι, προσκαλῶν
τοὺς φίλους ἐσπουδαιολογεῖτο, ὡς δηλοίη, οὓς τιμᾷ· ὥστε
ἔγωγε, ἐξ ὧν ἀκούω, οὐδένα κρίνω ὑπὸ πλειόνων πεφιλῆ-
σθαι οὔτε Ἑλλήνων, οὔτε βαρβάρων. Τεκμήριον δὲ 29
τούτου καὶ τόδε· παρὰ μὲν Κύρου, δούλου ὄντος, οὐδεὶς
ἀπῄει πρὸς βασιλέα· πλὴν Ὀρόντας ἐπεχείρησε· καὶ
οὗτος δὲ, ὃν ᾤετο πιστόν οἱ εἶναι, ταχὺ αὐτὸν εὗρε Κύρῳ
φιλαίτερον, ἢ ἑαυτῷ, παρὰ δὲ βασιλέως πολλοὶ πρὸς
Κῦρον ἀπῆλθον, ἐπεὶ πολέμιοι ἀλλήλοις ἐγένοντο, καὶ
οὗτοι μέντοι οἱ μάλιστα ὑπ᾽ αὐτοῦ ἀγαπώμενοι, νομί-
ζοντες, παρὰ Κύρῳ ὄντες ἀγαθοὶ ἀξιωτέρας ἂν τιμῆς

27. σπάνιος πάνυ] Junt. Guelf. Eton. σπάνιος δυνατὸς, nostrum habet Aldina, liber Brodæi, Steph. margo Villois. et a manu secunda Guelf.

ἐδύνατο] Zeune δύναιτο malebat, contra Weiske δυνατὸς scribendum censebat, quocum ego sentio. Ita enim simul apparet, unde ortum sit δυνατὸς, quod alieno loco Codices optimi positum habent, quodque in δυνατῶς mutatum voluit Arnaldus Animadvers. p. 173.

τὰ ἑαυτῶν] Margo Villois. τὰ ἑαυτοῦ. deinde Junt. Paris. et a prima manu Guelf. ἑαυτῶν φίλους.

28. ἐσπουδαιολογεῖτο] Hunc locum laudat Suidas sub hoc verbo. Ceterum compara Cyrop. viii. 3, 20.

ἔγωγε, ἐξ ὧν] Margo Villois. habet ἐγὼ μέν γε ἐξ ὧν.

29. δούλου ὄντος] Ipse Cyrus supra in oratione ad Græcos cap. vii. sect. 3. δοῦλον se regis profitetur. Quare scripturam φίλου ὄντος nescio unde allatam recte damnavit Larcherus. Cf. Cyrop. iv. 6, 2. Euripides Helenæ 283. Ceterum rem eandem narrat Œconomicus iv. 18.

Ὀρόντας] Guelf. Ορωνδας, Castal. Ὀρῶνδας habet.

καὶ οὗτος] De Oronta recte interpretatur Larcherus, alii de rege Persarum.

ὃν ᾤετο] Juntina ἐπεὶ ᾤετο. Guelf. cum Aldina facit, ut Stephanus et margo Villois. Deinde φιλέταιρον habent Edd. vett. Historiam Orontæ perfidiæ habes supra cap. vi. sect. 3.

ἐπεὶ πολέμιοι] Paris. liber ἐπειδὴ habet.

30 τυγχάνειν ἢ παρὰ βασιλεῖ. Μέγα δὲ τεκμήριον καὶ τὸ ἐν τῇ τελευτῇ τοῦ βίου αὐτῷ γενόμενον, ὅτι καὶ αὐτὸς ἦν ἀγαθὸς, καὶ κρίνειν ὀρθῶς ἐδύνατο τοὺς πιστοὺς καὶ
31 εὔνους καὶ βεβαίους. Ἀποθνήσκοντος γὰρ αὐτοῦ, πάντες οἱ παρ' αὐτὸν φίλοι καὶ συντράπεζοι μαχόμενοι ἀπέθανον ὑπὲρ Κύρου, πλὴν Ἀριαίου· οὗτος δὲ τεταγμένος ἐτύγχανεν ἐπὶ τῷ εὐωνύμῳ, τοῦ ἱππικοῦ ἄρχων· ὡς δ' ᾔσθετο Κῦρον πεπτωκότα, ἔφυγεν, ἔχων καὶ τὸ στράτευμα πᾶν, οὗ ἡγεῖτο.

CAP. X.

ΕΝΤΑΥΘΑ δὴ Κύρου ἀποτέμνεται ἡ κεφαλὴ καὶ χεὶρ ἡ δεξιά. Βασιλεὺς δὲ καὶ οἱ σὺν αὐτῷ διώκων εἰσπίπτει εἰς τὸ Κυρεῖον στρατόπεδον· καὶ οἱ μὲν μετὰ Ἀριαίου οὐκέτι ἵστανται, ἀλλὰ φεύγουσι διὰ τοῦ αὐτῶν στρατοπέδου εἰς τὸν σταθμὸν, ἔνθεν ὥρμηντο· τέτταρες δὲ

30. Μέγα δὲ] Margo Steph. et Villois. μέγα γάρ. Sed copulatur oratio cum sect. 29. initio.

31. οἱ παρ' αὐτὸν φίλοι] Suspicor scriptum olim fuisse οἱ περὶ αὐτὸν φ. In Œcon. est: ἐκείνῳ οἱ φίλοι ἀποθανόντι συναπέθανον πάντες περὶ τὸν νεκρὸν μαχόμενοι. πλήν γε Ἀριαίου. Ἀριαῖος δ' ἔτυχεν ἐπὶ τῷ εὐωνύμῳ κέρατι τεταγμένος. quæ postrema viris doctis merito suspecta sunt, tanquam a grammatico ex h. l. in alienum traducta.

πεπτωκότα] Margo Villois. τεθνηκότα habet.

1. ἀποτέμνεται] Plutarchus 13. κατὰ δή τινα νόμον Περσῶν ἡ δεξιὰ χεὶρ καὶ ἡ κεφαλὴ τοῦ σώματος ἀπεκόπη— καὶ τῆς κόμης δραξάμενος (Artaxerxes) οὔσης βαθείας καὶ λασίας ἐπεδείκνυε τοῖς ἀμφιδοξοῦσιν ἔτι καὶ φεύγουσι. Idem 17. ὁ τὴν κεφαλὴν ἀποτεμὼν καὶ τὴν χεῖρα τοῦ Κύρου Μεσαβάτης. ubi Florentina cum Codice Sanctgerm. Μασαβάτην nominat. in Ctesiæ fragmentis p. 64. est Βαγαπάτης, ubi additur: καὶ αἰκισμὸς τοῦ σώματος Κύρου ὑπὸ τοῦ ἀδελφοῦ Ἀρταξέρξου· τήν τε γὰρ κεφαλὴν καὶ τὴν χεῖρα, μεθ' ἧς τὸν Ἀρταξέρξην ἔβαλεν, αὐτὸς ἀπέτεμε καὶ ἐθριάμβευσεν.

οὐκέτι ἵστανται] Diodorus xiv. 24. Ἀριδαῖος ὁ Κύρου σατράπης, τεταγμένος ἐπὶ τῆς ἡγεμονίας, τὸ μὲν πρῶτον εὐρώστως ἐδέξατο τοὺς ἐπιόντας βαρβάρους· μετὰ δὲ ταῦτα τῆς φάλαγγος ἐπὶ πολὺ παρεκτεινούσης κυκλούμενος καὶ τὴν Κύρου τελευτὴν πυθόμενος, ἔφυγε μετὰ τῶν ἰδίων στρατιωτῶν πρός τινα τῶν ἰδίων σταθμῶν ἔχοντα καταφυγὴν οὐκ ἀνεπιτήδειον.

διὰ τοῦ αὐτῶν] Ita Edd. vett. et Guelf. αὑτῶν cum Stephano recentiores.

ἔνθεν] Hanc Stephani conjecturam vulgato ἐν ᾧ prætulit cum Hutchinsono Zeune. ἔνθα est in margine Steph. Villois. Paris. Eton. Infra ii. 1, 3. est ὅθεν ὡρμῶντο, Histor. Gr. vi. 4, 14. ἔνθεν ὥρμηντο. Arrianus Anab. iii. 20, 5. παρῆν εἰς τὸ στρατόπεδον, ὅθεν ἀφωρμήκει, ὀπίσω Βαγιστάνης. ubi Editor Halensis ex Florentino libro ἔνθα ὡρμήκει dedit. Sed iii. 24, 7.

ἐλέγοντο παρασάγγαι τῆς ὁδοῦ εἶναι. Βασιλεὺς δὲ καὶ 2
οἱ σὺν αὐτῷ τά τε ἄλλα πολλὰ διαρπάζουσι, καὶ τὴν
Φωκαΐδα τὴν Κύρου παλλακίδα, τὴν σοφὴν καὶ καλὴν
λεγομένην εἶναι, λαμβάνει. Ἡ δὲ Μιλησία, ἡ νεωτέρα, 3
ληφθεῖσα ὑπὸ τῶν ἀμφὶ βασιλέα, ἐκφεύγει γυμνὴ
πρὸς τῶν Ἑλλήνων, οἳ ἔτυχον ἐν τοῖς σκευοφόροις ὅπλα

ἐπανελθὼν ἐς τὸ στρατόπεδον, ἔνθεν ὡρμήκει ἐς τῶν Μαρδῶν τὴν γῆν dedit ex eodem Florentino, ubi vulgabatur ἔνθα περ ὡρμήθη. Sed utrobique ἔνθεν ὥρμητο ex Xenophonte rescribendum erat. Aliud enim ὁρμᾷν, aliud ὁρμᾶσθαι est Xenophonti et Arriano. In ejus libro vi. 12, 1. sine varietate legitur: ἐς τὸ στρατόπεδον, ἔνθεν περ ὡρμήθη. vi. 4, 6. ἔνθεν δὲ ὡρμήθη τὸ δεύτερον. v. 19, 6. καὶ ἔνθεν ὡρμήθη. i. 2, 4. ἔνθεν περ τῇ προτεραίᾳ ὡρμήθη. i. 7, 7. ἔνθεν δὲ ὁρμηθείς. Denique in Histor. Gr. vi. 1, 4. p. 339. est vitiose: ὅταν ἀφίκηται, ἔνθ᾽ ἂν ὁρμώμενος ᾖ. Scribendum erat ὡρμημένος ἦν, quod habet margo Leoncl.

2. τὴν Φωκαΐδα] Plutarchus Artax. 26. Ἀσπασίαν τὴν μάλιστα σπουδασθεῖσαν ὑπὸ Κύρου, τότε δὲ βασιλεῖ παλλακευομένην· ἦν δὲ Φωκαῒς τὸ γένος ἀπ᾽ Ἰωνίας, ἐλευθέρων γονέων, καὶ τεθραμμένη κοσμίως.—Κῦρος δὲ προσεῖχεν αὐτῇ καὶ μάλιστα πασῶν ἔστερξε καὶ σοφὴν προσηγόρευσεν· ἑάλω δὲ Κύρου πεσόντος ἐν τῇ μάχῃ καὶ διαρπαζομένου τοῦ στρατοπέδου. Ex eodem fonte multo plura derivavit Ælianus V. H. xii. 1. ex quibus huc pertinent hæc tantum: ὅτε δὲ ἀνῃρέθη Κῦρος — καὶ ἑάλω τὸ στρατόπεδον τοῦ Κύρου, μετὰ καὶ τῶν ἄλλων λαφύρων καὶ αὐτὴ ἑάλω, οὐκ εἰκῇ καὶ ὡς ἔτυχεν ἐμπεσοῦσα εἰς τοὺς πολεμίους, ἀλλ᾽ ἀνεζήτησεν αὐτὴν σὺν πολλῇ τῇ φροντίδι ὁ βασιλεὺς Ἀρταξέρξης· ᾔδει γὰρ αὐτῆς τὸ κλέος καὶ τὴν ἀρετήν. Ἐπεὶ δὲ αὐτὴν ἤγαγον δεδεμένην, ἠγανάκτει, καὶ τοὺς μὲν τοῦτο δράσαντας εἰς δεσμωτήριον ἐνέβαλε, προσέταξε δὲ αὐτῇ δοθῆναι κόσμον πολυτελῆ.

3. ἡ νεωτέρα] Paris. ἣν νεωτέρα, ἣ ληφθεῖσα habet. Zeunio Milesia dici videtur hæc *minor natu*, quoniam Aspasia illa Periclis pellex quoque Milesia fuerit. Quasi de Aspasiæ nomine constet! Videtur igitur potius cum Phocaide (Aspasia) comparari et dici νεωτέρα. Sed præcipue dignus est, qui comparetur, locus Athenæi libri 13. p. 576. Κῦρος δὲ ὁ ἐπὶ τὸν ἀδελφὸν ἐπιστρατεύσας, οὐχὶ ἑταίραν οὖσαν τὴν Φωκαΐδα τὴν σοφωτάτην καὶ καλλίστην γενομένην εἶχε συστρατευομένην; ἣν Ξενοφάνης φησὶ πρότερον Μιλτὼ καλουμένην Ἀσπασίαν μετονομασθῆναι. Συνηκολούθει δὲ αὐτῷ καὶ ἡ Μιλησία παλλακίς. Quæ verba ex hoc Xenophontis loco translata et nomen Xenophanis errore librarii substitutum fuisse suspicatur nuperus Athenæi Editor. Sed nimis multa discrepant in narratione, quam ut e Xenophonte locum ductum suspicari liceat. Xenophanes igitur ille, aliunde ignotus, diligentius inquirendus erit. De Milesia num idem ille tradiderit, an aliunde Athenæus notitiam duxerit, verborum brevitas dubium relinquit. Clearchus Athenæi 13. p. 589. narrat, Periclem Græciam perturbasse Aspasiæ causa, οὐχ ἕνεκεν Ἀσπασίας τῆς νεωτέρας, ἀλλὰ τῆς Σωκράτει τῷ σοφῷ συγγενομένης. ubi quæ νεωτέρα dicitur Aspasia, distinguitur ab ea, quæ cum Socrate fuit versata. Tres igitur eodem nomine feminæ illustres, quarum duas posteriores, ætate æquales, τὰς νεωτέρας dici vides, sed alteram cognomen Milesiæ, alteram Phocaidis separat.

πρὸς τῶν Ἑλλήνων] Brodæus corrigit: πρὸς τὸ τῶν Ἑλ. intelligens στρατόπεδον, Muretus τὸν τῶν Ἑλ. intellecto σταθμὸν, πρὸς τὸν Ἑλ. Stephanus, item intelligens σταθμόν. Cum Larchero Zeune nihil mutans πρὸς τῶν Ἑλλ. interpretatur *par le moyen des Grecs*. Sed locus Odysseæ Z. 207. πρὸς Διός εἰσιν ἅπαντες ξεῖνοί τε πτωχοί τε huc non pertinet. Poterat commodius comparare ἀποθνήσκειν, κακῶς ἀκούειν ὑπό τινος, πρός τινος. Sed ma-

ἔχοντες, καὶ ἀντιταχθέντες, πολλοὺς μὲν τῶν ἁρπα-
ζόντων ἀπέκτειναν, οἱ δὲ καὶ αὐτῶν ἀπέθανον· οὐ μὴν
ἔφυγόν γε, ἀλλὰ καὶ ταύτην ἔσωσαν καὶ τἄλλα, ὅσα
ἐντὸς αὐτῶν καὶ χρήματα καὶ ἄνθρωποι ἐγένοντο, πάντα
4 ἔσωσαν. Ἐνταῦθα διέσχον ἀλλήλων βασιλεύς τε καὶ
οἱ Ἕλληνες ὡς τριάκοντα στάδια, οἱ μὲν διώκοντες τοὺς
καθ' ἑαυτοὺς, ὡς πάντας νικῶντες· οἱ δὲ ἁρπάζοντες,
5 ὡς ἤδη πάντας νικῶντες. Ὡς δὲ ᾔσθοντο οἱ μὲν Ἕλ-
ληνες, ὅτι βασιλεὺς σὺν τῷ στρατεύματι ἐν τοῖς σκευοφό-
ροις εἴη, βασιλεὺς δ' αὖ ἤκουσε Τισσαφέρνους, ὅτι οἱ
Ἕλληνες νικῷεν τὸ καθ' ἑαυτοὺς, καὶ εἰς τὸ πρόσθεν
οἴχοιντο διώκοντες, ἐνταῦθα δὴ βασιλεὺς μὲν ἀθροίζει
τοὺς ἑαυτοῦ, καὶ συντάττεται· ὁ δὲ Κλέαρχος ἐβου-
λεύετο, Πρόξενον καλέσας, (πλησιαίτατος γὰρ ἦν) εἰ

lim cum Weiskio πρὸς τὸ τῶν Ἑλλήνων στρατόπεδον scribere. Nam ut illa interpretatio posset adhiberi, scriptum oportebat non ἐκφεύγει, sed ἀποφεύγει; illud enim *aufugere*, hoc est *effugere*.

τῶν ἁρπαζόντων] Ita cum Paris. Eton. vulgatum διαρπ. correxi.

ἀπέθανον· — ἀλλὰ] Eton. Codex ἀπεφύγοντο ἀλλὰ habet reliquis omissis. Idem deinceps καὶ ἄλλως ὁπόσα ἐντὸς habet, ὁπόσα etiam Edd. vett. cum Guelf.

ἐντὸς αὐτῶν] *In ipsorum castris* cum Zeunio Weiske interpretatur, contra αὐτῶν Hutchinson referebat ad ὅσα, ad ἐντὸς intelligebat τοῦ στρατοπέδου.

4. οἱ Ἕλληνες] Guelf. articulum omisit. Sequens οἱ μὲν pertinet ad Græcos, οἱ δὲ ad regem cum suis, βασιλέα καὶ τοὺς ἀμφὶ αὐτὸν, quanquam solus rex fuerit nominatus.

ἤδη πάντας νικῶντες] Vulgatum πάντες ita Brodæus emendavit; Stephani conjecturam πάντα recepit Zeune; idem Amasæus reddidisse ei videbatur: *quasi ex omni parte vicissent.* Præterea orationis seriem et locum ii. 1, 1. comprobare ait Stephani rationem. Sed locus iste: ὡς ἐπὶ τὸ στρατόπεδον ἐλθόντες οἱ Ἕλληνες ἐκοιμήθησαν οἰόμενοι πάντα νικᾷν, vel, ut est in Paris. τὰ πάντα νικᾷν, non potest commode cum hoc comparari; Persæ enim ibi non opponuntur Græcis. Omnis autem difficultas et vitii suspicio residet in verbis alterius membri ὡς ἤδη πάντες νικῶντες. Contra Stephanus in priore membro πάντα νικῶντες scribi voluit. Quare assentior Weiskio emendanti ὡς ἤδη πάντας νενικηκότες. Res ipsa, numerorum ratio et τὸ ἤδη hoc videtur postulare, ut ait vir doctus.

ὡς δὲ] Margo Steph. Villois. Paris. ἐπεὶ δὲ, Eton. ἐπεὶ δὲ ὡς. Sequens σὺν τῷ ex Paris. Eton. margine Villois. dedit Zeune; articulum cum reliquis libris neglexit Weiske.

τὸ καθ' ἑαυτοὺς] Intellige μέρος vel στράτευμα. Stephanus tamen τοὺς καθ' ἑαυτοὺς etiam hic scriptum malebat.

οἴχοιντο] Ita cum Stephano margo Villois. οἴχοντο Edd. vett. Guelf. Eton. deinceps iidem libri πέμποιε habent, verum margo etiam Villois.

ἀθροίζει] Eton. addit οἴχονταί τε, quod ad præcedentia pertinere videtur.

πέμποιέν τινας, ἢ πάντες ἴοιεν ἐπὶ τὸ στρατόπεδον ἀρή-
ξοντες.

Ἐν τούτῳ βασιλεὺς πάλιν δῆλος ἦν προσιὼν, ὡς ἐδό- 6
κει, ὄπισθεν. Καὶ οἱ μὲν Ἕλληνες στραφέντες παρα-
σκευάζονται, ὡς ταύτῃ προσιόντες καὶ δεξόμενοι· ὁ δὲ
βασιλεὺς ταύτῃ μὲν οὐκ ἦγεν, ᾗ δὲ παρῆλθεν ἔξω τοῦ
εὐωνύμου κέρατος, ταύτῃ καὶ ἀπήγαγεν, ἀναλαβὼν καὶ
τοὺς ἐν τῇ μάχῃ πρὸς τοὺς Ἕλληνας αὐτομολήσαντας,
καὶ Τισσαφέρνην, καὶ τοὺς σὺν αὐτῷ. Ὁ γὰρ Τισσα- 7
φέρνης ἐν τῇ πρώτῃ συνόδῳ οὐκ ἔφυγεν, ἀλλὰ διήλασε
παρὰ τὸν ποταμὸν κατὰ τοὺς Ἕλληνας πελταστάς·
διελαύνων δὲ κατέκανε μὲν οὐδένα, διαστάντες δὲ οἱ Ἕλ-
ληνες ἔπαιον καὶ ἠκόντιζον αὐτούς· Ἐπισθένης δὲ Ἀμ-
φιπολίτης ἦρχε τῶν πελταστῶν, καὶ ἐλέγετο φρόνιμος

6. Ἐν τούτῳ] Eton. cum margine Villois. Ἐν τούτῳ καὶ habet.

στραφέντες] *Conversi*, vel *conversa acie* cum Leonclavio, Larchero et Zeunio Weiske interpretatur. Et in libro de Laced. republ. xiii. 6. est ἄγει συστρέψας ἐπὶ δόρυ, ubi Morus tamen στρέψας malebat; ἀναστρέψαι est *in eadem conversione* Hellenic. vi. 5, 18. Anab. iv. 3, 29. Sed dubitare nos non patitur liber Paris. et Eton. qui στραφέντες scriptum habent, quod recepi.

ταύτῃ προσιόντες] Ex Regio A. προσιόντος cum Larchero probavit Wyttenbach et Zeune, qui vulgatum προσίοντες, quod etiam Weiske retinuit, sine sensu esse ait. Sed futurum προσιόντες si interpreteris de occursu, bene convenit cum sequenti δεξόμενοι. Scriptura contra προσιόντος difficilem facit sensum omisso αὐτῷ, et duram orationem; quæ multo facilior erat, si Xenophon dixisset ὡς ταύτῃ προσιόντα δεξόμενοι.

παρῆλθεν] Redi ad Cap. 8, 23. Deinde κατὰ τοὺς Ἕλληνας male est in Paris. Eton. et margine Villois. Ego vero ex Eton. μετὰ τοὺς Ἑλλ. annotatum reperi in Edit. Cantabr. 1785.

7. διήλασε παρὰ] Intersertum vulgo καὶ omisi cum Edd. vett. Guelf. Eton. ubi tamen est ἤλασε, et cum Paris. Contra Weiske malebat ἀλλὰ διήλασε· καὶ παρὰ τὸν ποτ.—πελταστὰς διελαύνων κατέκτανε. quæ mutatio longe abit ab indole orationis Xenophonteæ.

κατέκανε] Hoc dedit margo Villois. pro κατέκτανε, ut supra Cap. 9, 6. Infra iii. 1, 2. est κατακαίνειν. In Arriani Anab. v. 18, 11. vulgatum κατέκανεν Editor Halensis ex libro Florent. et Basil. in κατέκτανε mutavit.

αὐτούς] Intellige Τισσαφέρνην καὶ τοὺς σὺν αὐτῷ.

Ἀμφιπολίτης] Margo Leoncl. ex versione Amasæi Μεγαλοπολίτης annotavit. Infra iv. 6, 1. et 3. liber Paris. cum Eton. Episthenem mutat in Clisthenem vel Plisthenem.

φρόνιμος γενέσθαι] i. e. φρονίμως ποιῆσαι, *prudenter fecisse*. Weiskio verba frigere videbantur, quoniam non dicatur, quare Episthenes prudentiam suam demonstraverit. Igitur φοβερὸς vel simile vocabulum scriptum malebat.

8 γενέσθαι. Ὁ δ' οὖν Τισσαφέρνης ὡς μεῖον ἔχων ἀπηλλάγη, πάλιν μὲν οὐκ ἀναστρέφει, εἰς δὲ τὸ στρατόπεδον ἀφικόμενος τῶν Ἑλλήνων, ἐκεῖ συντυγχάνει βασιλεῖ, καὶ ὁμοῦ δὴ πάλιν συνταξάμενοι ἐπορεύοντο.
9 Ἐπεὶ δ' ἦσαν κατὰ τὸ εὐώνυμον τῶν Ἑλλήνων κέρας, ἔδεισαν οἱ Ἕλληνες, μὴ προσάγοιεν πρὸς τὸ κέρας, καὶ περιπτύξαντες ἀμφοτέρωθεν αὐτοὺς κατακόψειαν· καὶ ἐδόκει αὐτοῖς ἀναπτύσσειν τὸ κέρας, καὶ ποιήσασθαι
10 ὄπισθεν τὸν ποταμόν. Ἐν ᾧ δὲ ταῦτα ἐβουλεύοντο, καὶ δὴ βασιλεὺς παραμειψάμενος εἰς τὸ αὐτὸ σχῆμα κατέστησεν ἐναντίαν τὴν φάλαγγα, ὥσπερ τὸ πρῶτον μαχούμενος συνήει. Ὡς δὲ εἶδον οἱ Ἕλληνες ἐγγύς τε ὄντας καὶ παρατεταγμένους, αὖθις παιανίσαντες ἐπήε-
11 σαν πολὺ ἔτι προθυμότερον, ἢ τὸ πρόσθεν. Οἱ δ' αὖ βάρβαροι οὐκ ἐδέχοντο, ἀλλ' ἐκ πλείονος ἢ τὸ πρόσθεν

8. Ὁ δ' οὖν] Ex margine Villois. et Paris. δὲ recepit Zeune.

πάλιν μὲν οὐκ ἀναστρέφει] Hæc verba ex margine Steph. Villois. Paris. Eton. et Regiis A. B. adscivi, ut sententiam explerem, cujus defectum non senserunt Interpretes, cum verba ὡς μεῖον ἔχων *ut inferior discessit* verterent, cum deberent: *cum inferior discessisset.* Noster infra iii. 4, 18. ἀπῆλθον οἱ βάρβαροι μεῖον ἔχοντες ἐν τῇ τότε ἀκροβολίσει. Imitatus etiam hoc est Arrianus Anab. iii. 23, 10. καὶ μεῖον ἔχοντες τῷ ἀκροβολισμῷ ἀπηλλάγησαν. Ceterum margo Villois. inter τῶν Ἑλλήνων inserit articulum ὁ, quem in τὸ mutatum probaverim. De re ipsa compara ii. 3, 19.

9. διακόψειαν] Paris. et Eton. κατακόψειαν dederunt, quod Hutchinson loco huic convenire recte statuit, quod contra ac debuit accepit Zeune. Similis est locus supra cap. 8, 24. Verbum περιπτύσσειν sic est, ut h. l., in Cyrop. vii. 1, 26. οἱ δὲ πεζοὶ αὐτῷ συντεταγμένοι ταχὺ ἐφείποντο καὶ περιεπτύσσοντο ἔνθεν καὶ ἔνθεν, ὥστε πολὺ ἐπλεονέκτει. ubi Codex Altorf. περιέπτυσσον habet.

ἀναπτύσσειν τὸ κέρας] Dicitur ut ἀναπτύσσειν τὴν φάλαγγα Cyrop. vii. 5, 3. *explicare phalangem.*

10. καὶ δὴ] Mureti conjecturam ἤδη corrigentis recte improbavit Hutchinson; vulgatum enim sensum habet eundem apud Atticos scriptores.

παραμειψάμενος] Male cum Hutchinsono conjungit Zeune verbum hoc cum vocabulo φάλαγγα. Nam παραμειψάμενος est h. l. idem quod cap. viii. sect. 13. τοῦ εὐωνύμου τοῦ Ἑλληνικοῦ ἔξω ὤν. Contra vocabulum τὴν φάλαγγα pertinet ad solum verbum κατέστησεν εἰς τὸ αὐτὸ σχῆμα. Itaque comma post σχῆμα tollendum erat, quod feci. Falsa distinctio fecit, ut etiam Leonclavius a sensu loci aberraret; nam is καὶ μαχούμενος συνήει scribi voluit. Ceterum ἀντίαν habet Guelf. Paris. Eton.

11. ἐκ πλείονος] Ex longiore intervallo vel spatio, quam cap. 8, 9. Sic est ἐκ πολλοῦ Cyrop. vii. 1, 27. quod

ἔφευγον· οἱ δ' ἐπεδίωκον μέχρι κώμης τινός· ἐνταῦθα
δὲ ἔστησαν οἱ Ἕλληνες· ὑπὲρ γὰρ τῆς κώμης γήλοφος 12
ἦν, ἐφ' οὗ ἀνεστράφησαν οἱ ἀμφὶ βασιλέα, πεζοὶ μὲν
οὐκ ἔτι, τῶν δὲ ἱππέων ὁ λόφος ἐνεπλήσθη, ὥστε τὸ
ποιούμενον μὴ γιγνώσκειν. Καὶ τὸ βασίλειον σημεῖον
ὁρᾷν ἔφασαν, ἀετόν τινα χρυσοῦν ἐπὶ πέλτης ἀνατεταμένον.

Ἐπεὶ δὲ καὶ ἐνταῦθα ἐχώρουν οἱ Ἕλληνες, λείπουσι 13
δὴ καὶ τὸν λόφον οἱ ἱππεῖς· οὐ μέντοι ἔτι ἀθρόοι, ἀλλ'
ἄλλοι ἄλλοθεν· ἐψιλοῦτο δ' ὁ λόφος τῶν ἱππέων· τέλος δὲ καὶ πάντες ἀπεχώρησαν. Ὁ οὖν Κλέαρχος οὐκ 14
ἀνεβίβαζεν ἐπὶ τὸν λόφον, ἀλλ' ὑπὸ αὐτὸν στήσας τὸ
στράτευμα, πέμπει Λύκιον τὸν Συρακούσιον καὶ ἄλλον
ἐπὶ τὸν λόφον, καὶ κελεύει, κατιδόντας τὰ ὑπὲρ τοῦ λό-

Zonaras πόῤῥωθεν interpretatus est. Addit Weiske locum Arriani Anab. i. 10, 11. Pro ἔφευγον Eton. habet ᾤχοντο.

12. ὑπὲρ] Margo Villois. ὑπὸ habet.

ἐφ' οὗ ἀνεστράφησαν—πεζοὶ μὲν οὐκ ἔτι] Vulgo hæc inepte distinguunt ita, ut post βασιλέα colon ponant, ad verba πεζοὶ μὲν οὐκ ἔτι repetant verbum ἀνεστράφησαν. Sed repetito verbo non est opus, si colon in comma mecum transmutaveris et comma post ἔτι posueris. Multo pejus verba ἐφ' οὗ ἀνεστράφησαν interpretantur *in quo se convertebant*, vel, ut Weiske, *in quo conversi steterunt*. Est potius *ad quem collem conversi in fugam profecti erant, qui regem comitabantur.*

γιγνώσκειν] Intellige τοὺς Ἕλληνας.

ἐπὶ πέλτης] Edd. vett. addunt ἐπὶ ξύλον, Guelf. cum Stephano ἐπὶ ξύλου, quod Hutchinson mutavit in ἐπὶ ξυστοῦ. Contra Leonclavius verbum πέλτης mutari voluit in παλτοῦ, cujus vocabuli interpretationem censebat esse verba ἐπὶ ξύλου. In Paris. et Regiis B. C. quos Larcherus comparavit, est ὁρᾷν δῆλον, ὅτι ὁ μὲν ἀετὸς ἐπὶ πέλτης ἐπεποίητο ἑστὼς, ἡ πέλτη δὲ ξυλωτῇ ἐπέκειτο· ἔφασαν etc. Eadem est glossa in Eton. nisi quod ibi est ἐπὶ πέλτῃ et ξύλῳ τε. Margo Villois. ex libro 2. 1. 3. πέλτῃ, ex 2. ξυλώτῃ pro ξύλῳ τινὶ, ut in 6, in quo ista in textum irrepserint, annotavit. In Cyrop. vii. 1, 4. est: ἦν δὲ τῷ Κύρῳ τὸ σημεῖον ἀετὸς χρυσοῦς ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος. Est igitur πέλτη h. l. quod δόρυ in Cyropædia; et Suidas cum Hesychio πέλτην interpretatur etiam λόγχην et ἀκόντιον. Quare verba ἐπὶ ξύλου tanquam scholion delenda esse recte censuerunt Dorville ad Charitonem p. 690. Toup. ad Suidam iii. p. 335. et Larcher ad h. l. Locus Arriani positus a Suida in v. ξυστὸν ita habet: τὰ σημεῖα τῆς ἐπιλέκτου στρατιᾶς ἀετοὶ, εἰκόνες βασίλειοι, στέμματα, πάντα χρυσᾶ, ἀνατεταμένα ἐπὶ ξυστῶν ἠργυρωμένων.

13. ἐψιλοῦτο—ἱππέων] Quanquam Xenophontis ἀφέλειαν et nativam orationis simplicitatem bene novisse mihi videor, tamen hoc membrum ex eo genere mihi esse non videtur, sed orationis seriem turbare et ταυτολογίαν ineptam efficere.

14. κατιδόντας] Eton. liber κατιδόντα habet.

15 φου, τί ἐστιν, ἀπαγγεῖλαι. Καὶ ὁ Λύκιος ἤλασε καὶ
ἰδὼν ἀπαγγέλλει, ὅτι φεύγουσιν ἀνὰ κράτος. Σχεδὸν
16 δ' ὅτε ταῦτα ἦν, καὶ ἥλιος ἐδύετο. Ἐνταῦθα δ' ἔστη-
σαν οἱ Ἕλληνες, καὶ θέμενοι τὰ ὅπλα ἀνεπαύοντο· καὶ
ἅμα μὲν ἐθαύμαζον, ὅτι οὐδαμοῦ Κῦρος φαίνοιτο, οὐδ'
ἄλλος ἀπ' αὐτοῦ οὐδεὶς παρείη· οὐ γὰρ ᾔδεσαν αὐτὸν
τεθνηκότα, ἀλλ' εἴκαζον, ἢ διώκοντα οἴχεσθαι, ἢ κατα-
17 ληψόμενόν τι προεληλακέναι· καὶ αὐτοὶ ἐβουλεύοντο, εἰ
αὐτοῦ μείναντες τὰ σκευοφόρα ἐνταῦθα ἄγοιντο, ἢ ἀπίοιεν
ἐπὶ τὸ στρατόπεδον. Ἔδοξεν οὖν αὐτοῖς ἀπιέναι· καὶ
18 ἀφικνοῦνται ἀμφὶ δόρπιστον ἐπὶ τὰς σκηνάς. Ταύτης
μὲν οὖν τῆς ἡμέρας τοῦτο τὸ τέλος ἐγένετο. Καταλαμ-
βάνουσι δὲ τῶν τε ἄλλων χρημάτων τὰ πλεῖστα διηρ-
πασμένα, καὶ εἴ τι σιτίον ἢ ποτὸν ἦν· καὶ τὰς ἁμάξας

15. *ἤλασε καὶ*] Paris. *ἤλασέ τε καί.* Ex verbo *ἤλασε* apparet, Lycium fuisse equitem.

16. *δ' ἔστησαν*] Margo Villois. *δ' ἂν ἔστησαν* habet.

θέμενοι—ἀνεπαύοντο] *sub armis conquiescebant* vertit Hutchinson: contra Weiske arma non deposita quidem, sed recondita tamen fuisse censebat.

ἄλλος ἀπ' αὐτοῦ παρῄει] Vitium arguit non solum tempus incommodum junctum præsenti *φαίνοιτο*, sed etiam locus geminus infra ii. 1, 2. *ἐθαύμαζον, ὅτι Κῦρος οὔτε ἄλλον πέμποι σημανοῦντα ὅ, τι χρὴ ποιεῖν, οὔτ' αὐτὸς φαίνοιτο.* Quare *παρείη* scribendum censui.

καταληψόμενον] Male Edd. vett. *καταλειψόμενον* habent; deinceps *προσεληλακέναι* vulgatum ex conjectura Stephani, Mureti, Leonclavii, firmata a Paris. libro, correxit Zeune.

17. *ἄγοιντο*] Ita margo Steph. Villois. Paris. pro vulgato *ἀγάγοιντο.*

αὐτοῖς ἀπιέναι] Vulgatam cum Aldina, margine Villois. et Weiskio prætuli scripturæ Junt. et Guelf. *αὐτοὺς* receptæ a Zeunio, quæ facit orationem duriorem. Contra Zeune *αὐτοὺς* eleganter putabat opponi *τοῖς σκευοφόροις.*

δόρπιστον] Laudat ex h. l. Pollux vi. 102. *δόρπον* interpretatus, Hesychius cum Suida et Etymol. M. *δείπνου* vel *δόρπου ὥραν.* Sed margo Steph. *δόρπετον*, Paris. *δορπητὸν*, Eton. *δόρπητον* habet. Diodorus xiv. 24. *οἱ δὲ περὶ Κλέαρχον πολλοὺς τῶν Βαρβάρων ἀνελόντες, ὡς ἤδη νὺξ ἦν, ἀναχωρήσαντες τρόπαιον ἔστησαν καὶ περὶ δευτέραν σχεδὸν φυλακὴν ἔφθασαν εἰς τὴν παρεμβολήν.*

18. *Ταύτης μὲν οὖν*] Ex Guelf. *οὖν* adjunxi cum Zeunio.

καὶ τὰς ἁμάξας μεστὰς] Equidem ex more Xenophonteo scriptum malim: *καὶ τὰς ἁμάξας δὲ μεστάς.* Deinceps *ἀλεύρου* habet margo Villois. In Cyrop. v. 2, 5. est *οἶνον, ἄλφιτα, ἄλευρα.* Sed in Arriani Anabas. vi. 29, 11. *ἀλεύρου τε καὶ οἴνου τεταγμένα* ex Florentino libro pro *ἀλεύρων* posuit nuperus Editor Halensis. Postea *σφόδρα* est in Edd. vett. *σφοδρὰ τὸ στράτευμα λάβοιτο ἔνδεια* Eton. Denique *διαδοίη* Guelf. habet.

μεστὰς ἀλεύρων καὶ οἴνου, ἃς παρεσκευάσατο Κῦρος, ἵνα, εἴ ποτε σφοδρὰ λάβοι τὸ στρατόπεδον ἔνδεια, διαδιδοίη τοῖς Ἕλλησιν, (ἦσαν δ' αὗται, ὡς ἐλέγοντο, τετρακόσιαι ἅμαξαι·) καὶ ταύτας τότε οἱ σὺν βασιλεῖ διήρπασαν. Ὥστε ἄδειπνοι ἦσαν οἱ πλεῖστοι τῶν Ἑλλήνων· 19
ἦσαν δὲ καὶ ἀνάριστοι· πρὶν γὰρ δὴ καταλῦσαι τὸ στράτευμα πρὸς ἄριστον, βασιλεὺς ἐφάνη. Ταύτην μὲν οὖν τὴν νύκτα οὕτω διεγένοντο.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ Β΄.

CAPUT I.

Ὡς μὲν οὖν ἠθροίσθη Κύρῳ τὸ Ἑλληνικὸν, ὁπότε ἐπὶ
τὸν ἀδελφὸν Ἀρταξέρξην ἐστρατεύετο, καὶ ὅσα ἐν τῇ
ἀνόδῳ ἐπράχθη, καὶ ὡς ἡ μάχη ἐγένετο, καὶ ὡς Κῦρος
ἐτελεύτησε, καὶ ὡς ἐπὶ τὸ στρατόπεδον ἐλθόντες οἱ Ἕλ-
ληνες ἐκοιμήθησαν, οἰόμενοι τὰ πάντα νικᾶν, καὶ Κῦρον
ζῇν, ἐν τῷ ἔμπροσθεν λόγῳ δεδήλωται. Ἅμα δὲ τῇ 2
ἡμέρᾳ συνελθόντες οἱ στρατηγοὶ ἐθαύμαζον, ὅτι Κῦρος
οὔτε ἄλλον πέμποι σημανοῦντα, ὅ τι χρὴ ποιεῖν, οὔτ' αὐ-
τὸς φαίνοιτο. Ἔδοξεν οὖν αὐτοῖς, συσκευασαμένοις, ἃ
εἶχον, καὶ ἐξοπλισαμένοις, προϊέναι εἰς τὸ πρόσθεν, ἕως
Κύρῳ συμμίξειαν. Ἤδη δὲ ἐν ὁρμῇ ὄντων, ἅμ' ἡλίῳ 3
ἀνίσχοντι ἦλθε Προκλῆς, ὁ Τευθρανίας ἄρχων, γεγονὼς

1. Ὡς μὲν οὖν] Omissum in Edd. vett. et Guelf. οὖν inseruit Stephanus adstipulante margine Villois. In Eton. est ὡς μὲν ὁπότε ἠθροίσθη.

τὰ πάντα] Ex Paris. articulum τὰ adscivi. Cf. ad i. cap. 10, 4.

2. πέμποι — φαίνοιτο] Gregorius Lecapenus in Grammatica ex h. l. retulit πέμπει — φαίνεται, monente Zeunio. Etiam Paris. πέμπει habet. Sed compara i. 10, 16.

ἕως Κύρῳ] Ita Paris. et Eton. Vulgabatur ὡς, quod conjunctivum habere solet adjunctum.

3. Τευθρανίας ἄρχων] Paris. Eton. Τευθράνιος. Hellenic. iii. 1, 6. καὶ πόλεις Πέργαμον, — καὶ Τευθρανίαν καὶ Ἁλισάρναν· ὧν Εὐρυσθένης τε καὶ Προκλῆς ἦρχον οἱ ἀπὸ Δημαράτου τοῦ Λακεδαιμονίου. ubi compara reliqua et Herodotum vi. 63. et 70. Ceterum h. l. Juntina Δραμάτου, Guelf. Δαραμάτου, margo Villois. Δημαράτου habet.

ἀπὸ Δαμαράτου τοῦ Λάκωνος, καὶ Γλοῦς ὁ Ταμώ.
Οὗτοι ἔλεγον, ὅτι Κῦρος μὲν τέθνηκεν, Ἀριαῖος δὲ πε-
φευγὼς ἐν τῷ σταθμῷ εἴη μετὰ τῶν ἄλλων βαρβάρων,
ὅθεν τῇ προτεραίᾳ ὡρμῶντο· καὶ λέγοι, ὅτι ταύτην μὲν
τὴν ἡμέραν περιμείνειεν ἂν αὐτοὺς, εἰ μέλλοιεν ἥκειν· τῇ
δὲ ἄλλῃ ἀπιέναι φαίη ἐπὶ Ἰωνίας, ὅθενπερ ἦλθε.
4 Ταῦτα ἀκούσαντες οἱ στρατηγοὶ καὶ οἱ ἄλλοι Ἕλληνες
βαρέως ἔφερον. Κλέαρχος δὲ τάδε εἶπεν· ἀλλ' ὤφελε
μὲν Κῦρος ζῆν· ἐπεὶ δὲ τετελεύτηκεν, ἀπαγγέλλετε
Ἀριαίῳ, ὅτι ἡμεῖς γε νικῶμεν βασιλέα, καὶ, ὡς ὁρᾶτε,
οὐδεὶς ἡμῖν ἔτι μάχεται· καὶ εἰ μὴ ὑμεῖς ἤλθετε, ἐπο-
ρευόμεθα ἂν ἐπὶ βασιλέα. Ἐπαγγελλόμεθα δὲ
Ἀριαίῳ, ἐὰν ἐνθάδε ἔλθῃ, εἰς τὸν θρόνον τὸν βασίλειον
αὐτὸν καθιεῖν· τῶν γὰρ τὴν μάχην νικώντων καὶ τὸ ἄρ-
5 χειν ἐστί. Ταῦτ' εἰπὼν ἀποστέλλει τοὺς ἀγγέλους,
καὶ σὺν αὐτοῖς Χειρίσοφον τὸν Λάκωνα, καὶ Μένωνα τὸν
Θετταλόν· καὶ γὰρ αὐτὸς ὁ Μένων ἐβούλετο· ἦν γὰρ
6 φίλος καὶ ξένος Ἀριαίου. Οἱ μὲν ᾤχοντο, Κλέαρχος δὲ

ὁ Ταμὼ] Vulgatum Ταμὼν ita præeunte Stephano correxit Hutchinson.

τῇ προτεραίᾳ] Ita cum Brodæo et Paris. libro scripsit Weiske. Vulgatum προτέρᾳ reprobant Ammonius et Thomas M.

ὡρμῶντο] Equidem propter sequens ὅθενπερ ἦλθε et locum similem i. 10, 1. ὥρμηντο scribendum censeo.

λέγοι] Male Paris. liber λέγει; nam sequitur φαίη. Deinde περιμείνειαν Edd. vett. περιμείνοιεν Paris. cum Steph. facit Guelf.

4. ἀκούσαντες] Ita margo Steph. Villois. Paris. Eton. Vulgatum ἀκούοντες in πυνθανόμενοι æque solœcum mutavit Leonclaviana; quod tamen ipsum post Ἕλληνες insertum habet margo Steph. Villois. Paris. Eton. Sed margo Steph. et Villois. annotat, in aliis libris solum verbum πυνθανόμενοι post Ἕλληνες scriptum legi. Verum dedit Hutchinson, ἀκούοντες Zeune et Weiske.

ὤφελε] Edd. vett. Guelf. ὄφελε. Deinceps ἡμεῖς νικῶμέν τε βασιλέα dant Eton. et margo Villois. Postea εἰς βασιλέα Eton. denique ἀπαγγελλόμεθα male Paris.

ἔλθῃ—αὐτὸν καθιεῖν] Guelf. ἔλθοι. deinde καθίσειν αὐτὸν Paris. Eton. margo Villois.

τῶν γὰρ τὴν μάχην] Ita margo Villois. τῶν γὰρ μάχῃ Eton. Vulgo articulus τὴν deest.

5. αὐτὸς ὁ Μένων] Articulum ὁ omisit Eton.

6. Οἱ μὲν ᾤχοντο] Muretus καὶ οἱ μὲν ᾤχοντο scriptum malebat; recte, puto, ut firmius jungatur oratio antecedentibus.

περιέμεινε. Τὸ δὲ στράτευμα ἐπορίζετο σῖτον, ὅπως ἐδύνατο, ἐκ τῶν ὑποζυγίων, κόπτοντες τοὺς βοῦς καὶ ὄνους· ξύλοις δ' ἐχρῶντο, μικρὸν προϊόντες ἀπὸ τῆς φάλαγγος, οὗ ἡ μάχη ἐγένετο, τοῖς τε οἰστοῖς, πολλοῖς οὖσιν, (οὓς ἠνάγκαζον οἱ Ἕλληνες ἐκβάλλειν τοὺς αὐτομολοῦντας παρὰ βασιλέως) καὶ τοῖς γέῤῥοις, καὶ ταῖς ξυλίναις ἀσπίσι ταῖς Αἰγυπτίαις· πολλαὶ δὲ καὶ πέλται, καὶ ἅμαξαι ἦσαν [φέρεσθαι] ἔρημοι· οἷς πᾶσι χρώμενοι, κρέα ἕψοντες ἤσθιον ἐκείνην τὴν ἡμέραν.

Καὶ ἤδη τε ἦν περὶ πλήθουσαν ἀγορὰν, καὶ ἔρχονται 7
παρὰ βασιλέως καὶ Τισσαφέρνους κήρυκες, οἱ μὲν ἄλλοι, βάρβαροι· ἦν δὲ αὐτῶν Φαλύνος εἷς Ἕλλην, ὃς ἐτύγχανε παρὰ Τισσαφέρνει ὢν, καὶ ἐντίμως ἔχων· καὶ γὰρ προσεποιεῖτο ἐπιστήμων εἶναι τῶν περὶ τὰς τάξεις τε

περιέμεινε] Ita Eton. liber. Vulgatum περιέμενε non bene coit cum sequenti ἐπορίζετο.

σῖτον] Quod in libris quibusdam Brodæus additum reperit καὶ ποτὸν, est etiam in Etonensi, sed rectius καὶ τοῦτον habet adjunctum margo Villois. Deinde τὰς βοῦς est a prima manu scriptum in Guelf. idem est in margine Steph. et Villois.

ἐκβάλλειν] Intellige ἐκ τῶν χειρῶν, *abjicere*. Male cum Leonclavio Stephanus *evellere* interpretatur. Transfugas enim receperat jam antea rex, ut est supra i. 10, 6. Ceterum ἠνάγκαζον—αὐτομολοῦντας dictum est pro ἠνάγκασαν—αὐτομολήσαντας.

Αἰγυπτίαις] Cf. i. 8, 9. Sequens καὶ ante πέλται omisit Guelf.

[φέρεσθαι] ἔρημοι] Muretus verbum delendum censuit, quod defendens Hutchinson nihil expediit. Zeune item defendit, ὥστε intelligens et ita vertens: *et erant plaustra, quæ cum jumentis carerent, vehi non poterant.* Ineptissime! quasi plaustra a jumentis φέρεσθαι græce dicantur. Weiske ad φέρεσθαι refert non solum ἅμαξαι, sed etiam πέλται, atque ita interpretatur: *ut afferri seu comportari ad ignem alendum possent.* Equidem neutram rationem probans verbum seclusi.

7. Φαλύνος] Ita hic et in seqq. Edd. vett. Guelf. Φαλῖνος dedit Stephanus. In Plutarcho Artax. 13. est Φάϋλλος, in Cod. Vulcobii Φάλληνος, in Diodoro xiv. 25. Φάληνος, in Codice Coisl. reg. Φάλυνος, in alio Φαλῖνος.

περὶ τὰς τάξεις] Margo Steph. Villois. 1. 3. 2. Paris. Eton. ἀμφὶ dant, Junt. Eton. margo Villois. 1. 3. 2. πράξεις. Intelliguntur ὁπλομάχοι, de quibus in Republ. Laced. xi. 8. εὐπορώτατα δὲ καὶ ἐκεῖνα Λακεδαιμόνιοι ποιοῦσι τὰ τοῖς ὁπλομάχοις πάνυ δοκοῦντα χαλεπὰ εἶναι. Xenophon Memorab. iii. 1. memorat Dionysodorum ἐπαγγελλόμενον στρατηγεῖν διδάξειν, qui tamen, ut est ibid. sect. 5. ἐκ τοῦ αὐτοῦ ἤρξατο, εἰς ὅπερ καὶ ἐτελεύτα· τὰ γὰρ τακτικὰ ἐμέ γε καὶ ἄλλο οὐδὲν ἐδίδαξεν. De eodem est in Platonis Euthydemo p. 8. τὰ γὰρ περὶ πόλεμον πάντα ἐπίστασθον (Dionysodorus cum fratre Euthydemo), ὅσα δεῖ τὸν μέλλοντα ἀγαθὸν στρατηγὸν ἔσεσθαι, τάς τε τάξεις καὶ τὰς ἡγεμονίας τῶν στρατοπέδων, καὶ ὅσα ἐν ὅπλοις μάχεσθαι διδακτέον. Plato in Lachete p. 170, ubi Stesilaus ὁπλομάχος memoratur: τοὺς ἐν ὅπλοις μαχομένους τούτους ἐγὼ

8 καὶ ὁπλομαχίαν. Οὗτοι δὲ προσελθόντες τε, καὶ καλέσαντες τοὺς τῶν Ἑλλήνων ἄρχοντας, λέγουσιν, ὅτι βασιλεὺς κελεύει τοὺς Ἕλληνας, ἐπεὶ νικῶν τυγχάνει, καὶ Κῦρον ἀπέκτονε, παραδόντας τὰ ὅπλα, ἰόντας ἐπὶ τὰς βασιλέως θύρας, εὑρίσκεσθαι ἤν τι δύνωνται ἀγαθόν.
9 Ταῦτα μὲν εἶπον οἱ βασιλέως κήρυκες· οἱ δὲ Ἕλληνες βαρέως μὲν ἤκουσαν, ὅμως δὲ Κλέαρχος τοσοῦτον εἶπεν, ὅτι οὐ τῶν νικώντων εἴη τὰ ὅπλα παραδιδόναι· ἀλλ', ἔφη, ὑμεῖς μὲν, ὦ ἄνδρες στρατηγοὶ, τούτοις ἀποκρίνασθε, ὅ τι κάλλιστόν τε καὶ ἄριστον ἔχετε· ἐγὼ δὲ αὐτίκα ἥξω. Ἐκάλεσε γάρ τις αὐτὸν τῶν ὑπηρετῶν, ὅπως
10 ἴδοι τὰ ἱερὰ ἐξῃρημένα· ἔτυχε γὰρ θυόμενος. Ἔνθα δὴ ἀπεκρίνατο Κλεάνωρ μὲν ὁ Ἀρκὰς, πρεσβύτατος ὢν, ὅτι πρόσθεν ἂν ἀποθάνοιεν, ἢ τὰ ὅπλα παραδοῖεν· Πρόξενος δὲ ὁ Θηβαῖος, ἀλλ' ἐγὼ, ἔφη, ὦ Φαλῦνε, θαυμάζω, πότερα ὡς κρατῶν βασιλεὺς αἰτεῖ τὰ ὅπλα, ἢ ὡς διὰ φιλίαν δῶρα. Εἰ μὲν γὰρ ὡς κρατῶν, τί δεῖ αὐτὸν αἰτεῖν, καὶ οὐ λαβεῖν ἐλθόντα; εἰ δὲ πείσας βούλεται λα-

ὁρῶ—κύκλῳ περιϊόντας τὴν Λακεδαίμονα καὶ πᾶσι μᾶλλον ἐπιδεικνυμένους etc.

8. τε, καὶ καλέσαντες] Ex Eton. τε cum Zeunio adscivi. Deinde κελεύοι ex Guelf. dedit Zeune.

τυγχάνει] Edd. vett. et a sec. manu Guelf. τυγχάνοι. deinceps ἀπέκτεινε Guelf. Diodorus Phalynum dicentem inducit: Λέγει ὁ βασιλεὺς Ἀρταξέρξης, ἐπειδὴ νενίκηκα Κῦρον ἀποκτείνας, παράδοτε τὰ ὅπλα, καὶ πρὸς τὰς θύρας αὐτοῦ βαδίσαντες ζητεῖτε, πῶς αὐτὸν ἐκθεραπεύσαντες ἀγαθοῦ τινος μεταλάβητε.

εὑρίσκεσθαι] Ita iterum infra vii. 1, 31. Arrianus Anab. iii. 17, 11. χαλεπῶς εὕροντο δεόμενοι παρ' αὐτοῦ τὴν χώραν τὴν σφῶν ἔχοντες φόρους ἀποφέρειν, ubi pessimam Florentini libri lectionem εὗρον dedit Editor Halensis. Idem Arrianus iii. 21, 8. παραδοῦναι Δαρεῖον Ἀλεξάνδρῳ, καὶ σφίσι τι ἀγαθὸν εὑρίσκεσθαι. iii. 30, 8. ὡς σωτηρίαν σφίσιν εὑρέσθαι παρ' Ἀλεξάνδρου. ii. 25, 5. ἐκελεύετε αὐτὸν ἥκειν, εἴ τι εὑρέσθαι ἐθέλοι φιλάνθρωπον παρ' αὐτοῦ. Denique i. 7, 16. καὶ εὑρέσθαι συγγνώμην τῷ πλήθει—τῆς ἀποστάσεως.

9. ἱερὰ ἐξῃρημένα] Exta exemta. Conjecturam ἐξηργμένα a Larchero commemoratam recte reprobat Zeune.

10. Ἔνθα δὴ] Ex Guelf. pro vulgato δὲ dedit Zeune. Deinceps margo Steph. et Villois. πρεσβύτερος habet. Postea Paris. Eton. ἀποθάνειεν—παραδοίησαν. Etiam margo Villois. παραδοίησαν habet.

Φαλῦνε] Margo Villois. Φαλίνας dat.

φιλίαν δῶρα] Vulgo intersertum καὶ cum Junt. Amasæo, Guelf. Paris. omisit Zeune.

καὶ οὐ λαβεῖν] Ita Paris. Eton. Vulgo erat ἀλλ' οὐ λαβεῖν. Ceterum Dio-

βεῖν, λεγέτω, τί ἔσται τοῖς στρατιώταις, ἐὰν αὐτῷ ταῦτα
χαρίσωνται. Πρὸς ταῦτα Φαλῦνος εἶπε, βασιλεὺς νι- 11
κᾶν ἡγεῖται, ἐπεὶ Κῦρον ἀπέκτονε. Τίς γὰρ αὐτῷ ἐστιν
ὅστις ἀρχῆς ἀντιποιεῖται; Νομίζει δὲ καὶ ὑμᾶς ἑαυτοῦ
εἶναι, ἔχων ἐν μέσῃ τῇ ἑαυτοῦ χώρᾳ, καὶ ποταμῶν ἐντὸς
ἀδιαβάτων· καὶ πλῆθος ἀνθρώπων ἐφ' ὑμᾶς δυνάμενος
ἀγαγεῖν, ὅσον, οὐδ' εἰ παρέχοι ὑμῖν, δύναισθ' ἂν ἀπο-
κτεῖναι.

Μετὰ τοῦτον Θεόπομπος Ἀθηναῖος εἶπε· Ὦ Φαλῦνε, 12
νῦν, ὡς σὺ ὁρᾷς, ἡμῖν οὐδὲν ἄλλο ἐστὶν ἀγαθὸν εἰ μὴ
ὅπλα καὶ ἀρετή. Καὶ ὅπλα μὲν οὖν ἔχοντες, οἰόμεθα
ἂν καὶ τῇ ἀρετῇ χρῆσθαι· παραδόντες δ' ἂν ταῦτα, καὶ
τῶν σωμάτων στερηθῆναι. Μὴ οὖν οἴου, τὰ μόνα ἡμῖν
ἀγαθὰ ὄντα ὑμῖν παραδώσειν· ἀλλὰ σὺν τούτοις καὶ
περὶ τῶν ὑμετέρων ἀγαθῶν μαχούμεθα. Ἀκούσας δὲ 13

dorus eandem orationem Sophilo cuidam tribuit his verbis: *θαυμάζω τοὺς παρὰ τοῦ βασιλέως λόγους. εἰ μὲν γὰρ αὐτὸν δοκεῖ κρείσσονα τῶν Ἑλλήνων εἶναι, μετὰ τῆς δυνάμεως ἐλθὼν λαβέτω τὰ παρ' ἡμῖν ὅπλα· εἰ δὲ πείσας βούλεται, λεγέτω τίνα χάριν ἡμῖν ἀντὶ τούτων δώσει.*

11. *ἀπέκτονε*] Paris. Eton. *ἀπέκτεινε* dant. Deinceps geminum *ἑαυτοῦ* ex Paris. Eton. dedi pro *αὑτοῦ*. Edd. vett. Guelf. *αὐτοῦ* habent.

παρέχοι] Eton. *παρέχοιεν* dat, non ineptum.

12. *Ξενοφῶν*] *Θεόπομπος* est in Paris. Eton. et margine Villois. Diodorus Proxeno orationem eandem tribuit. Weiske pæne certum habet, Xenophontis nomen alienum esse ab h. l. Duces enim Græcorum (*ἄρχοντας* vel *στρατηγοὺς* sect. 8.) ad colloquium vocatos esse, et eosdem sect. 9. hortari Clearchum, ut respondeant. At Xenophontem tum ne militem quidem fuisse, iii. 1, 4. neque apparere, quomodo de armis suis et de virtute sua hic posset dicere. Publice quidem etiam infra cap. 5. extremo loqui; sed inde locum hunc non posse defendi. Denique cum sect. 14. legamus: *ἄλλους δ' ἔφασαν*, merito dubitari, si Xenophon ipse interfuit consilio, quid ita alienam fidem antestetur. Novum itaque vir doctus argumentum hinc peti posse putabat pro Themistogene auctore Anabaseos. Ipse, difficultas quomodo explicari possit, non reperit, nec sibi exquirere rationem vacare ait. Difficultatem facile expediunt scripti libri optimi, quos secutus, admonitu Weiskii, Theopompum Xenophonti substitui.

καὶ ὅπλα] Eton. *καὶ* omisit. Diodorus: *νῦν τὰ μὲν ἄλλα σχεδὸν ἀποβεβλήκαμεν, λέλειπται δὲ ἡμῖν ἥ τε ἀρετὴ καὶ τὰ ὅπλα. νομίζομεν οὖν, ἂν μὲν ταῦτα φυλάττωμεν, χρησίμην ἡμῖν ἔσεσθαι καὶ τὴν ἀρετήν· ἂν δὲ παραδῶμεν, οὐδὲ ταύτην ἡμῖν ἔσεσθαι βοηθόν. διόπερ ἐκέλευσε τῷ βασιλεῖ λέγειν, ὡς, ἂν περὶ ἡμῶν κακόν τι βουλεύηται, διὰ τούτων πρὸς αὐτὸν διαγωνιούμεθα περὶ τῶν ἀγαθῶν τῶν κοινῶν.*

ὄντα ἡμᾶς] Margo Steph. Villois. Paris. Eton. *ὑμῖν* dederunt.

ὑμετέρων] Leonclavii emendationem hanc firmant Paris. Eton. *de re-*

ταῦτα ὁ Φαλῦνος ἐγέλασε, καὶ εἶπεν· Ἀλλὰ φιλοσόφῳ
μὲν ἔοικας, ὦ νεανίσκε, καὶ λέγεις οὐκ ἀχάριστα· ἴσθι
μέντοι ἀνόητος ὤν, εἰ οἴει ἂν τὴν ὑμετέραν ἀρετὴν περιγε-
14 νέσθαι τῆς βασιλέως δυνάμεως. Ἄλλους δέ τινας ἔφα-
σαν λέγειν ὑπομαλακιζομένους, ὡς καὶ Κύρῳ πιστοὶ
ἐγένοντο, καὶ βασιλεῖ γ' ἂν πολλοῦ ἄξιοι γένοιντο, εἰ
βούλοιτο φίλος γενέσθαι· καὶ εἴτε ἄλλό τι θέλοι χρῆ-
σθαι, εἴτ' ἐπ' Αἴγυπτον στρατεύειν, συγκαταστρέψαιντ'
15 ἂν αὐτῷ. Ἐν τούτῳ καὶ Κλέαρχος ἧκε, καὶ ἠρώτησεν,
εἰ ἤδη ἀποκεκριμένοι εἶεν. Φαλῦνος δ' ὑπολαβὼν εἶπεν·
Οὗτοι μὲν, ὦ Κλέαρχε, ἄλλος ἄλλα λέγει· σὺ δ' ἡμῖν
16 εἰπὲ, τί λέγεις. Ὁ δ' εἶπεν· Ἐγώ σε, ὦ Φαλῦνε,
ἄσμενος ἑώρακα, οἶμαι δὲ καὶ οἱ ἄλλοι πάντες οὗτοι· σύ
τε γὰρ Ἕλλην εἶ, καὶ ἡμεῖς, τοσοῦτοι ὄντες, ὅσους σὺ
ὁρᾷς· ἐν τοιούτοις δὲ ὄντες πράγμασι συμβουλευόμεθά
17 σοι, τί χρὴ ποιεῖν, περὶ ὧν λέγεις. Σὺ οὖν, πρὸς Θεῶν,
συμβούλευσον ἡμῖν, ὅ τι σοι δοκεῖ κάλλιστον καὶ ἄριστον
εἶναι, καὶ ὅ σοι τιμὴν οἴσει εἰς τὸν ἔπειτα χρόνον ἂν λεγό-

liquis bonis versio Amasæi habet. ἡμετέρων erat in Edd. vett. unde ἡμετέρων σωμάτων efficiebat Muretus. ἀγαθῶν κοινῶν ex h. l. retulisse videtur Diodorus.

13. ὦ νεανίσκε] Ex hoc ætatis indicio comparato cum loco altero infra iii. 1, 25. annos ætatis Xenophontis colligere conatus est Zeune, cujus tamen rationes non bene procedunt, uti docui in Præfatione ad Hellenica. Nunc vero Xenophonti Theopompus successit, et tota illa argumentatio concidit.

ἀχάριστα] Paris. Eton. ἄχρηστα. inepte.

14. ἐγένοντο—γένοιντο] Ita vulgatum γένοιντο—γένωνται ex Paris. et Eton. correxit Weiske, probante Porsono. Aliorum orationes retulit Diodorus ex alieno fonte.

ἄλλό τι θέλοι] Ita cum libro Paris. et Eton. margo Villois. pro εἴτε τι ἄλλο βούλεται scriptum habent. De Ægyptiorum defectu compara Diodori xi. 71. et infra ii. 5, 13.

16. πάντες οὗτοι] Paris. liber οὗτοι omisit.

τοσοῦτοι ὄντες] Liber Eton. τοσοῦτοί τε ὄντες dat, unde τοσοῦτοί γε conjicit scribendum Porson. Deinceps ἐν τούτοις Guelf.

17. ἀναλεγόμενον] Budæus ait dictum pro ἀναγινωσκόμενον et vertit *olim quum legetur*. Leunclavius: *repetitum commemoratione*. Cum Moro πάντα λεγόμενον probat Zeune. In nostram lectionem incidit etiam Weiske, qui tamen malebat ἀνὰ τὴν Ἑλλάδα λεγόμενον. Futurum tempus ὑποθετικῶς additum ἂν significat. ἀναλέγεσθαι pro legere Callimachus usurpavit, monente Hemsterhusio ad Luciani tom. ii. p. 362. ed. Bipont.

καὶ ὅ σοι τιμὴν οἴσει εἰς τὸν ἔπειτα χρόνον ἂν λεγόμενον.] Quo sæpius lo-

μενον, ὅτι Φαλῦνος ποτὲ πεμφθεὶς παρὰ βασιλέως, κελεύσων τοὺς Ἕλληνας τὰ ὅπλα παραδοῦναι, συμβουλευομένοις συνεβούλευσεν αὐτοῖς τάδε. Οἶσθα δὲ, ὅτι ἀνάγκη λέγεσθαι ἐν τῇ Ἑλλάδι, ὃ ἂν συμβουλεύσῃς. Ὁ δὲ 18
Κλέαρχος ταῦτα ὑπήγετο, βουλόμενος καὶ αὐτὸν τὸν παρὰ βασιλέως πρεσβεύοντα συμβουλεῦσαι, μὴ παραδοῦναι τὰ ὅπλα, ὅπως εὐέλπιδες μᾶλλον οἱ Ἕλληνες εἶεν. Φαλῦνος δ' ὑποστρέψας, παρὰ τὴν δόξαν αὐτοῦ εἶπεν ὧδε·

Ἐγὼ, εἰ μὲν τῶν μυρίων ἐλπίδων μία τις ὑμῖν ἐστι, 19

cum hunc consideravi, eo magis sensi animum inclinatum meum ad approbandam conjecturam Mori: εἰς τὸν ἔπειτα χρόνον ἅπαντα λεγόμενον. Futuri enim ὑποθετικοῦ illius, quod addita particula ἂν existere videtur, nulla hic ratio haberi posse videtur. Idem est judicium meum de loco simillimo infra vi. 2, 7. εἰς δὲ τὸ πόλισμα ἂν γενόμενον οὐκ ἐβούλοντο στρατοπεδεύεσθαι. Diversa plane ratio est loci Demosthenici contra Midiam cap. xi. p. 20. ed. Spald. τίς γὰρ οὐκ οἶδεν ὑμῶν, τοῦ μὲν πολλὰ τὰ τοιαῦτα γίγνεσθαι, τὸ μὴ κολάζεσθαι τοὺς ἐξαμαρτάνοντας αἴτιον ὂν, τοῦ δὲ μηδένα ὑβρίζειν τὸ λοιπὸν, τὸ δίκην τὸν ἀεὶ ληφθέντα ἣν προσήκει διδόναι, μόνον αἴτιον ἂν γενόμενον; Hæc enim verba facile ita compones et strues, ut propria futuri indefiniti virtus appareat. Scribe enim: τοῦ δὲ μηδένα—λοιπὸν, εἰ δίκην ὁ ἀεὶ ληφθεὶς,—προσήκει, διδῴη, μόνον αἴτιον ἂν γένοιτο. Quod idem in duobus Xenophontis locis expertus fieri posse mecum negabis. In priore enim orationem si dissolvas, minime οἴσει εἰς τὸν ἔπειτα χρόνον ἂν λέγοιτο dici poterit, sed potius dicendum ἐὰν λέγηται. Sed hæc ratio in altero loco plane non succedet, nec omnino ibi potest adhiberi. Par est ratio loci Platonici in Cratylo sect. 56. p. 86. editionis Heindorfianæ: ἔοικε τοίνυν κατάδηλον γενόμενον ἂν μᾶλλον, εἰ τῷ Δωρικῷ τις ὀνόματι χρῷτο. quod facile potest aliter scribi, ita quidem: κατάδηλον τοίνυν μᾶλλον ἂν γένοιτο, ὡς ἔοικεν, εἰ &c. *Ex Epistola.*]

παραδοῦναι] Edd. vett. et Steph. προδοῦναι. Veram scripturam ex Paris. Eton. et Guelf. dedit Hutchinson.

συμβουλευομένοις] Ita cum Guelf. scripsit Zeune. Junt. Eton. συμβασιλευόμενος, liber i. 3, 4. in margine Villois. συμβασιλευομένοις, *etsi in officio regis erat* versio Amasæi, συμβουλευόμενος Ald. Steph.

18. ταῦτα ὑπήγετο] Suidas in verbo ὑπῆγε habet ταῦθ' ὑπῆγε, interpretatus ὑπετίθετο. Herodotus ix. 94. ταύτῃ δὲ ὑπάγοντες εἰρώτεον habet eadem notione fallaciæ.

αὐτὸν τὸν παρὰ βασιλέως] Suidas αὐτὸν τὸν βασιλέα πρεσβεύειν—παραδοῦναι. Etiam Paris. et Eton. παραδοῦναι habent; unde vulgatum παραδιδόναι mutavi. Præterea Eton. συμβουλεύσασθαι habet.

ὑποστρέψας] Leonclavius malebat μεταστὰς καὶ ὑποστρέψας. Contra Hutchinson comparat Latinum *stropha*, et ex Polluce annotat verbum στρέφεσθαι, ὑποστρέφεσθαι synonymum τῷ ἀπατᾷν, ut στροφὴν et ὑποστροφὴν is comparat cum ἀπάτῃ. Zeune notionem eludendi derivat ex propria, quam esse putabat *a fuga adversus hostem converti.* Anonymus interpres Gallicus vertit: *Phalinus l'eluda par ses détours.* Larcherus: *mais Phalinus dêtourna adroitement le coup.*—Liber Eton. sequens ὧδε omisit.

σωθῆναι πολεμοῦντας βασιλεῖ, συμβουλεύω, μὴ παρα-
διδόναι τὰ ὅπλα· εἰ δέ τοι μηδεμία σωτηρίας ἐστὶν ἐλ-
πὶς ἄκοντος βασιλέως, συμβουλεύω σώζεσθαι ὑμῖν ὅπῃ
20 δυνατόν. Κλέαρχος δὲ πρὸς ταῦτα εἶπεν· Ἀλλὰ ταῦτα
μὲν δὴ σὺ λέγεις· παρ' ἡμῶν δὲ ἀπάγγελλε ταῦτα, ὅτι
ἡμεῖς οἰόμεθα, εἰ μὲν δέοι βασιλεῖ φίλους εἶναι, πλείο-
νος ἂν ἄξιοι εἶναι φίλοι, ἔχοντες τὰ ὅπλα, ἢ παραδόντες
ἄλλῳ· εἰ δὲ δέοι πολεμεῖν, ἄμεινον ἂν πολεμεῖν, ἔχοντες
21 τὰ ὅπλα, ἢ ἄλλῳ παραδόντες. Ὁ δὲ Φαλῦνος εἶπε·
Ταῦτα μὲν δὴ ἀπαγγελοῦμεν· ἀλλὰ καὶ τάδε ὑμῖν ἐκέ-
λευσεν εἰπεῖν βασιλεὺς, ὅτι μένουσι μὲν ὑμῖν αὐτοῦ σπον-
δαὶ εἴησαν, προϊοῦσι δὲ καὶ ἀπιοῦσι πόλεμος. Εἴπατε
οὖν καὶ περὶ τούτου, πότερα μενεῖτε καὶ σπονδαί εἰσιν, ἢ
22 ὡς πολέμου ὄντος παρ' ὑμῶν ἀπαγγελῶ. Κλέαρχος δ'
ἔλεξεν· Ἀπάγγελλε τοίνυν καὶ περὶ τούτων, ὅτι καὶ
ἡμῖν ταὐτὰ δοκεῖ, ἅπερ καὶ βασιλεῖ. Τί οὖν ταῦτ'
ἐστίν; ἔφη ὁ Φαλῦνος. Ἀπεκρίνατο Κλέαρχος· Ἢν
μὲν μένωμεν, σπονδαί· ἀπιοῦσι δὲ καὶ προϊοῦσι, πόλε-
23 μος. Ὁ δὲ πάλιν ἠρώτησε· Σπονδὰς ἢ πόλεμον ἀπαγ-
γελῶ; Κλέαρχος δὲ ταὐτὰ πάλιν ἀπεκρίνατο· Σπονδαὶ
μὲν μένουσιν, ἀπιοῦσι δὲ ἢ προϊοῦσι πόλεμος. Ὅ τι δὲ
ποιήσοι, οὐ διεσήμανε.

19. εἰ δέ τοι] Ita cum Paris. scripsi. εἰ δέ τι Eton. εἰ μέντοι vulgabatur. Sequens μηδεμία in locum vulgati μηδεμιᾶς præeunte Mureto restituit Hutchinson, consentiente versione Amasæi.

ἄκοντος] Codices quidam a Brodæo comparati ἑκόντος habebant, quod cum sequentibus verbis copulari voluit librarius.

σώζεσθαι ὑμῖν] Ex margine Steph. Villois. Paris. Eton. ὑμῖν accessit.

20. ἀπάγγελλε] Paris. Eton. ἀπάγγελλε τάδε habent. Diodorus ait, idem olim responsum regi Persarum a Leonida duce apud Thermopylas: διότι νομίζομεν, κἂν φίλοι γενώμεθα τῷ Ξέρξῃ, μετὰ τῶν ὅπλων ὄντες, ἀμείνους ἔσεσθαι σύμμαχοι· κἂν πολεμεῖν πρὸς αὐτὸν ἀναγκασθῶμεν, βέλτιον μετὰ τούτων ἀγωνιεῖσθαι.

22. περὶ τούτων] Eton. περὶ τούτου. Sequens ταὐτὰ pro ταῦτα ex Steph. et Hutchins. deinde καὶ ex Eton. libro recepit Zeune.

Ἀπεκρίνατο] Paris. Eton. ἀπεκρίθη ὁ Κλέαρχος habent.

23. διεσήμανε] Paris. διεσήμηνε.

CAP. II.

ΦΑΛΥΝΟΣ μὲν δὴ ᾤχετο, καὶ οἱ σὺν αὐτῷ. Οἱ δὲ
παρὰ Ἀριαίου ἧκον, Προκλῆς καὶ Χειρίσοφος· (Μένων
δὲ αὐτοῦ ἔμενε παρὰ Ἀριαίῳ·) οὗτοι δ' ἔλεγον, ὅτι πολ-
λοὺς φαίη Ἀριαῖος εἶναι Πέρσας, ἑαυτοῦ βελτίους, οὓς
οὐκ ἂν ἀνασχέσθαι αὐτοῦ βασιλεύοντος· ἀλλ' εἰ βού-
λεσθε συναπιέναι, ἥκειν ἤδη κελεύει τῆς νυκτός· εἰ δὲ
μὴ, αὐτὸς πρωῒ ἀπιέναι φησίν. Ὁ δὲ Κλέαρχος εἶπεν· 2
Ἀλλ' οὕτω χρὴ ποιεῖν, ἐὰν μὲν ἥκωμεν, ὥσπερ λέγετε·
εἰ δὲ μὴ, πράττετε, ὁποῖον ἄν τι ὑμῖν οἴεσθε μάλιστα
συμφέρειν. Ὅ τι δὲ ποιήσοι, οὐδὲ τούτοις εἶπε. Μετὰ 3
δὲ ταῦτα, ἤδη ἡλίου δύνοντος, συγκαλέσας τοὺς στρατη-
γοὺς καὶ λοχαγοὺς, ἔλεξε τοιάδε· Ἐμοὶ, ὦ ἄνδρες, θυο-
μένῳ ἰέναι ἐπὶ βασιλέα, οὐκ ἐγίγνετο τὰ ἱερά. Καὶ
εἰκότως ἄρα οὐκ ἐγίγνετο. Ὡς γὰρ ἐγὼ νῦν πυνθάνο-
μαι, ἐν μέσῳ ἡμῶν καὶ βασιλέως ὁ Τίγρης ποταμός
ἐστι ναυσίπορος, ὃν οὐκ ἂν δυναίμεθα ἄνευ πλοίων δια-
βῆναι· πλοῖα δ' ἡμεῖς οὐκ ἔχομεν. Οὐ μὲν δὴ αὐτοῦ
γε μένειν οἷόν τε· τὰ γὰρ ἐπιτήδεια οὐκ ἔστιν ἔχειν· ἰέναι
δὲ παρὰ τοὺς Κύρου φίλους, πάνυ καλὰ ἡμῖν τὰ ἱερὰ
ἦν. Ὧδε οὖν χρὴ ποιεῖν· ἀπιόντας δειπνεῖν, ὅ τι τις 4
ἔχει· ἐπειδὰν δὲ σημήνῃ τῷ κέρατι, ὡς ἀναπαύεσθαι,
συσκευάζεσθε· ἐπειδὰν δὲ τὸ δεύτερον, ἀνατίθεσθε ἐπὶ

1. αὐτοῦ ἔμενε] Ita pro ἔμεινε Paris. habet.

2. ἐὰν μὲν] Ita cum libro Eton. scripsi. Vulgo erat ἂν μέν.

οἴεσθε] Solœcum οἴησθε ex Guelf. correxi. δοκεῖ habet Eton. æque bonum.

3. θυομένῳ ἰέναι] Insolentiam dictionis explicat Hutchinson intellecto ἐπί. Zeunii ratio absurda est. Statim redit ἰέναι δὲ παρὰ τοὺς Κύρου φίλους. Herodotus vi. 76. οὐ γὰρ ἐκαλλιέρεε διαβαίνειν μιν. Cf. infra vi. 4, 36.

μέσῳ ἡμῶν] Paris. ὑμῶν. Deinceps οὐκ ἔστιν ἔχειν ex margine Steph. Villois. Paris. Eton. dedi. Vulgo ἔχειν abest. Postea καλὰ ὑμῖν Paris. et Eton. habent.

4. ὡς ἀναπαύεσθαι] Cum Amasæo *quum eodem modo, quo quiescendi tempus significatur, cornu signum datum fuerit*, interpretantur Zeune et Weiske.

τὰ ὑποζύγια· ἐπὶ δὲ τῷ τρίτῳ, ἕπεσθε τῷ ἡγουμένῳ, τὰ μὲν ὑποζύγια ἔχοντες πρὸς τοῦ ποταμοῦ, τὰ δὲ ὅπλα
5 ἔξω. Ταῦτα ἀκούσαντες οἱ στρατηγοὶ καὶ οἱ λοχαγοὶ ἀπῆλθον, καὶ ἐποίουν οὕτω· καὶ τὸ λοιπὸν ὁ μὲν ἦρχεν, οἱ δ' ἐπείθοντο, οὐχ ἑλόμενοι, ἀλλ' ὁρῶντες, ὅτι μόνος ἐφρόνει, οἷα δεῖ τὸν ἄρχοντα, οἱ δὲ ἄλλοι ἄπειροι ἦσαν.
6 Ἀριθμὸς δὲ τῆς ὁδοῦ, ἣν ἦλθον ἐξ Ἐφέσου τῆς Ἰωνίας μέχρι τῆς μάχης, σταθμοὶ τρεῖς καὶ ἐννενήκοντα, παρασάγγαι πέντε καὶ τριάκοντα καὶ πεντακόσιοι, στάδιοι πεντήκοντα καὶ ἑξακισχίλιοι καὶ μύριοι· ἀπὸ δὲ τῆς μάχης ἐλέγοντο εἶναι εἰς Βαβυλῶνα, στάδιοι ἑξήκοντα καὶ τριακόσιοι.

7 Ἐντεῦθεν δή, ἐπεὶ σκότος ἐγένετο, Μιλτοκύθης μὲν ὁ

τῷ τρίτῳ] Intellige σημείῳ. Ceterum verba ἀνατίθεσθε ἐπὶ τὰ ὑποζύγια similia sunt his Polybii vi. 38. de eadem re tradentis. ὅταν δὲ τὸ δεύτερον, ἀνατιθέασι τὰ σκευοφόρα τοῖς ὑποζυγίοις.

πρὸς τοῦ ποταμοῦ] Ita cum Eton. et margine Villois. vulgatum πρὸ correxi. Sic utitur iterum noster infra iv. 3, 26.

τὰ δὲ ὅπλα] i. e. ὁπλίτας, armatos pedites. In Guelf. δὲ excidit. Ceterum ad hanc partem narrationis Xenophonteæ referendum censeo locum Polyæni ii. 2, 2. ex alio tamen auctore ductum. Κλέαρχος, Κύρου πεσόντος, ἀναχωρῶν μετὰ τῶν Ἑλλήνων ἐστρατοπέδευσεν ἐν κώμῃ τροφὴν ἄφθονον ἐχούσῃ. Τισσαφέρνης πρέσβεις πέμψας ἠξίου μένειν αὐτόθι τοὺς Ἕλληνας παραδόντας αὐτῷ τὰ ὅπλα. Κλέαρχος ὑπεκρίνατο προσίεσθαι τοὺς λόγους, ὅπως Τισσαφέρνης ἐλπίδι σπονδῶν εἰς τὰς κώμας διαπέμψειε τοὺς πολλοὺς τῶν Περσῶν. Ὁ μὲν δὴ νομίσας εἶξαι τὸν Κλέαρχον, διέλυσε τὴν δύναμιν· ὁ δὲ νύκτωρ τοὺς Ἕλληνας ἐξαγαγὼν τῇ πορείᾳ προέλαβεν ἡμέραν ὅλην καὶ νύκτα, τοῦ Τισσαφέρνου βραδέως τοὺς διαλυθέντας συναγαγόντος.

5. ἑλόμενοι] Suidas sub h. v. male interpretatur βουλόμενοι.

οἷα δεῖ] Intellige φρονεῖν. Libri tamen Eton. ἔδει probat Porson.

6. μέχρι τῆς μάχης] *Usque ad locum pugnæ, Cunaxa vocatum,* teste Plutarcho. Sic iterum est ἀπὸ τῆς μάχης, *a loco pugnæ.*

παρασάγγαι π. κ. τριάκοντα] Edd. vett. cum Guelf. omittunt hæc verba; in margine Villois. παρασάγγαι vocabulum tantum deesse annotatur. Ceterum annotat Zeune, in libro superiore Xenophontem enumerasse tantum σταθμοὺς 84 et parasangas 517, qui efficiunt summam stadiorum 15,510. Putat igitur, σταθμοὺς 9 cum parasangis 18, qui numero desunt posito hic, tribuendos esse itineri ab Epheso ad Sardes facto, aut latere in descriptione itineris a Sardibus.

τριακόσιοι] Ita cum Paris. Eton. Regio B. et margine Villois. vulgatum numerum τρισχίλιοι correxit Zeune, qui minime conciliatur cum Plutarcheo, qui Cunaxorum a Babylone distantiam facit 500 stadiorum. Igitur non opus est emendatione Capelli εἰς Σοῦσα scribentis, nec excusatione vani barbarorum sermonis, qui Græcos deterrere voluerint.

7. Μιλτοκύθης] Liber Eton. Μιλατοκύθης habet, et sequens μεθ' omittit. Demosthenes in Orationibus p. 655. 658. 676. et 1207. memorat

Θρᾴξ, ἔχων τούς τε ἱππέας τοὺς μεθ' ἑαυτοῦ εἰς τεσσα-
ράκοντα, καὶ τῶν πεζῶν Θρᾳκῶν ὡς τριακοσίους, ηὐτο-
μόλησε πρὸς βασιλέα. Κλέαρχος δὲ τοῖς ἄλλοις ἡγεῖτο 8
κατὰ τὰ παρηγγελμένα, οἱ δ' εἵποντο· καὶ ἀφικνοῦνται
εἰς τὸν πρῶτον σταθμὸν παρὰ Ἀριαῖον καὶ τὴν ἐκείνου
στρατιὰν, ἀμφὶ μέσας νύκτας· καὶ ἐν τάξει θέμενοι τὰ
ὅπλα, συνῆλθον οἱ στρατηγοὶ καὶ οἱ λοχαγοὶ τῶν Ἑλλή-
νων παρὰ Ἀριαῖον· καὶ ὤμοσαν οἵ τε Ἕλληνες καὶ ὁ
Ἀριαῖος, καὶ τῶν σὺν αὐτῷ οἱ κράτιστοι, μήτε προδώ-
σειν ἀλλήλους, σύμμαχοί τε ἔσεσθαι· οἱ δὲ βάρβαροι
προσώμοσαν, καὶ ἡγήσεσθαι ἀδόλως. Ταῦτα δ' ὤμο- 9
σαν, σφάξαντες κάπρον, καὶ ταῦρον, καὶ λύκον, καὶ
κριὸν, εἰς ἀσπίδα βάπτοντες οἱ μὲν Ἕλληνες ξίφος, οἱ
δὲ βάρβαροι λόγχην. Ἐπεὶ δὲ τὰ πιστὰ ἐγένετο, εἶπεν 10
ὁ Κλέαρχος· Ἄγε δὴ, ὦ Ἀριαῖε, ἐπείπερ ὁ αὐτὸς ἡμῖν

Thraciæ regulum Μιλτοκύθην, qui a Cotye defecit et ab Atheniensibus desertus fuit.

8. πρῶτον σταθμὸν] De quo est i. 10, 1. Diodorus: πρὸς τὸν σταθμὸν, ὅπου τὸ διασεσωσμένον στρατόπεδον ἦν ἀνακεχωρηκός.

ὁ Ἀριαῖος] Articulum ex Eton. adscivit Zeune. Deinceps τῶν σὺν αὐτοῖς habet Paris. et margo Villois.

μήτε] Suidas sub v. συνθήκη ex h. l. simplex μὴ posuit; idem sequens προσώμοσαν servavit, quod in προσώρμησαν mutant Junt. et Guelf. Verum habet Ald. Steph. et margo Villois.

9. κάπρον—κριὸν] Suidas cum Guelf. ταῦρον καὶ λύκον καὶ κάπρον καὶ κριόν. Gallicus Interpres Ablancourt verris et lupi mentione offensus negat intelligi posse, unde feræ istæ. Sed κάπρος quidem simpliciter verres est, non ferus; sed lupi mentio me pariter offendit. Locus Demosthenis p. 642. a Zeunio comparatus in fœdere solenni memorat tantum κάπρον, κριὸν, ταῦρον. Hæc sunt *suovitaurilia* Romana, de quibus disputavi ad Catonem de R. R. 141. Varronem ii. 1, 10. et in Indice Script. R. R. p. 353.

εἰς ἀσπίδα βάπτοντες] Æschylus Sept. c. Thebas versu 43. ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος Καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου Ἄρην, Ἐνυὼ καὶ φιλαίματον Φόβον ὡρκωμότησαν. Quo respiciens Aristophanes Lysistr. 187. τίν' ὅρκον ὁρκώσεις ποθ' ἡμᾶς;— εἰς ἀσπίδ', ὥσπερ, φασὶν, Αἰσχύλος ποτὲ, μηλοσφαγούσας; Scythorum morem narrat Herodotus iv. 70. ὅρκια ποιεῦνται ὧδε Σκύθαι—ἐς κύλικα μεγάλην οἶνον ἐγχέαντες αἷμα συμμίσγουσι τῶν τὰ ὅρκια ταμνομένων,—καὶ ἔπειτα ἀποβάψαντες ἐς τὴν κύλικα ἀκινάκεα καὶ ὀϊστοὺς καὶ σάγαριν καὶ ἀκόντιον· ἐπεὰν δὲ ταῦτα ποιήσωσι, κατεύχονται πολλὰ, καὶ ἔπειτα ἀποπίνουσι αὐτοί τε οἱ τὸ ὅρκιον ποιεύμενοι καὶ τῶν ἑπομένων οἱ πλείστου ἄξιοι. Quem locum expressit Mela ii. 1. et Luciani Toxaris. Diversum jurisjurandi solemnis morem describit auctor Argonauticorum sub Orphei nomine editorum versu 319. 320. Ceterum Zeune scribi malebat καὶ βάπτοντες.

10. ἡμῖν—ὑμῖν] Contra Paris. ὑμῖν —ἡμῖν habet.

στόλος ἐστὶ καὶ ὑμῖν, εἰπὲ, τίνα γνώμην ἔχεις περὶ τῆς
πορείας· πότερον ἄπιμεν, ἥνπερ ἤλθομεν, ἢ ἄλλην τινὰ
11 ἐννενοηκέναι δοκεῖς ὁδὸν κρείττω; Ὁ δ' εἶπεν· Ἣν μὲν
ἤλθομεν, ἀπιόντες πάντες ἂν ὑπὸ λιμοῦ ἀπολοίμεθα·
ὑπάρχει γὰρ νῦν ἡμῖν οὐδὲν τῶν ἐπιτηδείων. Ἑπτα-
καίδεκα γὰρ σταθμῶν τῶν ἐγγυτάτω οὐδὲ δεῦρο ἰόντες
ἐκ τῆς χώρας οὐδὲν εἴχομεν λαμβάνειν· ἔνθα δ' εἴ τι
ἦν, ἡμεῖς διαπορευόμενοι κατεδαπανήσαμεν. Νῦν δ'
ἐπινοοῦμεν πορεύεσθαι μακροτέραν μὲν, τῶν δ' ἐπιτη-
12 δείων οὐκ ἀπορήσομεν. Πορευτέον δ' ἡμῖν τοὺς πρώτους
σταθμοὺς ὡς ἂν δυνώμεθα μακροτάτους, ἵνα ὡς πλεῖ-
στον ἀποσπασθῶμεν τοῦ βασιλικοῦ στρατεύματος· ἢν
γὰρ ἅπαξ δυοῖν ἢ τριῶν ἡμερῶν ὁδὸν ἀπόσχωμεν, οὐκ ἔτι
μὴ δύνηται βασιλεὺς ἡμᾶς καταλαβεῖν. Ὀλίγῳ μὲν
γὰρ στρατεύματι οὐ τολμήσει ἐφέπεσθαι· πολὺν δ' ἔχων
στόλον, οὐ δυνήσεται ταχὺ πορεύεσθαι· ἴσως δὲ καὶ τῶν
ἐπιτηδείων σπανιεῖ. Ταύτην, ἔφη, γνώμην ἔχω ἔγωγε.
13 Ἦν δ' αὕτη ἡ στρατηγία οὐδὲν ἄλλο δυναμένη, ἢ
ἀποδρᾶναι ἢ ἀποφυγεῖν· ἡ δὲ τύχη ἐστρατήγησε κάλ-
λιον. Ἐπεὶ γὰρ ἡμέρα ἐγένετο, ἐπορεύοντο, ἐν δεξιᾷ
ἔχοντες τὸν ἥλιον, λογιζόμενοι ἥξειν ἅμα ἡλίῳ δύνοντι εἰς

11. *πάντες ἂν ὑπὸ*] Paris. Eton. et margo Steph. *παντελῶς ὑπὸ* dant. Deinde *νῦν ὑμῖν* Edd. vett. Guelf. verum habet Castalio.

ἔνθα δ' εἴ τι ἦν] Venit aliquando mihi in mentem *ἔνθα δέ τι ἦν*, ubicunque vero supererat aliquid.

ἐπινοοῦμεν] Zeunii correctionem *ἐπινοῶ μὲν* eatenus probo, ut *ἐπινοῶ* servem, *μὲν* abjiciam. Diodorus: *γνόντες δ' ἐπὶ Παφλαγονίας ἀναζευγνύειν, οὗτοι μὲν ὥρμησαν ἐπὶ Παφλαγονίαν μετὰ τῆς δυνάμεως, κατὰ σχολὴν ὁδοιποροῦντες, ὡς ἂν ἅμα τὰς τροφὰς πορίζόμενοι.*

ἀπορήσομεν] Weiske *ἀπορησομένην* scribendum censebat, ut antecedenti *μακροτέραν* responderet. Sed variavit orationem Xenophon, et *ἀπορεῖν* de personis tantum dici videtur.

12. *δυοῖν*] Paris. Eton. *δύο* habent, deinceps *ἀπόσχωμεν ὁδὸν* Guelf.

οὐκ ἔτι μὴ δύνηται] Amasæus recte vertit: *non erit quod vereamur, ne nos assequi possit.*' Zeune *φοβοῦμαι* ante *μὴ* intelligit. Pessime Weiske mutari voluit in *δυνήσεται.* Cf. infra ad iv. 8, 13.

ταχὺ] Paris. Eton. margo Villois. *ταχέως.*

ἔγωγε] Addidit Zeune ex libro Brodæi, margine Steph. Villois. Paris. Eton.

13. *ἐν δεξιᾷ ἔχοντες τὸν ἥλιον*] Versus septentrionem igitur.

κώμας τῆς Βαβυλωνίας χώρας· καὶ τοῦτο μὲν οὐκ
ἐψεύσθησαν. Ἔτι δὲ ἀμφὶ δείλην ἔδοξαν πολεμίους 14
ὁρᾶν ἱππέας· καὶ τῶν τε Ἑλλήνων οἳ μὴ ἔτυχον ἐν ταῖς
τάξεσιν ὄντες, εἰς τὰς τάξεις ἔθεον, καὶ Ἀριαῖος (ἐτύγ-
χανε γὰρ ἐφ' ἁμάξης πορευόμενος, διότι ἐτέτρωτο) κατα-
βὰς ἐθωρακίζετο, καὶ οἱ σὺν αὐτῷ. Ἐν ᾧ δὲ ὡπλί- 15
ζοντο, ἧκον λέγοντες οἱ προπεμφθέντες σκοποὶ, ὅτι οὐχ
ἱππεῖς εἰσιν, ἀλλὰ ὑποζύγια νέμοιτο. Καὶ εὐθὺς ἔγνω-
σαν πάντες, ὅτι ἐγγύς που ἐστρατοπεδεύετο βασιλεύς·
καὶ γὰρ καὶ καπνὸς ἐφαίνετο ἐν κώμαις οὐ πρόσω.
Κλέαρχος δὲ ἐπὶ μὲν τοὺς πολεμίους οὐκ ἦγεν· (ᾔδει 16
γὰρ καὶ ἀπειρηκότας τοὺς στρατιώτας, καὶ ἀσίτους ὄν-
τας· ἤδη δὲ καὶ ὀψὲ ἦν) οὐ μέντοι οὐδ' ἀπέκλινε, φυ-
λαττόμενος, μὴ δοκοίη φεύγειν· ἀλλ' εὐθύωρον ἄγων,
ἅμα τῷ ἡλίῳ δυομένῳ εἰς τὰς ἐγγυτάτω κώμας τοὺς
πρώτους ἔχων κατεσκήνωσεν, ἐξ ὧν διήρπαστο ὑπὸ τοῦ
βασιλικοῦ στρατεύματος καὶ αὐτὰ τὰ ἀπὸ τῶν οἰκιῶν
ξύλα. Οἱ μὲν οὖν πρῶτοι ὁμοίῳ τρόπῳ τινὶ ἐστρατοπε- 17
δεύοντο, οἱ δ' ὕστεροι σκοταῖοι προσιόντες, ὡς ἐτύγχανον
ἕκαστοι, ηὐλίζοντο, καὶ κραυγὴν πολλὴν ἐποίουν καλοῦν-
τες ἀλλήλους, ὥστε καὶ τοὺς πολεμίους ἀκούειν· ὥστε
οἱ μὲν ἐγγύτατα τῶν πολεμίων καὶ ἔφυγον ἐκ τῶν

15. εἰσὶν—νέμοιτο] Zeunius suspicabatur εἴησαν scribendum esse. νέμοιντο habet Paris. et Eton.

καὶ γὰρ καὶ] Posterius καὶ omittit Eton. et Guelf.

16. ἦγεν] Ita Steph. liber Brodæi, Guelf. et margo Villois. ἦσαν est in Junt. Ald. Eton. ἤλασεν dedit Castalio, quem sequitur D'Arnaud Animadv. p. 173.

εὐθύωρον] Margo Steph. cum Paris. ἀθυμότερον, margo Villois. εὐθυμότερον dat. Vulgatum ex h. l. Harpocratio et Suidas interpretantur κατ' εὐθεῖαν.

τοὺς πρώτους ἔχων] Margo Steph. Villois. cum Paris. dat τοὺς πρωταγοὺς ἄγων. Comparat Zeune locum Hellenic. iv. 2, 14. πάλιν σκηνοῦν εἰς τὸ στρατόπεδον.

αὐτὰ τὰ] Edd. vett. cum Guelf. αὐτὰ omittunt.

17. ὁμοίῳ τρόπῳ τινὶ] Margo Steph. et Villois. ὅμως habet, deinde cum Paris. et Eton. ἐστρατοπεδεύσαντο.

σκοταῖοι] Suidas editus ex h. l. habet σκοτιαῖοι, sed Codex Oxoniensis a Porsono inspectus σκοταῖοι præfert. Sequens προσιόντες cum Suida habet Steph. et margo Villois. προϊόντες Edd. vett. et Guelf.

ἐγγύτατα] Supra sect. 16. est εἰς τὰς ἐγγυτάτω κώμας. Infra v. 4, 13.

18 σκηνωμάτων. Δῆλον δὲ τοῦτο τῇ ὑστεραίᾳ ἐγένετο· οὔτε γὰρ ὑποζύγιον ἔτι οὐδὲν ἐφάνη, οὔτε στρατόπεδον, οὔτε καπνὸς οὐδαμοῦ πλησίον. Ἐξεπλάγη δὲ, ὡς ἔοικε, καὶ βασιλεὺς τῇ ἐφόδῳ τοῦ στρατεύματος· ἐδήλωσε δὲ τοῦτο
19 οἷς τῇ ὑστεραίᾳ ἔπραττε. Προϊούσης μέντοι τῆς νυκτὸς ταύτης, καὶ τοῖς Ἕλλησι φόβος ἐμπίπτει, καὶ θόρυβος καὶ δοῦπος ἦν, οἷον εἰκὸς φόβου ἐμπεσόντος γίγνεσθαι.
20 Κλέαρχος δὲ Τολμίδην Ἠλεῖον, ὃν ἐτύγχανεν ἔχων παρ' ἑαυτῷ κήρυκα ἄριστον τῶν τότε, τοῦτον ἀνειπεῖν ἐκέλευσε, σιγὴν κατακηρύξαντα, ὅτι προαγορεύουσιν οἱ ἄρχοντες, ὃς ἂν τὸν ἀφέντα τὸν ὄνον εἰς τὰ ὅπλα μηνύσῃ, ὅτι λήψεται
21 μισθὸν τάλαντον ἀργυρίου. Ἐπεὶ δὲ ταῦτα ἐκηρύχθη, ἔγνωσαν οἱ στρατιῶται, ὅτι κενὸς ὁ φόβος εἴη, καὶ οἱ ἄρχοντες σῶοι. Ἅμα δὲ ὄρθρῳ παρήγγειλε Κλέαρχος εἰς τάξιν τὰ ὅπλα τίθεσθαι τοὺς Ἕλληνας, ᾗπερ εἶχον, ὅτε ἦν ἡ μάχη.

κρώβυλον ἐγγυτάτω τιαροειδῆ. ubi Paris. et Eton. ἐγγύτατα dant; minus recte, ut affirmat Zeune, ablegans lectorem ad annotationes in Cyrop. iv. 1, 3. Ibi igitur ait, ἐγγύτατα apud Xenophontem genitivum habere adjunctum, ἐγγυτάτω contra absolute poni. Verum id est in loco Cyrop. iv. 1, 3. τὸν ἐμοῦ ἐγγύτατα ταξίαρχον· sed ibi Edd. vett. habent ἐγγυτάτω. item vi. 1, 43. et vi. 3, 28. Contra ἐν ταῖς ἐγγυτάτω νήσοις est Hellenic. v. 4, 66. αἱ ἐγγυτάτω ἡδοναὶ Memor. iv. 5, 10. Sed in hoc nostro loco genitivus τῶν πολεμίων non pendet ab ἐγγύτατα, sed pertinet ad οἱ μέν. Vana igitur est hominis observatio. Thucydidis auctoritatem non addo, in cujus libris similiter Codices inter ἐγγύτατα et ἐγγυτάτω variant scripturam.

σκηνωμάτων] Margo Villois. σκωμάτων habet.

19. μέντοι τῆς] Ita cum Steph. margo Villois. γὰρ τῆς Edd. vett. Guelf. Deinceps γενέσθαι pro γίγνεσθαι dat Paris.

20. ὅτι προαγορεύουσιν] Steph. addidit ὅτι, quod est etiam in margine Villois.

τὸν ὄνον] Leonclavius φόβον, Larcherus κλόνον substitui voluit, asino contra locum asseruit in strategemate Clearchi Toup. in Suidam ii. p. 289. ed. Lips. qui comparat similem narrationem Polyæni iii. 9, 4. de Iphicrate, qui per præconem edixit: ὃς ἂν μηνύσῃ τὸν ἀφέντα τὸν ὄνον εἰς τὰ ὅπλα. Idem comparavit Æneam Tacticum c. 27. et Artemidorum Onirocr. v. 12. qui locum Xenophontis respexerint. Ceterum ex Polyæni loco apparet, recte me vulgatum ἀφιέντα correxisse. μηνύσῃ pro καταμηνύσῃ dedit Paris. cum margine Villois.

21. Κλέαρχος] Margo Villois. ὁ Κλ. ibidem est ᾗπερ, quod Stephanus edidit pro vulgato antea ἥνπερ, quod est etiam in Eton. et Guelf.

CAP. III.

Ὁ ΔΕ δὴ ἔγραψα, ὅτι βασιλεὺς ἐξεπλάγη τῇ ἐφόδῳ
τῇδε, δῆλον ἦν· τῇ μὲν γὰρ πρόσθεν ἡμέρᾳ πέμπων τὰ
ὅπλα παραδιδόναι ἐκέλευε, τότε δὲ ἅμα ἡλίῳ ἀνατέλ-
λοντι κήρυκας ἔπεμψε περὶ σπονδῶν. Οἱ δ' ἐπεὶ ἦλθον 2
πρὸς τοὺς προφύλακας, ἐζήτουν τοὺς ἄρχοντας. Ἐπεὶ
δ' ἀπήγγειλαν οἱ προφύλακες, Κλέαρχος, τυχὼν τότε
τὰς τάξεις ἐπισκοπῶν, εἶπε τοῖς προφύλαξι, κελεύειν
τοὺς κήρυκας περιμένειν, ἄχρις ἂν σχολάσῃ. Ἐπεὶ δὲ 3
κατέστησε τὸ στράτευμα, ὥστε καλῶς ἔχειν ὁρᾶσθαι
πάντῃ φάλαγγα πυκνὴν, τῶν δὲ ἀόπλων μηδένα κατα-
φανῆ εἶναι, ἐκάλεσε τοὺς ἀγγέλους, καὶ αὐτός τε προῆλ-
θε, τούς τε εὐοπλοτάτους ἔχων καὶ εὐειδεστάτους τῶν
αὑτοῦ στρατιωτῶν, καὶ τοῖς ἄλλοις στρατηγοῖς ταὐτὰ
ἔφρασεν. Ἐπεὶ δὲ ἦν πρὸς τοῖς ἀγγέλοις, ἀνηρώτα, τί 4
βούλοιντο. Οἱ δ' ἔλεγον, ὅτι περὶ σπονδῶν ἥκοιεν ἄν-
δρες, οἵτινες ἱκανοὶ ἔσονται, τά τε παρὰ βασιλέως τοῖς
Ἕλλησιν ἀπαγγεῖλαι, καὶ τὰ παρὰ τῶν Ἑλλήνων βα-
σιλεῖ. Ὁ δὲ ἀπεκρίνατο· Ἀπαγγέλλετε τοίνυν αὐτῷ, 5
ὅτι μάχης δεῖ πρῶτον· ἄριστον γὰρ οὐκ ἔστιν, οὐδὲ ὁ
τολμήσων περὶ σπονδῶν λέγειν τοῖς Ἕλλησι, μὴ πορίσας
ἄριστον. Ταῦτα ἀκούσαντες οἱ ἄγγελοι ἀπήλαυνον, καὶ 6

2. ἐπεὶ δ' ἀπήγγειλαν] Margo Villois. ἐπειδὴ δ'. deinde ἀπήγγελλον Paris.

ἄχρις ἂν] Ita cum Stephano margo Villois. ἄχρι Edd. vett. Guelf.

3. τῶν δὲ ἀόπλων] Margo Villois. cum Paris. ἐκ τῶν ὅπλων δέ.

ἐκάλεσε] Eton. ἐκέλευσε dat, quod probans Weiske intelligit προελθεῖν e sequenti membro.

τῶν αὐτοῦ] Ita Edd. vett. Guelf. αὑτοῦ reliquæ habent. Sequens ταὐτὰ pro ταῦτα conjecit Zeune, probavit Weiske: *idem facere jussit.*

4. ἐπεὶ δὲ ἦν πρὸς — ἀνηρώτα] Ita margo Steph. Villois. Paris. Eton. Antea erat ἐπεὶ δὲ πρὸς τ. ἀγγέλοις ἦσαν, ἠρώτα. Ex Eton. præterea annotatum reperio in editione Hutchins. τί βούλοιντο πρῶτα.

5. ἀπαγγέλλετε τοίνυν αὐτῷ] Hæc Eton. omisit.

λέγειν τοῖς Ἕλλησι] Hunc ordinem verborum habet margo Villois. Vulgo erat τ. Ἑλ. λέγειν. Solertissimum Clearchi inventum dignum ingenio Spartano admirabitur lector.

ἧκον ταχύ· (ᾧ καὶ δῆλον ἦν, ὅτι ἐγγύς που ἦν βασιλεὺς
ἢ ἄλλος τις, ᾧ ἐπετέτακτο ταῦτα πράττειν) ἔλεγον δὲ,
ὅτι εἰκότα δοκοῖεν λέγειν βασιλεῖ, καὶ ἥκοιεν ἡγεμόνας
ἔχοντες, οἳ αὐτοὺς, ἐὰν αἱ σπονδαὶ γένωνται, ἄξουσιν, ἔν-
7 θεν ἕξουσι τὰ ἐπιτήδεια. Ὁ δ᾽ ἠρώτα, εἰ αὐτοῖς τοῖς
ἀνδράσι σπένδοιτο ἰοῦσι καὶ ἀπιοῦσιν, ἢ καὶ τοῖς ἄλλοις
ἔσοιντο σπονδαί. Οἱ δὲ, πᾶσιν, ἔφασαν, μέχρις ἂν
8 βασιλεῖ τὰ παρ᾽ ὑμῶν διαγγελθῇ. Ἐπεὶ δὲ ταῦτα
εἶπον, μεταστησάμενος αὐτοὺς ὁ Κλέαρχος, ἐβουλεύετο·
καὶ ἐδόκει τὰς σπονδὰς ποιεῖσθαι, καὶ ταχὺ καὶ καθ᾽
9 ἡσυχίαν ἐλθεῖν τε ἐπὶ τὰ ἐπιτήδεια καὶ λαβεῖν. Ὁ δὲ
Κλέαρχος εἶπε· Δοκεῖ μὲν καὶ ἐμοὶ ταῦτα· οὐ μέντοι
ταχύ γε ἀπαγγελῶ, ἀλλὰ διατρίψω, ἔστ᾽ ἂν ὀκνήσωσιν
οἱ ἄγγελοι, μὴ ἀποδόξῃ ἡμῖν τὰς σπονδὰς ποιήσασθαι·
οἶμαί γε μέντοι, ἔφη, καὶ τοῖς ἡμετέροις στρατιώταις τὸν
αὐτὸν φόβον παρέσεσθαι. Ἐπεὶ δὲ ἐδόκει καιρὸς εἶναι,
ἀπήγγελλεν, ὅτι σπένδοιτο, καὶ εὐθὺς ἡγεῖσθαι ἐκέλευε
πρὸς τὰ ἐπιτήδεια.

10 Καὶ οἱ μὲν ἡγοῦντο, Κλέαρχος μέντοι ἐπορεύετο, τὰς
μὲν σπονδὰς ποιησόμενος, τὸ δὲ στράτευμα ἔχων ἐν τά-
ξει· καὶ αὐτὸς δὲ ὠπισθοφυλάκει. Καὶ ἐνετύγχανον
τάφροις καὶ αὐλῶσι πλήρεσιν ὕδατος, ὡς μὴ δύνασθαι

6. ᾧ καὶ] Edd. vett. Guelf. ὃ καὶ. deinde ὁ βασιλεὺς ἦν Eton. habet.

ἐὰν αἱ σπονδαὶ] Articulum αἱ ex Eton. inserui. Sunt σπονδαὶ jam antea illæ oblatæ.

7. εἰ αὐτοῖς] *Solis* intellige. Sequens ἔσοιντο ex Paris. et Eton. recepit Zeune pro vulgato ἔσονται. Postea αἱ σπονδαὶ malim.

8. καὶ ταχὺ καὶ καθ᾽ ἡσυχίαν] Hunc ordinem verborum dedi ex Paris. Vulgo erat ἐδόκει ταχὺ τὰς σπονδὰς ποιεῖσθαι, καὶ καθ᾽ ἡσυχίαν.

9. καὶ ἐμοὶ ταῦτα] Pessime ταῦτὰ scripsit Zeune; ita enim debebat esse δοκεῖ ἐμοὶ ταὐτὰ, omissa copula καί.

ἀπήγγελλεν, ὅτι] Guelf. ἀπήγγελεν habet.

10. μὲν ἡγοῦντο, Κλέαρχος μέντοι] Vulgo post ἡγοῦντο semicolon ponunt, Weiske punctum adhibuit, neutrum bene; antecedenti enim μὲν respondet nunc μέντοι, ut sæpius alibi, pro δέ. Igitur post verba ἐν τάξει semicolon ponendum erat, et deinceps scribendum καὶ αὐτὸς δὲ ὠπισθοφυλάκει, recepto δὲ ex libro Eton.

καὶ αὐλῶσι] *Valles* vertit Hutchin-

διαβαίνειν ἄνευ γεφυρῶν· ἀλλ' ἐποιοῦντο διαβάσεις ἐκ τῶν φοινίκων, οἳ ἦσαν ἐκπεπτωκότες, τοὺς δὲ καὶ ἐξέκοπτον. Καὶ ἐνταῦθα ἦν Κλέαρχον καταμαθεῖν ὡς 11 ἐπεστάτει, ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὸ δόρυ ἔχων, ἐν δὲ τῇ δεξιᾷ βακτηρίαν· καὶ εἴ τις αὐτῷ δοκοίη τῶν πρὸς τοῦτο τεταγμένων βλακεύειν, ἐκλεγόμενος τὸν ἐπιτήδειον ἔπαιεν ἄν, καὶ ἅμα αὐτὸς προσελάμβανεν, εἰς τὸν πηλὸν ἐμβαίνων· ὥστε πᾶσιν αἰσχύνην εἶναι, μὴ οὐ συσπουδάζειν.

son, *alveos*, *canales* Zeune. Cum montium colliumve mentio non antecesserit, vallium notio ab hoc loco aliena est. Contra canales a Tigride ad Euphraten ductos διώρυχας vocare solet Xenophon, ex iisque derivatas τάφρους μεγάλας καὶ ἐλάττους, denique ὀχετοὺς memorat infra ii. 4, 13. Quare αὐλῶνες h. l. ὀχετοὶ videntur dici. Plinius vi. c. 26. de Euphrate: *cujus nimirum aquæ in alveos fossasque immissæ circumjectos rigare campos tepefactos solis æstivi vapore solebant.* Arriani Anabasis vii. 7, 6. seqq. simpliciter canales, alveos et fossas communi vocabulo διώρυχας significat.

τοὺς δὲ καὶ] i. e. ἄλλους δέ. Comparat Zeune Cyrop. iv. 5, 46.

11. ἐπεστάτει] Suidas interpretatur h. l. ἦρχεν, ἡγεμόνευεν. Ante δόρυ omittit idem articulum.

τεταγμένων] Juntina addidit αὐτῷ, quod manus recentior in Guelf. etiam inseruit.

βλακεύειν] Arrianus Anab. iii. 6, 12. ἀντὶ δὲ Ἀρίμμα σατράπην Συρίας Ἀσκληπιόδωρον τὸν Εὐνίκου ἀπέδειξεν, ὅτι Ἀρίμμας βασιλεῦσαι ἐδόκει αὐτῷ ἐν τῇ παρασκευῇ. ubi levi mutatione scribe βλακεῦσαι, cujus interpretationem verbum ἀμελῆσαι temere nuper reposuit Editor Halensis.

ἔπαιεν, ἄν] Juntina cum Codice Bodl. ἔπεσεν, Aldina, Castal. Steph. Guelf. libri Regii a Larchero inspecti et margo Villois. dant ἔπαισεν. Cum Mureto Stephanus corrigebat τὸ ἐπιτήδειον ἔπαιε, referens τὸ ἐπιτ. ad alterutram rem, quam manu gestabat Clearchus. Leuncl. conjiciebat: ἔπαυεν αὐτόν. Hinc Welsius et Hutchinson ἔπαυσεν ἂν ediderunt temere. Abresch. Auctar. Dilucid. Thucyd. p. 241. ἐπιτήδειον interpretatur *hominem Clearcho præcipue carum*, et consilium Clearchi fuisse censet ostendere, quid exspectandum sit aliis, nisi strenue labori incumberent. Larcherus reperit in Regio A. τὸν ἐπιτήδειον τὸν, hinc conjecit τόπον ἐπιτήδειον, ἔπαισεν αὐτὸν, atque ἐκλεγόμενος refert ad ipsum hominem ignavum, non ad Clearchum, vertens: *se conduire avec nonchalance et choisir un lieu commode, pour mettre le pied, il le frappoit de son bâton, et le prenant par la main, il le forçoit d'entrer avec lui dans la boue.* Zeune ex Suida in ἐπιτήδειος recepit ἔπαιεν ἄν, sed ἂν seclusit, quod nullo modo ferri posse censebat. Contra particulam ἂν recte defendit Weiske referens lectorem ad Cyrop. viii. 1, 17. igitur vertit, *er schlug ihn wohl, schlug ihn nach Befinden.* Defendit vulgatum ἔπαιεν ἂν etiam Porson, *verberare solebat* vertens. Sed inprimis pertinet ad interpretationem loci ab Interpretibus vexati, quod monuit Buttmannus, familiarem selegisse Clearchum, quem verberaret, quoniam hominem liberum verberare non licebat, nisi per familiaritatem quandam hoc fieri videretur. Verumtamen in hac ipsa Anabasi exempla plura occurrunt hominum, quos Clearchus, severus disciplinæ militaris exactor, verberibus coercet aut castigat. ἐπιτήδειος igitur aliam significationem ingenii segnioris continere videtur. Ceterum male Juntina τὸ πηλὸν dedit. Compositum συσπουδάζειν pro simplice recepit Zeune ex libro Guelf. et Parisiensi.

12 Καὶ ἐτάχθησαν μὲν πρὸς αὐτοῦ οἱ τριάκοντα ἔτη γεγονό-
τες· ἐπεὶ δὲ καὶ Κλέαρχον ἑώρων σπουδάζοντα, προσελάμ-
13 βανον καὶ οἱ πρεσβύτεροι. Πολὺ δὲ μᾶλλον ὁ Κλέαρχος
ἔσπευδεν, ὑποπτεύων μὴ αἰεὶ οὕτω πλήρεις εἶναι τὰς τά-
φρους ὕδατος· (οὐ γὰρ ἦν ὥρα οἵα τὸ πεδίον ἄρδειν) ἀλλ',
ἵνα ἤδη πολλὰ προφαίνοιτο τοῖς Ἕλλησιν δεινὰ εἰς τὴν
πορείαν, τούτο ἕνεκα βασιλέα ὑπώπτευεν ἐπὶ τὸ πεδίον
τὸ ὕδωρ ἀφεικέναι.

14 Πορευόμενοι δὲ ἀφίκοντο εἰς κώμας, ὅθεν ἀπέδειξαν
οἱ ἡγεμόνες λαμβάνειν τὰ ἐπιτήδεια. Ἐνῆν δὲ σῖτος
πολὺς, καὶ οἶνος φοινίκων, καὶ ὄξος ἑψητὸν ἀπὸ τῶν
15 αὐτῶν. Αὐταὶ δὲ αἱ βάλανοι τῶν φοινίκων, οἵας μὲν ἐν
τοῖς Ἕλλησιν ἔστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο· αἱ δὲ
τοῖς δεσπόταις ἀποκείμεναι, ἦσαν ἀπόλεκτοι, θαυμάσιοι
τὸ κάλλος καὶ τὸ μέγεθος· ἡ δὲ ὄψις ἠλέκτρου οὐδὲν

12. *πρὸς αὐτὸν*] Quid sit, nescire se fatetur Buttmann, qui conjiciebat *πρότερον* scribendum. Forte *πρὸς αὐτοῦ* vel *ὑπ' αὐτοῦ* fuit olim scriptum. Correxi *πρὸς αὐτοῦ*. Vulgatum *πρὸς αὐτὸν* *apud ipsum* vertunt, sed ea significatio et sententia ab hoc loco plane aliena est. Ceterum Eton. antecedens *μὲν* et sequens *καὶ* omittit.

13. *ὥρα*] Æstas igitur transiisse videtur, qua rigari campi solebant ex fossis et alveis.

ἵνα ἤδη—δεινὰ εἰς] Ita cum Paris. Eton. et margine Villois. scripsi. Vulgabatur autem *ἵνα πολλὰ τὰ ἄπορα φαίνοιτο τοῖς Ἑλ. εἶναι εἰς*. In margine tamen Villois. annotatur *ἤδη* et *προ* a priore manu deleta esse. Sequens *ἀφεικέναι* Edd. vett. mutarunt in *ἀφηκέναι*, Paris. in *ἀφικέναι*, margo Villois. in *ἀφιέναι*.

14. *ὄξος ἑψητὸν ἀπὸ τῶν αὐτῶν*] Margo Villois. *ἐκ τῶν αὐτῶν* habet. Athenæi, qui h. l. excerpsit libro xiv. p. 651. Editio Aldina *ὄψον καὶ ἑψητὸν* habet, quam scripturam præferebat Muretus. Vulgatam comprobat locus Suidæ ex h. l. depromtus, ubi est *Ὄξος ἑψητὸν τὸ ἀπὸ φοινίκων*, recte monente Brodæo Miscellan. xxvi. 24. *Ὄξος* Morus interpretatur *acidulum potum e dactylis coctis paratum*, *οἶνον* contra *dulciorem potum, e dactylis expressis paratum*.

15. *Αὐταὶ δὲ*] Vulgatum *αὗται* correxit cum Larchero Zeune præeunte Amasæi versione; idem in Athenæo fecit Schweighäuser.

οἵας μὲν] Hutchinson primus in locum vulgati antea *μὴ* hortante Stephano *μὲν* restituit ex libro Brodæi, Paris. Eton. et Suida, qui h. l. bis laudavit, sub voc. *βάλανος* et *ἀπέκειντο*. Contra Athenæus *οἵας μὲν ἐν τοῖς Ἕλλησιν οὐκ ἔστιν ἰδεῖν* habet; ut adeo negationem is item in Codicibus Xenophontis scriptam reperisse videatur. Frustra expectavi Codicum Athenæi auctoritatem, qui tacent; et vulgatam an bene explicarit Schweighäuser, dubito.

ἀπόλεκτοι] Suidas sub h. v. *εἰς τοὺς δεσπότας* posuit. Deinceps *θαυμάσιοι* ex Athenæo, vulgato *θαυμάσιαι* substituit Hutchinson. Postea Paris. et Eton. dant *τοῦ κάλλους καὶ μεγέθους*. Margo Villois. *τοῦ κάλλους καὶ τοῦ μεγέθους*.

ἠλέκτρου] Quidam electrum vulgare vel succinum, alii metalli genus eo-

διέφερε· τὰς δέ τινες ξηραίνοντες τραγήματα ἀπετίθε-
σαν. Καὶ ἦν καὶ παρὰ πότον ἡδὺ μὲν, κεφαλαλγὲς δέ.
Ἐνταῦθα καὶ τὸν ἐγκέφαλον τοῦ φοίνικος πρῶτον ἔφα- 16
γον οἱ στρατιῶται, καὶ οἱ πολλοὶ ἐθαύμαζον τό τε εἶδος,
καὶ τὴν ἰδιότητα τῆς ἡδονῆς. Ἦν δὲ σφόδρα καὶ τοῦτο
κεφαλαλγές. Ὁ δὲ φοίνιξ, ὅθεν ἐξαιρεθείη ὁ ἐγκέ-
φαλος, ὅλος ἐξηυαίνετο.

Ἐνταῦθα [δὲ] ἔμειναν ἡμέρας τρεῖς· καὶ παρὰ με- 17
γάλου βασιλέως ἧκε Τισσαφέρνης, καὶ ὁ τῆς βασιλέως
γυναικὸς ἀδελφὸς, καὶ ἄλλοι Πέρσαι τρεῖς· δοῦλοι δὲ
πολλοὶ εἵποντο. Ἐπεὶ δὲ ἀπήντησαν αὐτοῖς οἱ τῶν Ἑλ-
λήνων στρατηγοὶ, ἔλεγε πρῶτον Τισσαφέρνης δι᾽ ἑρμηνέως
τοιάδε·

Ἐγὼ, ὦ ἄνδρες Ἕλληνες, γείτων οἰκῶ τῇ Ἑλλάδι· 18

dem nomine vocatum intelligunt. Illud præfert, ut in vulgus notius, Weiske. Ceterum *καρυωτοὺς βαλάνους* intelligi monuerunt viri docti, inprimis Salmasius Exercit. Plin. p. 928. b. ejusque simia Bodæus a Stapel ad Theophrasti H. Pl. p. 107. Diodorus ii. 53. *τῆς Συρίας κατὰ μὲν τὴν κοίλην οἱ καρυωτοὶ καλούμενοι γεννῶνται διάφοροι κατά τε τὴν γλυκύτητα καὶ τὸ μέγεθος, ἔτι δὲ τοὺς χυμούς. Τούτων δὲ πολλῷ μείζους κατὰ τὴν Ἀραβίαν καὶ τὴν Βαβυλωνίαν ὁρᾷν ἐστι γινομένους, κατὰ μὲν τὸ μέγεθος ἓξ δακτύλων ὄντας, τῇ δὲ χρόᾳ τοὺς μὲν μηλίνους, τοὺς δὲ φοινικοῦς, ἐνίους δὲ πορφυρίζοντας· ὥσθ᾽ ὑπ᾽ αὐτῶν ἅμα καὶ τὴν ὄψιν τέρπεσθαι καὶ τὴν γεῦσιν ψυχαγωγεῖσθαι.* Ex Apollonii vita i. 21. *φοίνικος βαλάνους ἠλεκτρώδεις τε καὶ μεγάλους* comparavit Schweighäuser.

τὰς δέ τινας] Hanc scripturam ex margine Steph. Paris. Eton. mutavit in *τινας* Hutchinson, quem sequitur Weiske. *τινὲς* vertit Amasæus, habet Athenæus Casauboni et defendit Zeune: ita *τὰς δὲ* dictum sit pro *ταύτας δέ*. Altera forma *τάς τινας* a Xenophonte non frequentatur. Athenæi Editio Veneta cum Codice A. posteriorem scripturam habent, quam defendit Schweighäuser.

τραγήματα ἀπετίθεσαν] Intellige *ὡς τρ.* Muretus *ἐς τρ.* scribi voluit. Athenæus *παρετίθεντο* habet; idem sequens *καὶ* post *ἦν* omittit. Deinde ante Stephanum erat *ποτὸν*, quam formam ille recte mutavit ex Athenæo.

ἡδὺ μὲν] Intellige *χρῆμα* vel *τράγημα* ex antecedentibus. Rem eandem tradit Dioscorides i. 148. et Plutarchus ad h. l. respiciens tom. ii. p. 133. ed. Francofurt. Plinius xxxiii. 4. s. 51. et 26.

16. *ἐγκέφαλον*] *Medullam in cacumine palmarum* interpretatur Plinius xiii. sect. 9. De ea vide Theophrasti H. P. ii. 8. cum annotatione Bodæi.

ἐθαύμαζον] Paris. *ἐθαύμασαν*. Sequens *ἰδιότητα* in *ἡδυτῆτα* mutabat Brodæus.

ὅλος ἐξηυαίνετο] Athenæus *ὅλως ἐξαυαίνετο* habet. Vulgo h. l. legitur *ἐξηραίνετο*. Scripturam marginis Steph. Villois. Paris. Eton. *αὐαίνετο* recepit primus Hutchinson, nostrum probavit etiam Porson, quippe facillime a librario mutandum in *ἐξηραίνετο*.

17. *Ἐνταῦθα [δὲ] ἔμειναν*] Seclusi *δὲ* in libro Eton. omissum.

καὶ ἐπεὶ ὑμᾶς εἶδον εἰς πολλὰ [κακὰ] κἀμήχανα ἐμ-
πεπτωκότας, εὕρημα ἐποιησάμην, εἴ πως δυναίμην παρὰ
βασιλέως αἰτήσασθαι, δοῦναί μοι, ἀποσῶσαι ὑμᾶς εἰς
τὴν Ἑλλάδα. Οἶμαι γὰρ, οὐκ ἂν ἀχαρίστως μοι
ἔχειν, οὔτε πρὸς ὑμῶν οὔτε πρὸς τῆς Ἑλλάδος ἁπάσης.
19 Ταῦτα δὲ γνοὺς, ᾐτούμην βασιλέα, λέγων αὐτῷ, ὅτι
δικαίως ἄν μοι χαρίζοιτο, ὅτι αὐτῷ Κῦρόν τε ἐπιστρα-
τεύοντα πρῶτος ἤγγειλα, καὶ βοήθειαν ἔχων ἅμα τῇ
ἀγγελίᾳ ἀφικόμην· καὶ μόνος τῶν κατὰ τοὺς Ἕλληνας
τεταγμένων οὐκ ἔφυγον, ἀλλὰ διήλασα, καὶ συνέμιξα
βασιλεῖ ἐν τῷ ὑμετέρῳ στρατοπέδῳ, ἔνθα βασιλεὺς
ἀφίκετο, ἐπεὶ Κῦρον ἀπέκτεινε. Καὶ τοὺς σὺν Κύρῳ
βαρβάρους ἐδίωξα σὺν τοῖσδε τοῖς παροῦσι νῦν μετ' ἐμοῦ,
20 οἵπερ αὐτῷ εἰσι πιστότατοι. Καὶ περὶ μὲν τούτων ὑπέ-
σχετό μοι βουλεύσασθαι· ἔρεσθαι δέ με ὑμᾶς ἐκέλευ-
σεν ἐλθόντα, τίνος ἕνεκα ἐστρατεύσατε ἐπ' αὐτόν. Καὶ
συμβουλεύω ὑμῖν, μετρίως ἀποκρίνασθαι, ἵνα μοι εὐ-

18. εἰς πολλὰ [κακὰ] κἀμήχανα] Ex Suida sub voc. εὕρημα vulgatum καὶ ἀμήχανα mutavit Zeune, unde etiam sequens ἐμπεπτωκότας restituit in locum vulgati πεπτωκότας, suadente etiam Oudendorpio ad Thomam Mag. p. 394. Equidem eodem auctore seclusi κακὰ, ab aliena manu additum vocabulum; mecum sentit Porson.

εὕρημα ἐποιησάμην] *In lucro posui vel deputavi*, ut recte interpretatur Zeune. Infra vii. 3, 13. est εὕρημα ἐδόκει εἶναι. Dictionem hanc Xenophontis imitatur Philostratus Apollonii v. 1, 13. Heroic. p. 751. Cf. ad Thomam M. p. 394.

εἴ πως] Eton. εἴπερ habet. Sequens ὑμᾶς, vulgo in extremo colo positum, cum Suida post ἀποσῶσαι reposui, quo melius numeri procederent orationis. In margine Villois. est ἀποσώσασθαι ὑμᾶς εἰς τὴν Ἑλλάδα.

Οἶμαι] Guelf. οἴομαι. Deinceps ante Zeunium erat οὐκ ἀχαρίστως μοι ἕξειν. Sed ἂν addunt Guelf. Eton. et Suidas in v. ἀχαρίστως, ubi totus locus ita scriptus legitur in Editione Kusteri: οἶμαι γὰρ, ὅτι οὐκ ἂν ἀχαρίστως μὴ ἔχειν οὔτε πρὸς ὑμῶν οὔτε πρὸς τῆς ἄλλης πάσης Ἑλλάδος. Kusterus, cum fontem ignoraret, quædam temere in eo loco tentavit. Vitia ex Codice Leidensi sustulit Suidæ Jac. Gronovius post Decreta Judæorum p. 87. Ex Suida ἂν et ἔχειν recte recepit Zeune. Male Junt. cum Guelf. πρὸ ὑμῶν — πρὸ τῆς habent. Margo Villois. ἁπάσης Ἑλ. annotavit.

19. ὅτι δικαίως ἄν μοι] Junt. Guelf. ὅτι ἄν μοι δικαίως. Deinceps πρῶτον Eton.

διήλασα] Redi ad i. 10, 7.

20. βουλεύσασθαι] Cum Stephano βουλεύσεσθαι præferebat Hutchinson; sed locum similem supra i. 2, 2. ὑποσχόμενος αὐτοῖς—μὴ πρόσθεν παύσασθαι opposuit Zeune.

δέ με] Edd. vett. cum Guelf. με omittunt. Deinceps τίνος ἕνεκεν Paris.

πρακτότερον ᾖ, ἐάν τι δύνωμαι ἀγαθὸν ὑμῖν παρ' αὐτοῦ
διαπράξασθαι.

Πρὸς ταῦτα μεταστάντες οἱ Ἕλληνες ἐβουλεύοντο, 21
καὶ ἀπεκρίναντο· (Κλέαρχος δ' ἔλεγεν) Ἡμεῖς οὔτε
συνήλθομεν, ὡς βασιλεῖ πολεμήσοντες, οὔτ' ἐπορευόμεθα
ἐπὶ βασιλέα· ἀλλὰ πολλὰς προφάσεις Κῦρος εὕρισκεν,
(ὡς καὶ σὺ εὖ οἶσθα) ἵνα ὑμᾶς τε ἀπαρασκευάστους
λάβοι, καὶ ἡμᾶς ἐνθάδε ἀναγάγοι. Ἐπεὶ μέντοι ἤδη 22
ἑωρῶμεν αὐτὸν ἐν δεινῷ ὄντα, ᾐσχύνθημεν καὶ θεοὺς καὶ
ἀνθρώπους προδοῦναι αὐτὸν, ἐν τῷ πρόσθεν χρόνῳ παρέ-
χοντες ἡμᾶς αὐτοὺς εὖ ποιεῖν. Ἐπεὶ δὲ Κῦρος τέθνηκεν, 23
οὔτε ἀντιποιούμεθα βασιλεῖ τῆς ἀρχῆς, οὔτ' ἔστιν, ὅτου
ἕνεκ' ἂν βουλοίμεθα τὴν βασιλέως χώραν κακῶς ποιεῖν·
οὐδ' αὐτὸν ἀποκτεῖναι ἂν ἐθέλοιμεν, πορευοίμεθα δ' ἂν
οἴκαδε, εἴ τις ἡμᾶς μὴ λυποίη· ἀδικοῦντα μέντοι πειρα-
σόμεθα σὺν τοῖς θεοῖς ἀμύνασθαι· ἐὰν μέντοι τις ἡμᾶς
καὶ εὖ ποιῶν ὑπάρχῃ, καὶ τούτου εἴς γε δύναμιν οὐχ ἡτ-
τησόμεθα εὖ ποιοῦντες. Ὁ μὲν οὕτως εἶπεν.

Ἀκούσας δὲ ὁ Τισσαφέρνης, ἔφη· Ταῦτα ἐγὼ ἀπαγ- 24
γελῶ βασιλεῖ, καὶ ὑμῖν πάλιν τὰ παρ' ἐκείνου· μέχρι
δ' ἂν ἐγὼ ἥκω, αἱ σπονδαὶ μενόντων· ἀγορὰν δὲ ἡμεῖς
παρέξομεν. Καὶ εἰς μὲν τὴν ὑστεραίαν οὐχ ἧκεν· ὥσθ' 25
οἱ Ἕλληνες ἐφρόντιζον· τῇ δὲ τρίτῃ ἥκων ἔλεγεν, ὅτι δια-
πεπραγμένος ἥκοι παρὰ βασιλέως, δοθῆναι αὐτῷ σώ-
ζειν τοὺς Ἕλληνας· καίπερ πάνυ πολλῶν ἀντιλεγόντων,
ὡς οὐκ ἄξιον εἴη βασιλεῖ, ἀφεῖναι τοὺς ἐφ' ἑαυτὸν στρα-
τευσαμένους. Τέλος δ' εἶπε· Καὶ νῦν ἔξεστιν ὑμῖν 26

22. ἑωρῶμεν αὐτὸν] Guelf. αὐτὸν ἑωρῶμεν, minus numerose.

ἡμᾶς αὐτοὺς] Zeunio αὐτῷ corrigenti assentitur Weiske.

23. ἀντιποιούμεθα] Suidas in h. v. ex h. l. laudat ἀντιποιούμενοι τῆς ἀρχῆς τῷ βασιλεῖ. Sequens ὅτου pro οὗ ex Eton. adscivi.

πορευοίμεθα] Paris. Eton. πορευόμεθα habent, deinde λυπείη ἀδικοῦντας.

25. στρατευσαμένους] Ita cum Stephano margo Villois. et manus se-

πιστὰ λαβεῖν παρ' ἡμῶν, ἦ μὴν φιλίαν ὑμῖν παρέξειν
τὴν χώραν, καὶ ἀδόλως ἀπάξειν εἰς τὴν Ἑλλάδα, ἀγο-
ρὰν παρέχοντας. Ὅπου δ' ἂν μὴ παρέχωμεν ἀγορὰν,
λαμβάνειν ὑμᾶς ἐκ τῆς χώρας ἐάσομεν τὰ ἐπιτήδεια.
27 Ὑμᾶς δ' αὖ ἡμῖν δεήσει ὀμόσαι, ἦ μὴν πορεύσεσθαι ὡς
διὰ φιλίας ἀσινῶς, σῖτα καὶ ποτὰ λαμβάνοντας, ὁπό-
ταν μὴ παρέχωμεν ἀγοράν· ἐὰν δὲ παρέχωμεν ἀγορὰν,
28 ὠνουμένους ἕξειν τὰ ἐπιτήδεια. Ταῦτα ἔδοξε· καὶ ὤμο-
σαν, καὶ δεξιὰς ἔδοσαν Τισσαφέρνης, καὶ ὁ τῆς βασι-
λέως γυναικὸς ἀδελφὸς, τοῖς τῶν Ἑλλήνων στρατηγοῖς
29 καὶ λοχαγοῖς, καὶ ἔλαβον παρὰ τῶν Ἑλλήνων. Μετὰ
δὲ ταῦτα Τισσαφέρνης εἶπε· Νῦν μὲν δὴ ἄπειμι ὡς βα-
σιλέα· ἐπειδὰν δὲ διαπράξωμαι, ἃ δέομαι, ἥξω συσκευ-
ασάμενος, ὡς ἀπάξων ὑμᾶς εἰς τὴν Ἑλλάδα, καὶ αὐτὸς
ἀπιὼν ἐπὶ τὴν ἐμαυτοῦ ἀρχήν.

CAP. IV.

ΜΕΤΑ ταῦτα περιέμενον Τισσαφέρνην οἵ τε Ἕλληνες
καὶ Ἀριαῖος, ἐγγὺς ἀλλήλων ἐστρατοπεδευμένοι, ἡμέρας
πλείους, ἢ εἴκοσιν. Ἐν δὲ ταύταις ἀφικνοῦνται πρὸς
Ἀριαῖον καὶ οἱ ἀδελφοὶ καὶ οἱ ἄλλοι ἀναγκαῖοι, καὶ
πρὸς τοὺς σὺν ἐκείνῳ Περσῶν τινες, παραθαῤῥύνοντές τε
καὶ δεξιὰς ἔνιοι παρὰ βασιλέως φέροντες, μὴ μνησικα-
κήσειν βασιλέα αὐτοῖς τῆς σὺν Κύρῳ ἐπιστρατείας, μηδὲ
2 ἄλλου μηδενὸς τῶν παροιχομένων. Τούτων δὲ γιγνομέ-

cunda in Guelf. στρατευομένους Edd. vett. habent.

26. παρέχωμεν ἀγορὰν] Eton. liber habet: παρέξει ἡμῶν τὴν χώραν ὑμῖν ἢ πρίασθαι καὶ λαμβάνειν. ubi scribendum erat παρέξειν ἡμῶν—ὑμῖν, ἢ πρίασθαι καὶ λαμβάνειν, ut verba antecedentia, ὅπου δ' ἂν μὴ, abrupta sint, ita fere supplenda, ut est in vulgata scriptura, παρέχωμεν ἀγοράν.

27. πορεύσεσθαι] Futurum vulgato πορεύεσθαι substituendum esse dudum monuerat Stephanus, cui nemo paruit.

29. ἀπάξων] Paris. ἐπάξων habet.

1. πρὸς τοὺς σὺν] Paris. πρὸς τῶν σύν. Idem deinceps cum margine Steph. et Eton. παρεθάρσυνόν τε καὶ—ἔφερον.

παροιχομένων] Eton. παρῳχημένων habet. Ceterum ad h. l. respexisse

νων, ἔνδηλοι ἦσαν οἱ περὶ τὸν Ἀριαῖον ἧττον τοῖς Ἕλλησι
προσέχοντες τὸν νοῦν· ὥστε καὶ τοῦτο τοῖς μὲν πολλοῖς
τῶν Ἑλλήνων οὐκ ἤρεσκεν, ἀλλὰ προσιόντες τῷ Κλεάρ-
χῳ ἔλεγον καὶ τοῖς ἄλλοις στρατηγοῖς· Τί μένομεν; ἢ 3
οὐκ ἐπιστάμεθα, ὅτι βασιλεὺς ἡμᾶς ἀπολέσαι περὶ
παντὸς ἂν ποιήσαιτο, ἵνα καὶ τοῖς ἄλλοις Ἕλλησι φό-
βος ᾖ ἐπὶ βασιλέα στρατεύειν; Καὶ νῦν μὲν ἡμᾶς ὑπά-
γεται μένειν, διὰ τὸ διεσπάρθαι αὐτῷ τὸ στράτευμα·
ἐπειδὰν δὲ πάλιν ἁλισθῇ αὐτῷ ἡ στρατιὰ, οὐκ ἔστιν
ὅπως οὐκ ἐπιθήσεται ἡμῖν. Ἴσως δέ που ἢ ἀποσκάπτει 4
τι ἢ ἀποτειχίζει, ὡς ἄπορος ᾖ ἡ ὁδός. Οὐ γάρ ποτε
ἑκών γε βουλήσεται, ἡμᾶς, ἐλθόντας εἰς τὴν Ἑλλάδα
ἀπαγγεῖλαι, ὡς ἡμεῖς, τοσοίδε ὄντες, ἐνικῶμεν τὴν βα-
σιλέως δύναμιν ἐπὶ ταῖς θύραις αὐτοῦ, καὶ καταγελά-
σαντες ἀπήλθομεν.

Κλέαρχος δὲ ἀπεκρίνατο τοῖς ταῦτα λέγουσιν· Ἐγὼ 5
ἐνθυμοῦμαι μὲν καὶ ταῦτα πάντα· ἐννοῶ δὲ, ὅτι, εἰ νῦν
ἄπιμεν, δόξομεν ἐπὶ πολέμῳ ἀπιέναι, καὶ παρὰ τὰς
σπονδὰς ποιεῖν. Ἔπειτα, πρῶτον μὲν ἀγορὰν οὐδεὶς
ἡμῖν παρέξει, οὐδ' ὁπόθεν ἐπισιτιούμεθα· αὖθις δὲ ὁ
ἡγησόμενος οὐδεὶς ἔσται· καὶ ἅμα ταῦτα ποιούντων ἡμῶν
εὐθὺς Ἀριαῖος ἀφεστήξει· ὥστε φίλος ἡμῖν οὐδεὶς λελεί-

puto Dionem Orationis 74. p. 399. ed. Reiskii: Τισσαφέρνης δὲ οὐκ ὤμοσε μὲν τοῖς περὶ Κλέαρχον; τί δαὶ ὁ βασιλεύς; οὐχὶ καὶ τοὺς βασιλείους θεοὺς καὶ τὴν δεξιὰν ἀπέστειλε; sed miror ibi βασιλείους θεοὺς, nec alibi deos missos a rege fidem dante alicui commemorari memini.

2. καὶ τοῦτο—ἤρεσκεν] Liber Brodæi, margo Steph. Paris. Eton. καὶ διὰ τοῦτο—ἤρεσκον habent, sed sequentia huic scripturæ non favent.

3. ἐπὶ βασιλέα] Paris. Eton. ἐπὶ βασιλέα μέγαν. deinceps στρατεύεσθαι habet Eton. quod posterius præfero.

ὑπάγεται] Junt. Guelf. ἀπάγεται. Sed a secunda manu Guelf. habet verum, quod est in Aldina, Steph. margine Villois. Statim simplex ἐσπάρθαι est in Junt. Guelf.

4. ἀποσκάπτει] Aldina et margo Steph. κατασκάπτει. Deinceps ἄπορος εἴη Paris. Eton.

τὴν βασιλέως δύναμιν] Margo Steph. Paris. Eton. τὸν βασιλέα.

5. ἐπὶ πολέμῳ] Liber Brodæi et Paris. ἐν πολέμῳ. Antea καὶ δόξομεν Eton.

ὁπόθεν] Paris. Eton. ὅθεν. Castalio οὔθ' ὁπόθεν edidit. Ceterum ex sequenti membro intellige ἔσται.

ἀφεστήξει] Guelf. ἐφηστήξει, sed

ψεται, ἀλλὰ καὶ οἱ πρόσθεν ὄντες, πολέμιοι ἡμῖν ἔσον-
6 ται. Ποταμὸς δὲ εἰ μέν τις καὶ ἄλλος ἄρα ἡμῖν ἐστι
διαβατέος, οὐκ οἶδα· τὸν δ' οὖν Εὐφράτην ἴσμεν ὅτι
ἀδύνατον διαβῆναι, κωλυόντων πολεμίων. Οὐ μὲν δὴ,
ἂν μάχεσθαι δέῃ, ἱππεῖς εἰσὶν ἡμῖν σύμμαχοι· τῶν δὲ
πολεμίων ἱππεῖς εἰσιν οἱ πλεῖστοι καὶ πλείστου ἄξιοι·
ὥστε νικῶντες μὲν, τινὰ ἂν ἀποκτείναιμεν; ἡττωμένων δὲ
7 μὴν οὐδένα οἷόν τε σωθῆναι. Ἐγὼ μὲν οὖν βασιλέα, ᾧ
πολλὰ οὕτως ἐστὶ τὰ σύμμαχα, εἴπερ προθυμεῖται
ἡμᾶς ἀπολέσαι, οὐκ οἶδα, ὅ τι δεῖ αὐτὸν ὀμόσαι, καὶ
δεξιὰν δοῦναι, καὶ θεοὺς ἐπιορκῆσαι, καὶ τὰ ἑαυτοῦ πι-
στὰ ἄπιστα ποιῆσαι Ἕλλησι καὶ βαρβάροις. Τοιαῦτα
ἔλεγε πολλά.

8 Ἐν δὲ τούτῳ Τισσαφέρνης ἧκεν, ἔχων τὴν ἑαυτοῦ δύνα-
μιν, ὡς εἰς οἶκον ἀπιῶν, καὶ Ὀρόντας τὴν ἑαυτοῦ δύνα-
μιν· ἦγε δὲ καὶ τὴν θυγατέρα τοῦ βασιλέως ἐπὶ γάμῳ.
9 Ἐντεῦθεν δὲ ἤδη Τισσαφέρνους ἡγουμένου καὶ ἀγορὰν
παρέχοντος, ἐπορεύοντο· ἐπορεύετο δὲ καὶ Ἀριαῖος, ἔχων
τὸ Κύρου βαρβαρικὸν στράτευμα, ἅμα Τισσαφέρνει καὶ
10 Ὀρόντᾳ, καὶ συνεστρατοπεδεύετο σὺν ἐκείνοις. Οἱ δὲ
Ἕλληνες, ὑφορῶντες τούτους, αὐτοὶ ἐφ' ἑαυτῶν ἐχώρουν,
ἡγεμόνας ἔχοντες. Ἐστρατοπεδεύοντο δὲ ἑκάστοτε ἀπέ-
χοντες ἀλλήλων παρασάγγην, καὶ μεῖον· ἐφυλάττοντο
δὲ οἱ ἀμφότεροι ὥσπερ πολεμίους ἀλλήλους, καὶ εὐθὺς

correctum habet, Castalio ἀφεστήσει, Brodæi liber, Paris. Eton. ἀποσταίη.

ἀλλὰ καὶ οἱ] Hoc ordine Paris. Vulgo ἀλλ' οἱ καί.

6. τὸν δ' οὖν] Margo Steph. Paris. τὸν δ' αὖ, deinde οἴδαμεν Paris. Eton.

οὐ μὲν δὴ] Edd. vett. οὐ μὲν δή.

7. τοιαῦτα ἔλεγε] Guelf. τοιαῦτα πολλὰ ἔλεγε habet.

8. ἀπιῶν] Vulgatum ἀπιὼν correxi. Sequens ἦγε δὲ pertinet ad Orontam.

τοῦ βασιλέως] Junt. Guelf. Paris. τὴν βασιλέως, ut infra iii. 4, 13. De Oronta hoc plura Diodorus xv. 8.—11. Regis filiam Plutarchus Artax. 27. Ῥοδογούνην nominat.

9. δὲ ἤδη] Ex Paris. et Eton. ἤδη inserui. Sequens συνεστρατοπεδεύετο est a secunda manu in Guelf. Steph. margine Villois. συνεστρατεύετο in Edd. vett.

10. ἀπέχοντες ἀλλήλων] Edd. vett. Guelf. interserunt ἀπ'.

τοῦτο ὑποψίαν παρεῖχεν. Ἐνίοτε δὲ καὶ ξυλιζόμενοι ἐκ 11
τοῦ αὐτοῦ, καὶ χόρτον καὶ ἄλλα τοιαῦτα συλλέγοντες, πληγὰς ἐνέτεινον ἀλλήλοις· ὥστε καὶ τοῦτο ἔχθραν παρεῖχε.

Διελθόντες δὲ τρεῖς σταθμοὺς, ἀφίκοντο πρὸς τὸ Μη- 12
δίας καλούμενον τεῖχος, καὶ παρῆλθον αὐτοῦ εἴσω. ἦν δὲ ᾠκοδομημένον πλίνθοις ὀπταῖς, ἐν ἀσφάλτῳ κειμέναις, εὖρος εἴκοσι ποδῶν, ὕψος δὲ ἑκατόν· μῆκος δὲ ἐλέγετο εἶναι εἴκοσι παρασαγγῶν· ἀπεῖχε δὲ Βαβυλῶνος οὐ πολύ.
Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς δύο, παρασάγγας 13
ὀκτώ· καὶ διέβησαν διώρυχας δύο, τὴν μὲν, ἐπὶ γεφύρας, τὴν δ', ἐζευγμένην πλοίοις ἑπτά· (αὗται δὲ ἦσαν ἀπὸ τοῦ Τίγρητος ποταμοῦ· κατετέτμηντο δὲ ἐξ αὐτῶν καὶ

12. *Μηδίας καλούμενον τεῖχος*] Vocabulum medium ex Paris. et Eton. adscivi. Ceterum Edd. vett. Guelf. Eton. *Μηδείας* dant. Supra i. 7, 10. erat: *μέχρι τοῦ Μηδίας τείχους, ἔνθα δή εἰσιν αἱ διώρυχες ἀπὸ τοῦ Τίγρητος ποταμοῦ ῥέουσαι· εἰσὶ δὲ τέτταρες, τὸ μὲν εὖρος πλεθριαῖαι, βαθεῖαι δὲ ἰσχυρῶς.—εἰσβάλλουσι δὲ εἰς τὸν Εὐφράτην· διαλείπουσι δὲ ἑκάστη παρασάγγην· γέφυραι δ' ἔπεισιν.* Quod vero additur, h. l. *καλούμενον*, arguit, non esse veram interpretationem vulgarem *muri Medici*; contra scriptura librorum *Μηδείας* et comparatio loci iii. 4, 11. eo nos ducunt, ut suspicemur, murum a Medea vocatum fuisse, quæ fuisse dicitur uxor postremi Medorum regis, cui regnum victo Persæ ademerunt. Ceterum quatuor istos canales i. 7, 10. extra murum Mediæ versus septentrionem positos in ipsa Mesopotamia, hos vero duos, quos hic memorat Xenophon in Babylonia sitos, ab iis diversos censuit *Heeren Ideen* tom. ii. p. 652. qui de muro Mediæ exposuit p. 171. ubi tamen male murus hic dicitur agger terrenus, *ein Erdwall.* Mannert. Geogr. i. p. 330. comparavit locum Ammiani xxiv. 2. quem ad hunc murum refert: *ad vicum Maceprdcta pervenit, in quo semiruta murorum vestigia videbantur, qui priscis temporibus in spatia longa protenti tueri ab externis incursibus Assyriam dicebantur. Hinc pars fluminis* (Euphratis) *scinditur largis aquarum agminibus ducens ad tractus Babylonios interiores, usui agris futura et civitatibus circumjectis: alia Nahamalcha nomine, quod fluvius regum interpretatur, Ctesiphonta prætermeat.* Semiramidis *διατείχισμα* ab Eratosthene commemoratum congruere cum Mediæ muro dicetur infra ad sect. 25.

παρῆλθον αὐτοῦ εἴσω] Cum murus Mediæ Babyloniam intra Euphratem et Tigrin conclusam a latere occidentali transversus clauderet, apparet, male interpretem *Halbkart* h. l. vertisse: *kamen sie zur Medischen Mauer, und setzten nun jenseit derselben ihren Marsch fort.* Debebat enim *innerhalb derselben* ponere. Male idem *μελίνας* in seqq. vertit *die Buchwaizenfelder.*

ἐλέγετο εἶναι] Omittunt *εἶναι* Edd. vett. Guelf. deinde *ἀπέσχε* habent, *ἀπέχει* Paris. Eton.

13. *Τίγρητος*] Ita Aldina, Steph. margo Villois. *Πίγρητος* Junt. Guelf. hic et in seqq. Sed ipsa etiam Aldina interdum variat scripturam.

τάφροι ἐπὶ τὴν χώραν, αἱ μὲν πρῶται, μεγάλαι, ἔπειτα
δ' ἐλάσσους· τέλος δὲ καὶ μικροὶ ὀχετοὶ, ὥσπερ ἐν τῇ
Ἑλλάδι ἐπὶ τὰς μελίνας) καὶ ἀφικνοῦνται ἐπὶ τὸν Τί-
γρητα ποταμόν· πρὸς ᾧ πόλις ἦν μεγάλη καὶ πολυάν-
θρωπος, ᾗ ὄνομα Σιτάκη, ἀπέχουσα τοῦ ποταμοῦ στα-
14 δίους πεντεκαίδεκα. Οἱ μὲν οὖν Ἕλληνες παρ' αὐτὴν
ἐσκήνωσαν, ἐγγὺς παραδείσου καλοῦ καὶ μεγάλου καὶ
δασέος παντοίων δένδρων· οἱ δὲ βάρβαροι, διαβεβηκότες
15 τὸν Τίγρητα, οὐ μέντοιγε καταφανεῖς ἦσαν. Μετὰ δὲ
τὸ δεῖπνον ἔτυχον ἐν περιπάτῳ ὄντες πρὸ τῶν ὅπλων Πρό-
ξενος καὶ Ξενοφῶν· καὶ προσελθὼν ἠρώτησεν ἄνθρωπός
τις τοὺς προφύλακας, ποῦ ἂν ἴδοι Πρόξενον ἢ Κλέαρχον.
16 Μένωνα δὲ οὐκ ἐζήτει, καὶ ταῦτα παρὰ Ἀριαίου ὢν, τοῦ
Μένωνος ξένου. Ἐπεὶ δὲ Πρόξενος εἶπεν, ὅτι αὐτός εἰμι,
ὃν ζητεῖς, εἶπεν ὁ ἄνθρωπος τάδε· Ἔπεμψέ με Ἀριαῖος
καὶ Ἀρτάεζος, πιστοὶ ὄντες Κύρῳ, καὶ ὑμῖν εὖνοι, καὶ
κελεύουσι φυλάττεσθαι, μὴ ὑμῖν ἐπιθῶνται τῆς νυκτὸς
οἱ βάρβαροι· ἔστι δὲ στράτευμα πολὺ ἐν τῷ πλησίον
17 παραδείσῳ. Καὶ ἐπὶ τὴν γέφυραν τοῦ Τίγρητος ποτα-
μοῦ πέμψαι κελεύουσι φυλακὴν, ὡς διανοεῖται λῦσαι

μελίνας] Infra vi. 4, 6. similiter est καὶ μελίνας καὶ σήσαμον. vi. 6, 1, ὄσπρια, μελίνας, σῦκα. Cf. supra i. 2, 22.

πρὸς ᾧ] Eton. ἐν ᾧ habet et verba καὶ πολυάνθρωπος omittit.

Σιτάκη] Situm urbi assignat eum, ubi hodie vetus Bagdad nominatur, Mannert Geogr. v. p. 384. Ctesias Æliani h. a. xvi. 42. Σιτάκην Περσικὴν ad Argadem amnem habet. Stephanus Byz. Σιτάκην Περσικὴν, alio loco nominat Ψιττάκην πόλιν παρὰ τῷ Τίγρητι.

σταδίους] Paris. liber σταθμοὺς habet.

14. ἐσκήνωσαν] Paris. Eton. ἐσκήνησαν. Quæ varietas sæpenumero occurrit in hoc ipso libro.

δασέος—δένδρων] Genitivus insolenter jungitur vocabulo δασέος.

16. ὅτι αὐτὸς εἴη] Margo Steph. εἰμὶ habet, Paris. Eton. αὐτός εἰμι, ὃν ζητεῖς—ἄνθρωπος τάδε. Ἔπεμψε μὲ &c. Vulgo erat ὃν ζητεῖ omisso τάδε et ἔπεμψαν.

Ἀρτάεζος] Infra cap. 5, 35. Ἀρτάοζος est, ut in Paris. et Eton. utrobique Ἀρτάβαζος scripsit Castalio. In Cyropædia vi. 3, 31. pro Ἀρτάβαζε Codex Altorf. dat Ῥαρτάοζε.

17. ἐπὶ τὴν γέφυραν] Margo Steph. Paris. Eton. παρὰ τὴν γέφυραν. Deinceps αὐτοῦ Πίγρητος Guelf. postea φύλακας Juntina et Guelf. habet.

ὡς διανοεῖται] Ita margo Steph. Paris. Eton. Vulgo legitur ὅτι διαν. deinceps male Edd. vett. Guelf. Paris. ἀπολειφθῆτε.

αὐτὴν Τισσαφέρνης τῆς νυκτὸς, ἤνπερ δύνηται, ὡς μὴ
διαβῆτε, ἀλλ' ἐν μέσῳ ἀποληφθῆτε τοῦ ποταμοῦ καὶ
τῆς διώρυχος. Ἀκούσαντες ταῦτα ἄγουσιν αὐτὸν παρὰ 18
τὸν Κλέαρχον, καὶ φράζουσιν, ἃ λέγει. Ὁ δὲ Κλέαρ-
χος ἀκούσας ἐταράχθη, καὶ ἐφοβεῖτο σφόδρα. Νεανί- 19
σκος δέ τις τῶν παρόντων ἐννοήσας εἶπεν, ὡς οὐκ ἀκό-
λουθα εἴη, τὸ ἐπιθέσθαι καὶ λῦσαι τὴν γέφυραν. Δῆ-
λον γὰρ, ὅτι ἐπιτιθεμένους ἢ νικᾷν δεήσει αὐτοὺς, ἢ ἡτ-
τᾶσθαι. Ἐὰν μὲν οὖν νικῶσι, τί δεῖ αὐτοὺς λύειν τὴν
γέφυραν; οὐδὲ γὰρ, ἂν πολλαὶ γέφυραι ὦσιν, ἔχοιμεν
ἂν, ὅποι φυγόντες ἡμεῖς σωθῶμεν. Ἂν δ' αὖ ἡμεῖς 20
νικῶμεν, λελυμένης τῆς γεφύρας οὐχ ἕξουσιν ἐκεῖνοι, ὅποι
ἂν φύγωσιν· οὐδὲ μὴν βοηθῆσαι, πολλῶν ὄντων πέραν,
οὐδεὶς αὐτοῖς δυνήσεται, λελυμένης τῆς γεφύρας.
Ἀκούσας δὲ ταῦτα ὁ Κλέαρχος, ἤρετο τὸν ἄγγελον, 21
πόση τις εἴη χώρα ἡ ἐν μέσῳ τοῦ Τίγρητος καὶ τῆς διώ-
ρυχος. Ὁ δὲ εἶπεν, ὅτι πολλὴ, καὶ κῶμαι ἔνεισι καὶ
πόλεις πολλαὶ καὶ μεγάλαι. Τότε δὴ καὶ ἐγνώσθη, 22
ὅτι οἱ βάρβαροι τὸν ἄνθρωπον ὑποπέμψαιεν, ὀκνοῦντες,
μὴ οἱ Ἕλληνες, οὐ διελθόντες τὴν γέφυραν, μένοιεν ἐν τῇ

19. Νεανίσκος] Ipsum Xenophontem fuisse, suspicio est Zeunii.

τὸ ἐπιθέσθαι καὶ λῦσαι] Ita margo Steph. cum libro Brodæi habet pro vulgato τό τε ἐπιθήσεσθαι καὶ τὸ λύσειν.

νικᾷν δεήσει αὐτοὺς] Edd. vett. Guelf. νικᾷν ἂν δεήσῃ habent, αὐτοὺς Paris. omittit.

σωθείημεν] Stephanus σωθῶμεν edidit, vulgatum in margine annotans.

20. ὅποι ἂν] Cum Stephano Weiske vulgatum ὅπου ἂν correxit, quod tamen est etiam in libro Paris. Deinceps πολλῶν περ ἂν ὄντων Edd. vett. Guelf.

21. πολλαὶ] Guelf. καλαὶ habet.

22. Τότε δὴ] Stephanus Τότε δὲ edidit, minus bene.

οὐ διελθόντες] Negationem hortatu Larcheri addidit Zeune, eandemque vertit Gallicus Interpres Ablancourt et de la Luzerne. Suidas in v. ὀκνεῖ et ὑποπέμψαιεν ex h. l. laudat διαβάντες—μείνειαν. Etiam Eton. habet μένειεν.

ἐν τῇ νήσῳ] Pertinet huc locus Polyæni ii. 2, 4. Κλέαρχος μετὰ τὸν Κύρου θάνατον τῶν Ἑλλήνων κατασχόντων χώραν πολλὴν καὶ ἀγαθὴν (ποταμὸς ἐκυκλοῦτο τὴν χώραν ἐλαχίστῳ διειργόμενος ἰσθμῷ, μὴ νῆσον εἶναι) κωλύων ἔνδον στρατοπεδεύειν, ὡς οὐκ ἔπειθε, πεπλασμένον αὐτόμολον καθῆκεν ἀπαγγέλλοντα, βασιλεὺς τὸν ἰσθμὸν ἀπειλεῖ ἀποτειχίσαι. τοῦτο ἀκούσαντες οἱ Ἕλληνες καὶ πεισθέντες Κλεάρχῳ στρατοπεδεύουσιν ἐκτὸς ἰσθμοῦ. Quæ vides

νήσῳ, ἐρύματα ἔχοντες, ἔνθεν μὲν τὸν Τίγρητα ποταμὸν,
ἔνθεν δὲ τὴν διώρυχα· τὰ δ' ἐπιτήδεια ἔχοιεν ἐκ τῆς ἐν
μέσῳ χώρας, πολλῆς καὶ ἀγαθῆς οὔσης, καὶ τῶν ἐργα-
σομένων ἐνόντων· εἶτα δὲ καὶ ἀποστροφὴ γένοιτο, εἴ τις
23 βούλοιτο βασιλέα κακῶς ποιεῖν. Μετὰ δὲ ταῦτα ἀνε-
παύοντο· ἐπὶ μέντοι τὴν γέφυραν ὅμως φυλακὴν ἔπεμ-
ψαν· καὶ οὔτε ἐπέθετο οὐδεὶς οὐδαμόθεν, οὔτε πρὸς τὴν
γέφυραν οὐδεὶς ἦλθε τῶν πολεμίων, ὡς οἱ φυλάττοντες
24 ἀπήγγελλον. Ἐπειδὴ δὲ ἕως ἐγένετο, διέβαινον τὴν γέ-
φυραν, ἐζευγμένην πλοίοις τριάκοντα καὶ ἑπτὰ, ὡς οἷόν
τε μάλιστα πεφυλαγμένως· ἐξήγγελλον γάρ τινες τῶν
παρὰ Τισσαφέρνους Ἑλλήνων, ὡς διαβαινόντων μέλλοιεν
ἐπιτίθεσθαι· ἀλλὰ ταῦτα μὲν ψευδῆ ἦν· διαβαινόν-
των μέντοι ὁ Γλοῦς αὐτοῖς ἐπεφάνη μετ' ἄλλων, σκοπῶν,
εἰ διαβαίνοιεν τὸν ποταμόν· ἐπεὶ δὲ εἶδεν, ᾤχετο ἀπε-
λαύνων.

25 Ἀπὸ δὲ τοῦ Τίγρητος ἐπορεύθησαν σταθμοὺς τέττα-
ρας παρασάγγας εἴκοσιν ἐπὶ τὸν Φύσκον ποταμὸν, τὸ
εὖρος πλέθρου· ἐπῆν δὲ γέφυρα. Καὶ ἐνταῦθα ᾤκειτο
πόλις μεγάλη, ᾗ ὄνομα Ὦπις· πρὸς ἣν ἀπήντησε τοῖς

ex alieno fonte ducta esse. Insunt tamen vestigia narrationis in oratione Xenophontea. Ceterum locum Polyæni si compares cum Thucydideo vi. 1. de Sicilia: ἐν εἴκοσι σταδίων μέτρῳ τῆς θαλάσσης διείργεται τὸ μὴ ἤπειρος οὖσα, facile apparebit, in Polyæno διειργομένην scribi debere. Præterea apparet, scriptorem eum, quem Polyænus excerpsit, diligentem Thucydidis lectorem et imitatorem fuisse.

Τίγρητα ποταμὸν] Posterius vocabulum omittit Paris. Eton.

ἐργασομένων] Eton. ἐργασαμένων. Sequens δὲ post εἶτα deest in Edd. vett. et Guelf.

23. Μετὰ δὲ] Ex Eton. δὲ adscivi. Deinceps ἐπέθεντο Edd. vett. Guelf. excepta Castalionis editione.

24. διέβαινον] Ita Paris. Eton. vulgo διέβησαν. Deinceps ὀκτὼ pro ἑπτὰ dat Eton. postea ἐξήγγελον Guelf.

ὁ Γλοῦς] Articulum ex Paris. et Eton. addidi cum Zeunio. deinceps μετ' Ἄλλωνος Edd. vett. Guelf. Eton. et versio Amasæi. Stephani lectionem firmat margo Villois.

25. Φύσκον] Esse qui hodie *Odoan* vel *Odorneh* vocatur, affirmat Mannert Geogr. v. p. 433. Stephanus Byz. in hoc nomine: ἔστι καὶ ποταμὸς Φύσκος, καθά φησι Σοφαίνετος ἐν Κύρου Ἀναβάσει.

Ὦπις] An eadem sit, quam memoravit Herodotus i. 189. et Arriani Anabasis, disputat Mannert Geogr. v. p. 460. Herodotus quidem sim-

Ἕλλησιν ὁ Κύρου καὶ Ἀρταξέρξου νόθος ἀδελφὸς, ἀπὸ Σούσων καὶ Ἐκβατάνων στρατιὰν πολλὴν ἄγων, ὡς βοηθήσων βασιλεῖ· καὶ ἐπιστήσας τὸ ἑαυτοῦ στράτευμα, παρερχομένους ἐθεώρει τοὺς Ἕλληνας. Ὁ δὲ Κλέαρχος 26
ἡγεῖτο μὲν εἰς δύο, ἐπορεύετο δὲ ἄλλοτε καὶ ἄλλοτε ἐφιστάμενος. Ὅσον δ' ἂν χρόνον τὸ ἡγούμενον τοῦ στρατεύματος ἐπιστῇ, τοσοῦτον ἦν ἀνάγκη χρόνον δι' ὅλου τοῦ στρατεύματος γίγνεσθαι τὴν ἐπίστασιν· ὥστε τὸ στράτευμα καὶ αὐτοῖς τοῖς Ἕλλησι δόξαι πάμπολυ εἶναι,

pliciter ad Tigrin positam urbem esse ait: ita tamen, ut infra Gyndis ostia positam intelligere necesse sit. Arrianus vii. 7, 11. similiter πόλιν ἐπὶ τοῦ Τίγρητος ᾠκισμένην dicit. Eratosthenes Strabonis ii. p. 215. ed. Sieb. de Euphrate: γενόμενον δὲ τοῦτον ἔγγιον ἀεὶ τοῦ Τίγριδος κατὰ τὸ Σεμιράμιδος διατείχισμα καὶ κώμην καλουμένην Ὦπιν διασχόντα ταύτης ὅσον διακοσίους σταδίους καὶ ῥυέντα διὰ Βαβυλῶνος ἐκπίπτειν εἰς τὸν Περσικὸν κόλπον. Quæ fere repetit libro xi. p. 802. Quod Eratosthenes Opin vocat κώμην, non πόλιν, id impedire neminem debet in geographia regni Persici versatum, cujus urbes bene multas alii κώμας dicunt. Sed Mannertus noster Geograph. v. p. 379. aliam rationem opposuit, qua simul errorem Strabonis convincere conatus est. Verba ipsa ejus apponam: *Im geringsten Abstande, sagt Strabo, befinden sich der Tigris und Euphrat bey dem Flecken Opis und der Mauer der Semiramis: er beträgt nur* 200 *Stadien.* Sed graviter errat vir doctus in eo, quod verba διασχόντα ταύτης ὅσον διακοσίους σταδίους ita interpretatur, quasi scriptum esset διασχόντα ταύτῃ: quo significaretur distantia Tigridis ab Euphrate. Sed Strabo ταύτης posuit, et Eratosthenes distantiam Opidis oppidi, quod ad Tigrin situm vulgo dicebatur, significavit. Præterea ex verbis Eratosthenis satis apparet, murum Semiramidis ante urbem Opin ductum fuisse; igitur satis longo spatio abesse potuit ab urbe Opi. Igitur nihil impedit, quominus Eratosthenis Opin eandem cum Xenophontea putemus esse. Murum Semiramidis ipse Mannertus cum Mediæ muro comparat, et situs congruit.

πολλὴν ἄγων] Eton. ἔχων πολλὴν, minus bene.

ἐπιστήσας] Margo Steph. cum Paris. et Eton. hoc verbum recte substituit vulgato στήσας, cujus tamen scholion illud esse opinabatur Zeune. Sed στήσας hic plane alienum sensum habet.

26. εἰς δύο] Multa de h. l. disputat germanicus interpres Halbkart, et tandem eo delabitur, ut post εἰς δύο intelligat τοὺς λόχους; itaque locum ita vertit: *Klearch liess die Armee in einer Kolonne die Kompanie zwey Mann hoch marschiren.* Sed tanto conatu opus non erat ad intelligendam aciem a Xenophonte significatam, nec supplemento aliquo indiget oratio græca. Nam exercitum totum per λόχους distributum incedere, norant lectores. Breviter ut dicam, ordinem eundem Polyænus ii. 1, 24. disertius ita narrat: Ἀγησίλαος—ἐπιμηκύνας τὴν φάλαγγα ἦγεν ἐπὶ δύο τάξας.

ἐπιστῇ] Scriptura Brodæi libri, marg. Steph. Paris. Eton. ἐπιστήσειε potest ita probari, ut intelligatur ὁ Κλέαρχος.

ἦν ἀνάγκη] Verbum ἦν ex libro Brodæi inserui, quod Paris. liber post ἀνάγκη positum habet, margo Steph. ἂν ἀνάγκη.

ἐπίστασιν] Male Junt. Guelf. Eton. ἐπίτασιν scriptum habent, quod Amasæus interpretatus est.

αὐτοῖς τοῖς Ἕλλησι] Lectio a Leon-

27 καὶ τὸν Πέρσην ἐκπεπλῆχθαι θεωροῦντα. Ἐντεῦθεν δὲ ἐπορεύθησαν διὰ τῆς Μηδίας σταθμοὺς ἐρήμους ἓξ παρασάγγας τριάκοντα εἰς τὰς Παρυσάτιδας κώμας, τῆς Κύρου καὶ βασιλέως μητρός. Ταύτας Τισσαφέρνης Κύρῳ ἐπεγγελῶν διαρπάσαι τοῖς Ἕλλησιν ἐπέτρεψε, πλὴν ἀνδραπόδων. Ἐνῆν δὲ σῖτος πολὺς, καὶ πρόβατα, καὶ
28 ἄλλα χρήματα. Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς ἐρήμους πέντε παρασάγγας εἴκοσι, τὸν Τίγρητα ποταμὸν ἐν ἀριστερᾷ ἔχοντες. Ἐν δὲ τῷ πρώτῳ σταθμῷ πέραν τοῦ ποταμοῦ πόλις ᾤκεῖτο μεγάλη καὶ εὐδαίμων, ὄνομα Καιναὶ, ἐξ ἧς οἱ βάρβαροι διῆγον ἐπὶ σχεδίαις διφθερίναις ἄρτους, τυροὺς, οἶνον.

clavio memorata αὐτοῖς τοῖς ἐχθροῖς aliena ab hoc loco esse videtur: ἑαυτοῖς est in Eton.

27. Μηδίας) Alii libri cum Paris. Μηδείας habent.

κώμας] Huc pertinet locus in Ctesiæ fragmentis c. 58. ἀναχώρησις Κλεάρχου τοῦ Λακεδαιμονίου ἅμα τοῖς σὺν αὐτῷ Ἕλλησι τῆς νυκτὸς, καὶ τῶν τῆς Παρυσάτιδος πόλεων μιᾶς κατάληψις, εἶτα σπονδαὶ βασιλέως πρὸς τοὺς Ἕλληνας. Etiam hinc apparet, nomen πόλεως sæpenumero cum altero κωμῶν in rebus Persicis permutari.

ἐπεγγελῶν] Ita cum Stephano Guelf. ἐπαγγελῶν Edd. vett.

28. πέντε] Paris. et Eton. τέτταρας habent.

ἐν ἀριστερᾷ] Male liber Eton. ἐν δεξιᾷ habet; Tigrin enim jam transierant supra sect. 25. In sequentibus articulus τοῦ ante ποταμοῦ excidit in Zeuniana.

Καιναὶ] Stephanus Byz. ἔστι καὶ πόλις Κάναι τοῦ Τίγρητος ποταμοῦ. Καινὰς esse locum, qui hodie *Senn* vocatur, ad ostium Zabati minoris situm, suspicatur Mannert. Geogr. v. p. 333. Dubitationem viro docto injicit mentio fluvii Zabati omissa. Inter argumenta opinionis suæ posuit, distare ex narratione Xenophontis Opim a Cænis 34 parasangis, Cænas a Zabato fluvio, quem Lycum et Zabum majorem esse statuit, 16 parasangis. Sed si Opis inter Zabum minorem et majorem sita fuit, quem situm ei assignat tabula Heereniana, Zabum minorem non transierunt Græci, nec Cænis urbi verum situm ad ostium Zabi minoris assignavit Mannert.

σχεδίαις διφθερίναις] Ita margo Steph. cum libro Brodæi, Paris. Eton. Vulgo erat σχεδίας διφθερῶν. Prius vitium correxit Hutchinson. Comparat Zeune Arriani Periplum maris Erythræi p. 157, ubi navigia ejusmodi (rates sunt) dicantur σχεδίαι δερμάτιναι ἐξ ἀσκῶν. Locus est in Editione Hudsoni p. 15. Genus ratium hodieque in fluviis Euphrate et Tigri usitatum incolæ *Kellek* vocant, de quo collectas notitias habes in *Œdmanni Vermischten Sammlungen zur Erklaerung der heiligen Schrift, Partic.* iii. No. 12.

τυροὺς] Ita vulgatum τυρὸν ex Eton. correxi.

CAP. V.

ΜΕΤΑ ταῦτα ἀφικνοῦνται ἐπὶ τὸν Ζάβατον ποταμὸν,
τὸ εὖρος τεττάρων πλέθρων. Καὶ ἐνταῦθα ἔμειναν ἡμέ-
ρας τρεῖς· ἐν δὲ ταύταις ὑποψίαι μὲν ἦσαν, φανερὰ δ'
οὐδεμία ἐφαίνετο ἐπιβουλή. Ἔδοξεν οὖν τῷ Κλεάρχῳ 2
συγγενέσθαι Τισσαφέρνει, καὶ εἴ πως δύναιτο, παῦσαι
τὰς ὑποψίας, πρὶν ἐξ αὐτῶν πόλεμον γενέσθαι· καὶ
ἔπεμψέ τινα ἐροῦντα, ὅτι συγγενέσθαι αὐτῷ χρῄζοι.
Ὁ δὲ ἑτοίμως ἐκέλευσεν ἥκειν. Ἐπειδὴ δὲ συνῆλθον, 3
λέγει ὁ Κλέαρχος τάδε· Ἐγὼ, ὦ Τισσαφέρνη, οἶδα μὲν
ἡμῖν ὅρκους γεγενημένους, καὶ δεξιὰς δεδομένας, μὴ ἀδι-
κήσειν ἀλλήλους· φυλαττόμενον δέ σε ὁρῶ ὡς πολεμίους
ἡμᾶς· καὶ ἡμεῖς, ὁρῶντες ταῦτα, ἀντιφυλαττόμεθα.
Ἐπεὶ δὲ σκοπῶν οὐδὲν δύναμαι οὔτε σὲ αἰσθέσθαι πει- 4
ρώμενον ἡμᾶς κακῶς ποιεῖν, ἐγώ τε σαφῶς οἶδα, ὅτι
ἡμεῖς γε οὐδ' ἐπινοοῦμεν οὐδὲν τοιοῦτον, ἔδοξέ μοι εἰς λό-
γους σοι ἐλθεῖν, ὅπως, εἰ δυναίμεθα, ἐξέλοιμεν ἀλλή-
λων τὴν ἀπιστίαν. Καὶ γὰρ οἶδα ἤδη ἀνθρώπους τοὺς 5

1. ἀφικνοῦνται] Ita Paris. et Eton. probante etiam Porsono. Vulgo erat ἀφίκοντο.

Ζάβατον] Paris. Ζάπαταν. Infra iii. 3, 6. erat Ζάτην, in Leoncl. et Welsius Ζάθην, sed Hutchinsonum secutus Zeune Ζάβατον dedit, quem eundem esse utrobique putabat. Bochartus in Geogr. Sacra iv. 19. et cum eo Michaelis in Spicileg. Geogr. p. 243. statuit, eundem esse fluvium, qui Græcis Λύκος audiat, nomine Syriaco et Hebraico conveniente. Eundem etiam cum Ammiani *Diaba* vel *Diava* xxiii. 6. facit Bochartus, hodie *Zab* vocatum. Sed Mannert. Geogr. v. p. 434. seqq. docet, Lycum et Caprum, qui dicuntur a scriptoribus rerum Alexandri, esse fluvium geminum, qui hodieque nomen vetustum *Zab* servat, majoris et minoris nomine distinctus. Majorem tantum nominat h. l. Xenophon.

2. χρῄζοι] Eton. liber δέοιτο habet. Orationem Clearchi sequentem Aristides tom. ii. p. 517. judicat et laudat.

3. δεδομένας] Aldina, Guelf. διδομένας. Sequens κακῶς ποιεῖν pro vulgato κακοποιεῖν restitui ex margine Steph. Paris. Eton. quanquam κακοποιεῖν τὴν βασιλέως χώραν est Memorab. iii. 5, 26. Sed et ibi κακῶς ποιεῖν verum puto. Contra in Œcon. iii. 11. εἰ διδασκομένη ὑπὸ τοῦ ἀνδρὸς τἀγαθὰ κακοποιεῖ ἡ γυνὴ veram significationem verbum habere videtur.

4. οὔτε σὲ] Juntina cum Guelf. σὲ omisit, et deinceps λόγους σου dedit.

μὲν ἐκ διαβολῆς τοὺς δὲ καὶ ἐξ ὑποψίας, οἱ φοβηθέντες ἀλλήλους, φθάσαι βουλόμενοι πρὶν παθεῖν, ἐποίησαν ἀνήκεστα κακὰ τοὺς οὔτε μέλλοντας οὔτε βουλομέ-
6 νους τοιοῦτον οὐδέν. Τὰς οὖν τοιαύτας ἀγνωμοσύνας νομίζων συνουσίαις μάλιστα ἂν παύεσθαι, ἥκω, καὶ διδάσκειν σε βούλομαι, ὡς σὺ ἡμῖν οὐκ ὀρθῶς ἀπιστεῖς.
7 Πρῶτον μὲν γὰρ καὶ μέγιστον, οἱ θεῶν ὅρκοι ἡμᾶς κωλύουσι πολεμίους εἶναι ἀλλήλοις· ὅστις δὲ τούτων σύνοιδεν αὑτῷ παρημεληκὼς, τοῦτον ἐγὼ οὔποτ' ἂν εὐδαιμονίσαιμι. Τὸν γὰρ θεῶν πόλεμον οὐκ οἶδα οὔτ' ἀπὸ ποίου ἂν τάχους οὔτε ὅποι ἄν τις φεύγων ἀποφύγοι, οὔτ' εἰς ποῖον ἂν σκότος ἀποδραίη, οὔθ' ὅπως ἂν εἰς ἐχυρὸν χωρίον ἀποσταίη. Πάντη γὰρ πάντα τοῖς θεοῖς ὕποχα,
8 καὶ πανταχῆ πάντων ἴσον οἱ θεοὶ κρατοῦσι. Περὶ μὲν δὴ τῶν θεῶν τε καὶ τῶν ὅρκων οὕτω γιγνώσκω, παρ' οἷς ἡμεῖς τὴν φιλίαν συνθέμενοι κατεθέμεθα· τῶν δὲ ἀνθρωπίνων σὲ ἔγωγε ἐν τῷ παρόντι νομίζω μέγιστον ἡμῖν
9 εἶναι ἀγαθόν. Σὺν μὲν γάρ σοι πᾶσα μὲν ἡμῖν ὁδὸς εὔπορος, πᾶς δὲ ποταμὸς διαβατὸς, τῶν δ' ἐπιτηδείων οὐκ ἀπορία· ἄνευ δέ σου πᾶσα μὲν ἡ ὁδὸς διὰ σκότους, (οὐδὲν γὰρ αὐτῆς ἐπιστάμεθα) πᾶς δὲ ποταμὸς δύσπορος, πᾶς δ' ὄχλος φοβερός· φοβερώτατον δ' ἐρημία·

5. τοὺς δὲ καὶ] Ex Guelf. καὶ adscivit Zeune.

6. ἂν παύεσθαι] Arnaldi in Animadv. p. 176. vanam opinionem ἂν locum hic esse negantis et ἀναπαύεσθαι corrigentis recte improbavit Zeune.

7. ἡμᾶς κωλύουσι] Stobæus, qui h. l. excerpsit in Serm. p. 197. habet κωλ. ἡμᾶς—οὔποτ' ἂν ἐγώ.

οἶδα οὔτ' ἀπὸ ποίου] Margo Steph. cum Eton. οἶδα ὑφ' ὁποίου. Paris. Eton. ἂν τάχους, οὔτε ὅποι ἄν τις φεύγων ἀποφεύγοι, οὔτε εἰς ποῖον σκότος. Mihi etiam loci mentio necessaria videbatur hic, ut in duobus sequentibus membris, quare verba οὔτε ὅποι ἂν vulgo omissa adjunxi. τις vulgo erat post φεύγων collocatum.

εἰς ποῖον ἂν] Stobæus οὔτε εἰς ὁποῖον ἂν σκότος ἀποδύη, οὔτε ὅπως—ὀχυρόν. Idem deinceps πάντη πάντων ἴσον habet.

8. παρ' οἷς] In locum vulgati παρ' οὓς Mureti conjecturam recepit primus Zeune.

9. πᾶσα μὲν ἡμῖν] Ex margine Steph. Paris. Eton. μὲν interserui.

μεστὴ γὰρ πολλῆς ἀπορίας ἐστίν. Εἰ δὲ δὴ καὶ μα- 10
νέντες σὲ κατακτείναιμεν, ἄλλο τι ἂν, ἢ, τὸν εὐεργέτην
κατακτείναντες, πρὸς βασιλέα τὸν μέγιστον ἔφεδρον
ἀγωνιζοίμεθα; Ὅσων δὲ δὴ καὶ οἵων ἐλπίδων ἐμαυτὸν
ἂν στερήσαιμι, εἴ σέ τι κακὸν ἐπιχειρήσαιμι ποιεῖν,
ταῦτα λέξω. Ἐγὼ γὰρ Κῦρον ἐπεθύμησά μοι φίλον 11
γενέσθαι, νομίζων τῶν τότε ἱκανώτατον εἶναι εὖ ποιεῖν,
ὃν ἂν βούλοιτο. Σὲ δὲ νῦν ὁρῶ τήν τε Κύρου δύναμιν καὶ
χώραν ἔχοντα, καὶ τὴν σεαυτοῦ ἀρχὴν σώζοντα, τὴν δὲ
βασιλέως δύναμιν, ᾗ Κῦρος πολεμίᾳ ἐχρῆτο, σοὶ ταύτην
σύμμαχον οὖσαν. Τούτων δὲ τοιούτων ὄντων, τίς οὕτω 12
μαίνεται, ὅστις οὐ σοὶ βούλεται φίλος εἶναι; Ἀλλὰ
μὴν, (ἐρῶ γὰρ καὶ ταῦτα, ἐξ ὧν ἔχω ἐλπίδας, καί σε
βουλήσεσθαι φίλον ἡμῖν εἶναι·) οἶδα μὲν γὰρ ὑμῖν Μυ- 13
σοὺς λυπηροὺς ὄντας, οὓς ἐλπίζω ἂν σὺν τῇ παρούσῃ δυ-
νάμει ταπεινοὺς ὑμῖν παρασχεῖν· οἶδα δὲ καὶ Πεισίδας·
ἀκούω δὲ καὶ ἄλλα ἔθνη πολλὰ τοιαῦτα εἶναι, ἃ οἶμαι
ἂν παῦσαι ἐνοχλοῦντα ἀεὶ τῇ ὑμετέρᾳ εὐδαιμονίᾳ. Αἰ-
γυπτίους δὲ, οἷς μάλιστα ὑμᾶς νῦν γιγνώσκω τεθυμω-
μένους, οὐχ ὁρῶ, ποίᾳ δυνάμει συμμάχῳ χρησάμενοι
μᾶλλον ἂν κολάσεσθε τῆς νῦν σὺν ἐμοὶ οὔσης. Ἀλλὰ 14
μὴν ἔν γε τοῖς πέριξ οἰκοῦσι σὺ, εἰ μὲν βούλοιό τῳ φίλος
εἶναι, ὡς μέγιστος ἂν εἴης· εἰ δέ τις σε λυποίη, ὡς

ἀπορίας] Eton. *ἀπειρίας* habet.

10. *Εἰ δὲ δὴ*] Edd. vett. Guelf. Eton. *δὴ* omittunt.

ἔφεδρον] Margo Steph. Paris. Eton. *ἔφορον* habent, pejus.

12. *Ἀλλὰ μὴν, (ἐρῶ γὰρ*] Nisi cum Leonclavio *ἀλλὰ μὴν ἐρῶ γε καὶ* scripseris, parentheseos signa addenda erant, quod fecimus præeunte Weiskio, qui comparat locum iii. 2, 11.

13. *ἐλπίζω*] Margo Steph. Paris. Eton. *νομίζω*.

κολάσεσθε] Castalio *κολάσησθε* edidit, quod mutatum in *κολάσητε* equidem probo. Propter additum *ἂν* vulgata scriptura ferri non potest. De Ægyptiorum defectione vide Diodori xi. 71. seqq.

τῆς—οὔσης] Insolens Weiskio videtur dictum pro *ἢ τῇ—οὔσῃ*; comparat tamen locum Cyrop. viii. 7, 12. *ταῦτα τῷ βασιλεύοντι ἀνάγκη σου μᾶλλον συμπαρομαρτεῖν*, ubi est pro *μᾶλλον ἢ σοί*.

δεσπότης ἀναστρέφοιο, ἔχων ἡμᾶς ὑπηρέτας, οἵ σοι οὐκ
ἂν τοῦ μισθοῦ ἕνεκα μόνον ὑπηρετοῖμεν, ἀλλὰ καὶ τῆς
χάριτος, ἣν σωθέντες ὑπὸ σοῦ σοὶ ἂν ἔχοιμεν δικαίως.
15 Ἐμοὶ μὲν ταῦτα πάντα ἐνθυμουμένῳ οὕτω δοκεῖ θαυμα-
στὸν εἶναι, τὸ σὲ ἡμῖν ἀπιστεῖν, ὥστε καὶ ἥδιστ' ἂν ἀκού-
σαιμι τοὔνομα, τίς ἐστιν οὕτω δεινὸς λέγειν, ὥστε σὲ
πεῖσαι λέγων, ὡς ἡμεῖς σοι ἐπιβουλεύομεν. Κλέαρ-
χος μὲν οὖν τοσαῦτα εἶπε· Τισσαφέρνης δὲ ὧδε ἀπη-
μείφθη·
16 Ἀλλ' ἥδομαι μὲν, ὦ Κλέαρχε, ἀκούων σου φρονίμους
λόγους· ταῦτα γὰρ γιγνώσκων, εἴ τι ἐμοὶ κακὸν βου-
λεύοις, ἅμα ἄν μοι δοκεῖς καὶ σεαυτῷ κακόνους εἶναι.
Ὡς δ' ἂν μάθῃς, ὅτι οὐδ' ἂν ὑμεῖς δικαίως οὔτε βασι-
17 λεῖ οὔτ' ἐμοὶ ἀπιστοίητε, ἀντάκουσον. Εἰ γὰρ ὑμᾶς
ἐβουλόμεθα ἀπολέσαι, πότερά σοι δοκοῦμεν ἱππέων
πλήθους ἀπορεῖν, ἢ πεζῶν, ἢ ὁπλίσεως, ἐν ᾗ ὑμᾶς μὲν
βλάπτειν ἱκανοὶ εἴημεν ἂν, ἀντιπάσχειν δὲ οὐδεὶς κίνδυ-
18 νος; Ἀλλὰ χωρίων ἐπιτηδείων ὑμῖν ἐπιτίθεσθαι ἀπο-
ρεῖν ἄν σοι δοκοῦμεν; Οὐ τοσαῦτα μὲν πεδία ἡμῖν φί-
λια ὄντα σὺν πολλῷ πόνῳ διαπορεύεσθε, τοσαῦτα δὲ ὄρη
ὑμῖν ὁρᾶτε ὄντα πορευτέα, ἃ ἡμῖν ἔξεστι προκαταλαβοῦ-
σιν ἄπορα ὑμῖν παρέχειν; τοσοῦτοι δέ εἰσι ποταμοὶ, ἐφ'

14. οἵ σοι] Eton. cum Juntina ὅσοι habet.

15. ὥστε σὲ πεῖσαι] Pronomen σὲ ex libro Brodæi et Paris. adjunxi.

ἐπιβουλεύομεν] Hoc ex Edd. vett. et Guelf. pro vulgato ἐπιβουλεύοιμεν restitui.

16. ἄν μοι δοκεῖς] Recte vulgatum δοκῇς corrigi jussit Porson; idem vitium in Platonis Republ. iv. p. 422. B. 430. A. et in Gorgia p. 514. sustulit. Minus aptum Weiskii δοκοίης.

μάθῃς] Ita cum Amasæo Stephanus, μάθητε Edd. vett. Guelf.

ἀπιστοίητε] Hutchinsoni conjecturam, quam scriptura Paris. ἄπιστοι ἦτε firmare videtur, recepit Zeune in locum vulgati ἀποσταίητε. Muretus ἀπιστέοιτε scribi voluit.

17. ἱππέων] Eton. ἵππων. Idem cum Paris. sequens εἴημεν ἂν dedit, ubi vulgabatur ἂν ἦμεν.

18. ἡμῖν φίλια ὄντα] Paris. ἃ ὑμεῖς φίλια habet; Weiskiana ὑμῖν.

ὁρᾶτε] Ita Paris. Eton. Guelf. Vulgatum ὁρᾶται correxit Muretus.

ἐφ' ὧν] Ita Paris. Eton. Vulgo est ἐξ ὧν, ubi intelligendus erat egressus e fluminibus.

ὧν ἔξεστιν ἡμῖν ταμιεύεσθαι, ὁπόσοις ἂν ὑμῶν βουλοί-
μεθα μάχεσθαι; Εἰσὶ δ' αὐτῶν, οὓς οὐδ' ἂν παντά-
πασι διαβαίητε, εἰ μὴ ἡμεῖς ὑμᾶς διαπορεύοιμεν. Εἰ 19
δὲ ἐν πᾶσι τούτοις ἡττώμεθα, ἀλλὰ τό γε πῦρ τοῦ καρ-
ποῦ κρεῖττόν ἐστιν· ὃν ἡμεῖς δυναίμεθ' ἂν κατακαύσαν-
τες λιμὸν ὑμῖν ἀντιτάξαι, ᾧ ὑμεῖς, οὐδ' εἰ πάνυ ἀγαθοὶ
εἴητε, μάχεσθαι ἂν δύναισθε. Πῶς οὖν ἄν, ἔχοντες 20
τοσούτους πόρους πρὸς τὸ ὑμῖν πολεμεῖν, καὶ τούτων μη-
δένα ἡμῖν ἐπικίνδυνον, ἔπειτα ἐκ τούτων πάντων τοῦτον ἂν
τὸν τρόπον ἐξελοίμεθα, ὃς μόνος μὲν πρὸς θεῶν ἀσεβής,
μόνος δὲ πρὸς ἀνθρώπων αἰσχρός; Παντάπασι δὲ ἀπό- 21
ρων ἐστὶ καὶ ἀμηχάνων καὶ ἀνάγκῃ ἐχομένων, καὶ τού-
των πονηρῶν, οἵτινες ἐθέλουσι δι' ἐπιορκίας τε πρὸς θε-
ούς, καὶ ἀπιστίας πρὸς ἀνθρώπους, πράττειν τι. Οὐχ
οὕτως ἡμεῖς, ὦ Κλέαρχε, οὔτε ἠλίθιοι, οὔτε ἀλόγιστοι
ἐσμέν. Ἀλλὰ τί δή, ὑμᾶς ἐξὸν ἀπολέσαι, οὐκ ἐπὶ 22
τοῦτο ἤλθομεν; Εὖ ἴσθι, ὅτι ὁ ἐμὸς ἔρως τούτου αἴτιος,

ὁπόσοις—μάχεσθαι] Zeune post βουλοίμεθα ponendum comma, et ad μάχεσθαι ὥστε intelligendum censet, deceptus scilicet loco Cyrop. iii. 3, 47. quem apposuit Hutchinson: παραδόντες ἑαυτοὺς ἡμῖν ταμιεύεσθαι, ὥσθ', ὁπόσοις ἂν βουλώμεθα αὐτῶν, μάχεσθαι. Iterum iv. 1, 18. παρέσχον ἡμῖν ταμιεύεσθαι, ὥστε, ὁπόσοις ἐβουλόμεθα αὐτῶν, μάχεσθαι. In Hipparchico vii. 11. est similiter: καὶ ἐν διαβάσεσί γέ ἐστι—ταμιεύσασθαι, ὥστε, ὁπόσοις ἂν βούληται τῶν πολεμίων, ἐπιτίθεσθαι. Contra Thucydides vi. 18. ab eodem Hutchinsono comparatus: οὐκ ἔστιν ἡμῖν ταμιεύεσθαι, ἐς ὅσον βουλόμεθα ἄρχειν.

19. τό γε πῦρ] Eton. τό γε τὸ πῦρ habet.

ἂν δύναισθε] Vulgatum δύνησθε vitiosum esse monuit Porson; idem mendum infra v. 6, 9. sustulit.

20. πρὸς θεῶν—πρὸς ἀνθρώπων] Cf. dicenda ad v. 7, 12.

21. Παντάπασι] Vulgatam hanc distinctionem mutavit, et hanc sectionem cum antecedente continuavit Weiske, commate posito post αἰσχρός. Ait: "si nova inde sequeretur periodus, pro δὲ longe graviores ad asseverandum particulæ positæ essent, v. c. ἀλλὰ γάρ. Deinde convenienter in fine diceretur πονηροὶ et ἀσεβεῖς, non ἠλίθιοι et ἀλόγιστοι: quæ nomina ostendunt, omnia cum primaria sententia πῶς οὖν ἄν—ἐξελοίμεθα in unam periodum juncta esse." Longiore opus esset oratione ad singula opinionis specie veri aliqua non destitutæ refellenda. Mihi vulgata distinctio unice placet.

22. τί δή] Ita cum Guelf. Paris. Eton. τί δεῖ erat ante Welsium, qui Stephani conjecturam recepit. Deinceps ἡμᾶς pro ὑμᾶς habent Edd. vett. cum Guelf.

ἐπὶ τοῦτο] Ita cum Hutchinsono Zeune. Vulgatum τούτῳ correxit Stephanus, conjecturam firmante Paris. libro.

Εὖ ἴσθι] Weiskio hæc orationis pars minus placet: honestiorem

τοῦ τοῖς Ἕλλησιν ἐμὲ πιστὸν γενέσθαι, καὶ ᾧ Κῦρος
ἀνέβη ξενικῷ διὰ μισθοδοσίαν πιστεύων, τούτῳ ἐμὲ
23 καταβῆναι δι' εὐεργεσίας ἰσχυρόν. Ὅσα δέ μοι ὑμεῖς
χρήσιμοι ἔσεσθε, τὰ μὲν καὶ σὺ εἶπες, τὸ δὲ μέγιστον
ἐγὼ οἶδα· τὴν μὲν γὰρ ἐπὶ τῇ κεφαλῇ τιάραν βασιλεῖ
μόνῳ ἔξεστιν ὀρθὴν ἔχειν, τὴν δ' ἐπὶ τῇ καρδίᾳ ἴσως ἂν
ὑμῶν παρόντων καὶ ἕτερος εὐπετῶς ἔχοι.

24 Ταῦτα εἰπὼν ἔδοξε τῷ Κλεάρχῳ ἀληθῆ λέγειν· καὶ
εἶπεν· Οὐκοῦν, ἔφη, οἵτινες, τοιούτων ἡμῖν εἰς φιλίαν
ὑπαρχόντων, πειρῶνται διαβάλλοντες πολεμίους ποιῆσαι
25 ἡμᾶς, ἄξιοί εἰσι τὰ ἔσχατα παθεῖν; Καὶ ἐγὼ μέν, ἔφη
ὁ Τισσαφέρνης, εἰ βούλεσθέ μοι οἵ τε στρατηγοὶ καὶ οἱ
λοχαγοὶ ἐν τῷ ἐμφανεῖ ἐλθεῖν, λέξω τοὺς πρὸς ἐμὲ λέ-
γοντας, ὡς σὺ ἐπιβουλεύεις ἐμοί τε καὶ τῇ σὺν ἐμοὶ
26 στρατιᾷ. Ἐγὼ δ', ἔφη ὁ Κλέαρχος, ἄξω πάντας·
καὶ σοὶ αὖ ἐγὼ δηλώσω, ὅθεν ἐγὼ περί σου ἀκούω.

enim causam jam significasse, quod nollet esse πρὸς θεῶν ἀσεβὴς, et sibi hactenus repugnare. Scilicet hæc referenda puto ad universum Tissaphernis consilium Græcos redeuntes servandi, quod statim post pugnam cepisse videri vult, antequam σπονδαὶ jurejurando fuissent firmatæ.

τοῦ τοῖς] Paris. Eton. τὸ τοῖς habent. Deinceps εὐεργεσίας est in Eton. quod cum Leonclaviana dedit Welsiana. Idem Eton. μισθοδοσίας habet.

23. ἔσεσθε] Vulgatum ἔστε nullo modo ferendum correxi, quod tamen Interpretes omnes præterierunt.

τὴν δ' ἐπὶ τῇ καρδίᾳ] Durius merito dictum videtur Weiskio, et significare *spiritum regium e potentia regia natum.* De tiara recta compara Cyrop. viii. 3, 13. Simile quid dicere liceret uso veteri dicto poetæ apud Stobæum Serm. 106. ubi gubernator ait: εὖ ἴσθι, Ποσειδῶν, ὅτι ὀρθὰν τὰν ναῦν καταδώσω, quod Seneca Epist. 85. vertit: *Neptune, nunquam hanc navem nisi rectam perducam in portum.* Igitur licebit alicui dicere: *Neptune, si mihi navem hanc rectam perducere minus licebit, mentem certe rectam servabo.* Ad hunc modum Tissaphernes dicere videtur: *Quodsi regi soli tiaram rectam gerere licet, ego vero vobis adjuvantibus animum erectum gerere non minus potero.*

25. ἐν τῷ ἐμφανεῖ] Huc pertinet locus Diodori ex lacuna reliquus: ἄλλοις γε ἡγεμόσιν ἐλθεῖν καὶ κατὰ πρόσωπον ἀκοῦσαι τῶν λόγων. διόπερ οἵ τε στρατηγοὶ σχεδὸν ἅπαντες μετὰ Κλεάρχου καὶ τῶν λοχαγῶν ὡς εἴκοσι πρὸς Τισσαφέρνην ἦλθον· καὶ στρατιωτῶν δὲ πρὸς ἀγορὰν ἐλθεῖν βουλόμενοι ἠκολούθησαν ὡς διακόσιοι. Aliunde Polyænus vii. 18. Τισσαφέρνης πρὸς Κλέαρχον ἐσπείσατο παρακαθισάμενος τὰς παλλακίδας· τὰς δὲ αὐτὰς σπονδὰς ἔφη ἐθέλειν ποιεῖσθαι καὶ πρὸς τοὺς λοιποὺς ἡγεμόνας. ἧκον οἱ λοιποὶ, Πρόξενος Βοιώτιος, Μένων Θετταλὸς, Ἄγις (recte vulgata Ἀγίας), Σωκράτης Ἀχαιός· εἵποντο τούτοις λοχαγοὶ καὶ στρατιῶται διακόσιοι. Τισσαφέρνης τοὺς μὲν στρατηγοὺς δήσας ἔπεμψεν ὡς βασιλέα, τοὺς δὲ ἄλλους ἀπέκτεινεν αὐτὸς πάντας.

Ἐκ τούτων δὴ τῶν λόγων ὁ Τισσαφέρνης φιλοφρονούμε- 27
νος τότε μὲν μένειν τε αὐτὸν ἐκέλευσε καὶ σύνδειπνον
ἐποιήσατο· τῇ δ' ὑστεραίᾳ Κλέαρχος, ἐλθὼν ἐπὶ τὸ
στρατόπεδον, δῆλός τε ἦν πάνυ φιλικῶς οἰόμενος διακεῖ-
σθαι τῷ Τισσαφέρνει, καὶ ἔλεγεν, ἃ ἐκεῖνος ἀπήγγελ-
λεν· ἔφη τε χρῆναι ἰέναι παρὰ Τισσαφέρνει, οὓς ἐκέ-
λευσε, καὶ οἳ ἂν ἐξελεγχθῶσι διαβάλλοντες τῶν Ἑλλή-
νων, ὡς προδότας αὐτοὺς καὶ κακόνους τοῖς Ἕλλησιν
ὄντας τιμωρηθῆναι. Ὑπώπτευε δὴ, εἶναι τὸν διαβάλ- 28
λοντα Μένωνα· εἰδὼς αὐτὸν καὶ συγγεγενημένον Τισσα-
φέρνει μετὰ Ἀριαίου, καὶ στασιάζοντα αὐτῷ καὶ ἐπι-
βουλεύοντα [αὐτῷ,] ὅπως, τὸ στράτευμα ἅπαν πρὸς ἑαυ-
τὸν λαβὼν, φίλος ᾖ Τισσαφέρνει. Ἐβούλετο δὲ καὶ ὁ 29
Κλέαρχος ἅπαν τὸ στράτευμα πρὸς ἑαυτὸν ἔχειν τὴν
γνώμην, καὶ τοὺς παραλυποῦντας ἐκποδὼν εἶναι. Τῶν
δὲ στρατιωτῶν ἀντέλεγόν τινες αὐτῷ, μὴ ἰέναι πάντας

27. φιλικῶς οἰόμενος διακεῖσθαι] Weiske monet non recte verti: *amico esse animo adversus Tissaphernem*, sive *amicum ejus esse*. Ita enim participium οἰόμενος negligi. Esse igitur ait *amari a Tissapherne*. Addit: *rarius est διακεῖσθαι de externa conditione, sed tamen hic obtinet*. Miror ad externam conditionem referri, si quis ametur ab aliquo. Verum tamen esse, quod ait διακεῖσθαι etiam de externa dici conditione, firmat locus infra vii. 3, 17. ἢν οὖν σωφρονῆτε, τούτῳ δώσετε ὅ τι ἄγετε, καὶ ἄμεινον ὑμῖν διακείσεται, ἢ ἐὰν Μηδόκῳ τῷ πρόσω οἰκοῦντι δῶτε. Malim tamen h. l. τὸν Τισσαφέρνην scriptum. De suo enim in Tissaphernem animo non dubitabat Clearchus, sed de Tissaphernis benevolentia opinabatur, falso ille quidem. Præterea locus alter Xenophontis vii. 3, 17. non satis vel aptus vel adeo sanus esse videtur. Videtur enim Xenophon ibi potius κείσεται quam διακείσεται scripsisse. Reperi tamen in Platonis Lachete p. 182. locum, qui conditionem hominis externam etiam significare videtur, sed diversa structura. Ita enim Laches de Socrate, a quo discere paratum se esse affirmat, judicat: οὕτω σὺ παρ' ἐμοὶ διάκεισαι ἀπ' ἐκείνης τῆς ἡμέρας, ᾗ μετ' ἐμοῦ συνδιεκινδύνευες καὶ ἔδωκας σαυτοῦ πεῖραν τῆς ἀρετῆς. quod vertunt: *sic certe erga te affectus sum*. Malim: *tale meum de te judicium est, ita de te et tua virtute existimo, talem opinionem de te concepi* &c.

παρὰ Τισσαφέρνει] Equidem παρὰ Τισσαφέρνην præfero.

28. Μένωνα] Ctesias Photii p. 64. Κλέαρχος—καὶ Μένων ἀεὶ διάφοροι ἀλλήλοις ἐτύγχανον, διότι τῷ μὲν Κλεάρχῳ ἅπαντα ὁ Κῦρος συνεβούλευε, τοῦ δὲ Μένωνος λόγος οὐδεὶς ἦν.

[αὐτῷ,] ὅπως] Pronomen a Paris. et Eton. omissum præeunte Zeunio seclusi.

29. ἀντέλεγόν τινες] Excerpta Ctesiæ cap. 60. ὡς Τισσαφέρνης ἐπιβουλεύει τοῖς Ἕλλησι, καὶ προσεταιρισάμενος Μένωνα τὸν Θετταλὸν δι' αὐτοῦ Κλέαρχον καὶ τοὺς ἄλλους στρατηγοὺς ἀπάτῃ καὶ ὅρκοις ἐχειρώσατο, τοῦ Κλεάρχου καὶ

τοὺς λοχαγοὺς καὶ στρατηγοὺς, μηδὲ πιστεύειν Τισσα-
30 φέρνει. Ὁ δὲ Κλέαρχος ἰσχυρῶς κατέτεινεν, ἔστε διε-
πράξατο, πέντε μὲν στρατηγοὺς ἰέναι, εἴκοσι δὲ λοχα-
γούς· συνηκολούθησαν δὲ, ὡς εἰς ἀγορὰν, καὶ τῶν ἄλλων
στρατιωτῶν ὡς διακόσιοι.
31 Ἐπεὶ δ' ἦσαν ἐπὶ ταῖς θύραις Τισσαφέρνους, οἱ μὲν
στρατηγοὶ παρεκλήθησαν εἴσω, Πρόξενος Βοιώτιος, Μέ-
νων Θετταλὸς, Ἀγίας Ἀρκὰς, Κλέαρχος Λάκων, Σω-
32 κράτης Ἀχαιός· οἱ δὲ λοχαγοὶ ἐπὶ θύραις ἔμενον. Οὐ
πολλῷ δ' ὕστερον ἀπὸ τοῦ αὐτοῦ σημείου οἵ τε ἔνδον
συνελαμβάνοντο, καὶ οἱ ἔξω κατεκόπησαν. Μετὰ δὲ
ταῦτα τῶν βαρβάρων τινὲς ἱππέων, διὰ τοῦ πεδίου ἐλαύ-
νοντες, ᾧτινι ἐντυγχάνοιεν Ἕλληνι ἢ δούλῳ ἢ ἐλευθέρῳ,
33 πάντας ἔκτεινον. Οἱ δὲ Ἕλληνες τήν τε ἱππασίαν αὐ-
τῶν ἐθαύμαζον, ἐκ τοῦ στρατοπέδου ὁρῶντες, καὶ, ὅ τι
ἐποίουν, ἠμφιγνόουν, πρὶν Νίκαρχος Ἀρκὰς ἧκε φεύγων,
τετρωμένος εἰς τὴν γαστέρα, καὶ τὰ ἔντερα ἐν ταῖς χερσὶν
34 ἔχων, καὶ εἶπε πάντα τὰ γεγενημένα. Ἐκ τούτου δὴ
οἱ Ἕλληνες ἔθεον ἐπὶ τὰ ὅπλα πάντες ἐκπεπληγμένοι,
καὶ νομίζοντες, αὐτίκα ἥξειν αὐτοὺς ἐπὶ τὸ στρατόπεδον.
35 Οἱ δὲ πάντες μὲν οὐκ ἦλθον, Ἀριαῖος δὲ καὶ Ἀρτάοζος

προειδομένου καὶ ἀποκρουομένου τὴν ἐπιβουλήν· ἀλλὰ τό τε πλῆθος διὰ Μένωνος ἀπατηθὲν κατηνάγκασε καὶ ἄκοντα Κλέαρχον πρὸς Τισσαφέρνην παραγενέσθαι, καὶ Πρόξενος ὁ Βοιώτιος αὐτὸς ἤδη προαλοὺς ἀπάτῃ συμπαρῄει. In quibus proditionis crimen vides pariter in Menonem conferri; cetera diversa sunt.

30. ἔστε] Edd. vett. Guelf. ἔστ' ἂν habent. Deinceps πέντε μὲν γὰρ Guelf.

31. θύραις] Eton. liber θύραις ταῖς habet, non inepte.

εἴσω] Diodorus xiv. 26. εἰς τὴν σκηνὴν—πρὸς ταῖς θύραις διέτριβον.

32. σημείου] Diodorus: καὶ μετ' ὀλίγον ἐκ τῆς Τισσαφέρνου σκηνῆς ἀρθείσης φοινικίδος.

ἐντυγχάνοιεν] Margo Steph. ἐντύχοιεν. Deinceps Ἑλλήνων στρατηγὸς ἢ dat Etonensis liber.

33. ἠμφιγνόουν] Liber Paris. ἠμφηγνόουν habet. Videtur igitur librarius cum Ammonio derivasse ab ἀμφαγνοέω.

Νίκαρχος] Diodorus: ἄλλοι δὲ τοὺς ἐπὶ τὴν ἀγορὰν ἥκοντας τῶν στρατιωτῶν ἀνῄρουν, ἐξ ὧν εἷς φυγὼν εἰς τὴν παρεμβολὴν ἐδήλωσε τὴν συμφοράν.

34. καὶ νομίζοντες] Male Guelf. καὶ omittit.

35. Ἀρτάοζος] Castalio Ἀρτάβαζος edidit. Cf. ad ii. 4, 16. Deinceps

καὶ Μιθριδάτης, οἳ ἦσαν Κύρῳ πιστότατοι· ὁ δὲ τῶν Ἑλλήνων ἑρμηνεὺς ἔφη καὶ τὸν Τισσαφέρνους ἀδελφὸν σὺν αὐτοῖς ὁρᾷν καὶ γιγνώσκειν· συνηκολούθουν δὲ καὶ ἄλλοι Περσῶν τεθωρακισμένοι εἰς τριακοσίους. Οὗτοι, 36
ἐπεὶ ἐγγὺς ἦσαν, προσελθεῖν ἐκέλευον εἴ τις εἴη τῶν Ἑλλήνων ἢ στρατηγὸς, ἢ λοχαγὸς, ἵνα ἀπαγγείλωσι τὰ παρὰ βασιλέως. Μετὰ ταῦτα ἐξῆλθον τῶν Ἑλλή- 37
νων φυλαττόμενοι στρατηγοὶ μὲν, Κλεάνωρ Ὀρχομένιος καὶ Σοφαίνετος Στυμφάλιος, σὺν αὐτοῖς δὲ Ξενοφῶν Ἀθηναῖος, ὅπως μάθῃ τὰ περὶ Προξένου. (Χειρίσοφος δ᾽ ἐτύγχανεν ἀπὼν ἐν κώμῃ τινὶ σὺν ἄλλοις, ἐπισιτιζόμενος.) Ἐπεὶ δ᾽ ἔστησαν εἰς ἐπήκοον, λέγει Ἀριαῖος· 38
Κλέαρχος μὲν, ὦ ἄνδρες Ἕλληνες, ἐπεὶ ἐπιορκῶν τε ἐφάνη καὶ τὰς σπονδὰς λύων, ἔχει τὴν δίκην καὶ τέθνηκε· Πρόξενος δὲ καὶ Μένων, ὅτι κατήγγειλαν αὐτοῦ τὴν ἐπιβουλὴν, ἐν μεγάλῃ τιμῇ εἰσιν· ὑμᾶς δὲ ὁ βασιλεὺς τὰ ὅπλα ἀπαιτεῖ· ἑαυτοῦ γὰρ εἶναι φησὶν, ἐπείπερ Κύρου ἦσαν τοῦ ἐκείνου δούλου.

Πρὸς ταῦτα ἀπεκρίναντο οἱ Ἕλληνες, (ἔλεγε δὲ 39
Κλεάνωρ ὁ Ὀρχομένιος,) Ὦ κάκιστε ἀνθρώπων, Ἀριαῖε, καὶ οἱ ἄλλοι, ὅσοι ἦτε Κύρου φίλοι, οὐκ αἰσχύνεσθε οὔτε θεοὺς οὔτε ἀνθρώπους, οἵτινες, ὀμόσαντες ἡμῖν τοὺς αὐτοὺς φίλους καὶ ἐχθροὺς νομιεῖν, προδόντες ἡμᾶς σὺν Τισσαφέρνει, τῷ ἀθεωτάτῳ τε καὶ πανουργοτάτῳ, τούς

Μιθραδάτης cum Leonclaviana, Welsiana, Hutchinsoniana habet Codex Paris.

ἄλλοι Περσῶν] Edd. vett. Guelf. ἄλλοι πολλοὶ Περσῶν.

36. προσελθεῖν] Ibidem est ἐλθεῖν.

37. ὅπως μάθῃ] Guelf. ὅπως μάθοι habet.

38. λέγει Ἀριαῖος] Paris. dat εἶπεν Ἀριαῖος τάδε.

αὐτοῦ τὴν] Ita margo Steph. cum Paris. Vulgatum αὐτῷ correxit Zeune. Deinceps ἐς μέγα τιμῆς habet margo Steph.

ὁ βασιλεὺς] Articulum ex Paris. Eton. addidit Zeune. Iidem libri mox αὐτοῦ dant pro ἑαυτοῦ.

39. ὁ Ὀρχομένιος] Articulum omittit Juntina cum Guelf. Sequens καὶ οἱ ἄλλοι ex Eton. dedi pro καὶ ἄλλοι. Postea τῷ ἀσθενεστάτῳ habet Eton.

τε ἄνδρας αὐτοὺς, οἷς ὤμνυτε, [ὡς] ἀπολωλέκατε, καὶ, τοὺς ἄλλους ἡμᾶς προδεδωκότες, σὺν τοῖς πολεμίοις ἔρ-
40 χεσθε ἐφ' ἡμᾶς; Ὁ δὲ Ἀριαῖος εἶπε· Κλέαρχος γὰρ πρόσθεν ἐπιβουλεύων φανερὸς ἐγένετο Τισσαφέρνει τε
41 καὶ Ὀρόντα, καὶ πᾶσιν ἡμῖν τοῖς σὺν τούτοις. Ἐπὶ τούτοις δὲ Ξενοφῶν τάδε εἶπε· Κλέαρχος μὲν τοίνυν, εἰ παρὰ τοὺς ὅρκους ἔλυε τὰς σπονδὰς, τὴν δίκην ἔχει· (δίκαιον γὰρ, ἀπόλλυσθαι τοὺς ἐπιορκοῦντας). Πρόξενος δὲ καὶ Μένων ἐπείπερ εἰσὶν ὑμέτεροι μὲν εὐεργέται, ἡμέτεροι δὲ στρατηγοὶ, πέμψατε αὐτοὺς δεῦρο· δῆλον γὰρ, ὅτι, φίλοι γε ὄντες ἀμφοτέροις, πειράσονται καὶ ὑμῖν καὶ
42 ἡμῖν τὰ βέλτιστα συμβουλεύειν. Πρὸς ταῦτα οἱ βάρβαροι, πολὺν χρόνον διαλεχθέντες ἀλλήλοις, ἀπῆλθον οὐδὲν ἀποκρινάμενοι.

CAP. VI.

ΟἹ μὲν δὴ στρατηγοὶ οὕτω ληφθέντες, ἀνήχθησαν ὡς βασιλέα, καὶ ἀποτμηθέντες τὰς κεφαλὰς ἐτελεύτησαν· εἷς μὲν αὐτῶν Κλέαρχος, ὁμολογουμένως ἐκ πάντων, τῶν ἐμπείρως αὐτοῦ ἐχόντων, δόξας γενέσθαι ἀνὴρ καὶ πολε-
2 μικὸς καὶ φιλοπόλεμος ἐσχάτως. Καὶ γὰρ δὴ, ἕως

[ὡς] ἀπολωλέκατε] Vulgatum ὡς Leonclavius pro ὅτι dictum interpretatus est, Stephanus in ὅμως mutatum maluit. Abresch Auctar. Dilucid. Thucyd. p. 416. ante καὶ προδεδωκότες intelligendum οὕτω censuit. Larcherus ὡς in Codice Regio A. omissum delendum censuit, probante Porsono. Zeune in ὡς, pro οὕτως, mutavit, quem secutus Weiske malebat tamen ὡς πολεμίους scriptum. Equidem cum Larchero et Porsono sentiens ὡς seclusi.

καὶ τοὺς ἄλλους ἡμᾶς προδεδωκότες] Neque hæc sana videntur Weiskio, causa suspicionis non edita. Certe supervacanea hæc verba videntur esse post illa superiora προδόντες ἡμᾶς. Sequi igitur debuisse videtur: καὶ νῦν ἐφ' ἡμᾶς τοὺς ἄλλους σὺν τοῖς πολεμίοις ἔρχεσθε.

40. γὰρ πρόσθεν] Ex more Xenophonteo γὰρ καὶ πρόσθεν scribendum censeo.

41. ὑμέτεροι μὲν—ἡμέτεροι δὲ] Ita margo Steph. Paris. Eton. Vulgabatur antea ὑμέτεροί τε—ἡμέτεροί τε.

φίλοι γε] Guelf. γε φίλοι. Post ἀμφοτέροις comma recte reposuit Weiske male antea positum post ὄντες.

42. ἀποκρινάμενοι] Recepi Castalionis scripturam in locum vulgati ἀποκρινόμενοι.

μὲν πόλεμος ἦν τοῖς Λακεδαιμονίοις πρὸς τοὺς Ἀθηναίους, παρέμεινεν· ἐπεὶ δ' εἰρήνη ἐγένετο, πείσας τὴν αὑτοῦ πόλιν, ὡς οἱ Θρᾶκες ἀδικοῦσι τοὺς Ἕλληνας, καὶ διαπραξάμενος ὡς ἐδύνατο παρὰ τῶν Ἐφόρων, ἐξέπλει, ὡς πολεμήσων τοῖς ὑπὲρ Χεῤῥονήσου καὶ Πειρίνθου Θρᾳξίν. 3 Ἐπεὶ δὲ μεταγνόντες πως οἱ Ἔφοροι, ἤδη ἔξω ὄντος αὐτοῦ, ἀποστρέφειν αὐτὸν ἐπειρῶντο ἐξ Ἰσθμοῦ, ἐνταῦθα

2. πρὸς τοὺς Ἀθηναίους] Articulum omittunt Edd. vett. Guelf. De Clearcho compara Hellenica i. 1, 25. et i. 3, 10. seqq.

παρέμεινεν] *apud suos constanter mansit*, interpretantur, quod vereor ut cum Hellenicis conciliari possit, i. 1, 36. ubi Clearchus Ramphii filius, si idem est, Byzantium et Chalcedonem mittitur ab Agide rege, unde allatum Atheniensibus commeatum interciperet. Iterum ibidem i. 3, 15. Byzantii harmostes traditur Clearchus abiisse ad Pharnabazum, dum Byzantium Alcibiadi proderetur. Igitur verbum παραμένειν h. l. adjunctam notionem *in fide et obsequio manendi* habere videtur. Quanquam statim sequitur ἐξέπλει, quod ei oppositum esse videtur; sed sequitur etiam οὐκέτι πείθεται, quod licebit forte ad παραμένειν referre. Difficultatem verbi nemo Interpretum attigit.

τοὺς Ἕλληνας] Chersonesum incolentes. Cf. i. 3, 4.

ὡς ἐδύνατο] Weiske interpretatur *maxima dedita opera*. Sed græce id ὡς μάλιστα ἐδύνατο dicendum fuisset. Xenophon igitur leviter tangere voluisse videtur injustum Clearchi factum.

3. ἐξ Ἰσθμοῦ] *Isthmum, quo Chersonesus Thracica cum continente copulatur*, interpretatur Brodæus. Sed recte Corinthium intelligendum censuit Zeune et Weiske. Enimvero ait Weiske rem repugnare vel ita non modo Diodori xiv. 12. et Polyæni ii. 2. narrationibus, sed etiam ipsius Xenophontis in H. Gr. i. 1, 35. et i. 3, 15. e quibus Clearchum ab Agide rege ἁρμοστὴν Byzantium missum, nec statim revocatum esse pateat, sed damnatum demum propter tyrannidem ibi occupatam. Quam difficultatem vir doctus in Tractatu de æstimanda Cyri Expeditione p. xvi. ita expediebat, uti diceret, credere licere, dissensisse inter se regem Lacedæmoniorum et Ephoros, et a rege missum Clearchum jussu Ephororum revocatum esse: nihil autem minus iter institutum perfecisse, regis et amicorum suorum gratia fretum.

Miror viro docto pugnare visam esse narrationem Xenophontis cum Hellenicis. Nam quæ Historia græca refert, pertinent ad Olympiadis 92. annum extremum, quo bellum Peloponnesiacum adhuc fervebat. Contra quæ Anabasis narrat, ad tempora inter pacem Olympiadis 94. anno primo compositam et bellum Corinthiacum media referenda sunt. Quod ait Diodorus xiv. 13. Clearchum Byzantiis auxilia contra Thraces petentibus missum a Lacedæmoniis tyrannidem tandem Byzantii exercuisse; hinc submisso Panthoide ejectum et tandem ad Selymbriam victum aufugisse in Ioniam ad Cyrum; id ille refert ad Olympiadis 94. annum 4. In qua narratione insunt quædam, quæ cum Xenophontea conciliari aliter non possunt, nisi ut statuamus, post pacem Olympiadis 94. 1. missum Clearchum perrexisse iter Byzantium institutum, quanquam mox revocatum, dum adhuc in Isthmo Corinthiaco morabatur. Cum imperio non paruisset, Panthoidem submissum ejecisse et tandem vicisse Clearchum, qui postea bellum cum Thracibus gerens oberrasse videtur. Quod ait Xenophon, Clearchum ut contumacem capitis damnatum fuisse a magistratibus Spartanis, id quidem ex ipsa antece-

οὐκέτι πείθεται, ἀλλ' ᾤχετο πλέων εἰς Ἑλλήσποντον.
4 Ἐκ τούτου καὶ ἐθανατώθη ὑπὸ τῶν ἐν τῇ Σπάρτῃ τελῶν,
ὡς ἀπειθῶν. Ἤδη δὲ φυγὰς ὤν, ἔρχεται πρὸς Κῦρον,
καὶ ὁποίοις μὲν λόγοις ἔπεισε Κῦρον, ἀλλαχῇ γέγρα-
5 πται· δίδωσι δ' αὐτῷ Κῦρος μυρίους δαρεικούς· ὁ δὲ λα-
βών, οὐκ ἐπὶ ῥᾳθυμίαν ἐτράπετο, ἀλλ' ἀπὸ τούτων τῶν
χρημάτων συλλέξας στράτευμα, ἐπολέμει τοῖς Θρᾳξί·
καὶ μάχῃ τε ἐνίκησε, καὶ ἀπὸ τούτου ἔφερε καὶ ἦγεν αὐ-
τούς· καὶ πολεμῶν διεγένετο, μέχρις οὗ Κῦρος ἐδεήθη
τοῦ στρατεύματος· τότε δ' ἀπῆλθεν, ὡς σὺν ἐκείνῳ αὖ
πολεμήσων.
6 Ταῦτα οὖν φιλοπολέμου δοκεῖ ἀνδρὸς ἔργα εἶναι, ὅστις,

dente narratione consequitur; sed difficulter cum aliis aliorum narrationibus conciliatur. Ita Polyænus ii. 2, 7. narrat, Clearchum, cum defecissent Byzantii, ab Ephoris multatum (ζημιωθέντα) cum quatuor navibus Lampsacum abiisse; ibi cum moraretur, Byzantios Clearchi auxilium contra Thraces petiisse; Clearchum tandem subvenisse, sed occisis Byzantiorum ducibus urbem occupasse. Hinc apparet, nullum alium ἁρμοστὴν Byzantiis Lacedæmonium adhuc fuisse ab Ephoris submissum, cum Clearchus urbem occuparet; et Byzantiorum defectum videtur eum intelligere Polyænus, quo Alcibiadi fuit oppidum deditum Olympiadis 92. anno 4. Clearchus ob neglectam urbis custodiam ζημιωθεὶς, pecunia multatus fuisse tum videtur. Postquam in urbem rediit, bellum cum Thracibus gessit, et traxit, quanquam Thraces missis legatis pacem petiissent. Polyænus enim addit: ὁ δὲ τὴν εἰρήνην ἐπιζήμιον ἡγούμενος: quod plane cum Xenophontis narratione de Clearcho convenit. Sed quod Plutarchus Artax. c. 6. narrat: Λακεδαιμόνιοι μὲν οὖν σκυτάλην πρὸς Κλέαρχον ἀπέστειλαν, ὑπηρετεῖν Κύρῳ πάντα κελεύοντες: id a Ctesia traductum, ut videtur, difficillime cum Xenophontis relatione conciliatur. Clearchum exsulem jam et damnatum capitis innotuisse Cyro, et partim ejus pecunia partim ab urbibus Hellespontiacis sublevatum bellum cum Thracibus gessisse refert Xenophon supra i. 1, 9.

De Isthmo aliter sensi olim ad Hellenica iii. 2, 10. ubi Xenophon Chersonesum vocat Isthmum; sed h. l. statim sequitur ὑπὲρ Χεῤῥονήσου. Itaque Corinthiacum Isthmum intelligere est necesse.

4. ὁποίοις μὲν λόγοις ἔπεισε] Clearchum Cyro auctorem fuisse belli suscipiendi, supra i. 1, 9. et i. 3, 3. seqq. (ad quos locos Zeune lectorem ablegat) non legi, monet Weiske. Sed egregie fallitur. Xenophon enim minime voluit significare, Clearchum Cyro auctorem fuisse belli contra fratrem suscipiendi, sed verbum ἔπεισε refertur ad sequentia: δίδωσι δ' αὐτῷ Κῦρος μυρίους δαρεικούς. Pecuniam quibus usibus petierit Clearchus et subministraverit Cyrus, satis manifesta oratione exposuit Xenophon i. 1, 9.

ἀλλαχῇ] Vulgatum ἀλλαχοῦ correxi. Forma altera est Attica, eademque est infra vii. 3, 47. ubi pariter margo Steph. Paris. Eton. habent ἄλλῃ, ut h. l.

6. δοκεῖ] Eton. μοι δοκεῖ habet. Sequens εἰρήνην ἄγειν ex libro Brodæi, Paris. et margine Steph. adscivi in locum vulgati ἔχειν. Similiter iii. 1,

ἐξὸν μὲν εἰρήνην ἄγειν ἄνευ αἰσχύνης καὶ βλάβης, αἱρεῖ-
ται πολεμεῖν· ἐξὸν δὲ ῥαθυμεῖν, βούλεται πονεῖν, ὥστε
πολεμεῖν· ἐξὸν δὲ χρήματα ἔχειν ἀκινδύνως, αἱρεῖται, πο-
λεμῶν μείονα ταῦτα ποιεῖν. Ἐκεῖνος δὲ, ὥσπερ εἰς παι-
δικὰ ἢ εἰς ἄλλην τινὰ ἡδονὴν, ἤθελε δαπανᾷν εἰς πόλε-
μον· οὕτω μὲν οὖν φιλοπόλεμος ἦν. Πολεμικὸς δὲ αὖ 7
ταύτῃ εἶναι ἐδόκει, ὅτι φιλοκίνδυνός τε ἦν, καὶ ἡμέρας
καὶ νυκτὸς ἄγων ἐπὶ τοὺς πολεμίους, καὶ ἐν τοῖς δεινοῖς
φρόνιμος, ὡς οἱ παρόντες πανταχοῦ πάντες ὡμολόγουν.
Καὶ ἀρχικὸς δὲ ἐλέγετο εἶναι, ὡς δυνατὸν ἐκ τοῦ τοιούτου 8
τρόπου, οἷον καὶ ἐκεῖνος εἶχεν. Ἱκανὸς μὲν γὰρ, ὥς τις
καὶ ἄλλος, φροντίζειν ἦν, ὅπως ἕξει ἡ στρατιὰ αὐτοῦ τὰ
ἐπιτήδεια, καὶ παρασκευάζειν ταῦτα· ἱκανὸς δὲ καὶ ἐμ-
ποιῆσαι τοῖς παροῦσιν, ὡς πιστέον εἴη Κλεάρχῳ. Τοῦτο 9
δὲ ἐποίει ἐκ τοῦ χαλεπὸς εἶναι. Καὶ γὰρ ὁρᾷν στυγνὸς
ἦν, καὶ τῇ φωνῇ τραχύς· ἐκόλαζέ τε αἰεὶ ἰσχυρῶς, καὶ

14. ἡσυχίαν ἄγειν pro ἔχειν dedi ex margine Steph. et Paris.

ὥστε πολεμεῖν] Hæc liber Eton. omisit: et potest de veritate hujus membri dubitari.

οὕτω μὲν οὖν] Ex Guelf. οὖν additum a Zeunio et Weiskio, mihi dubitationem adhuc aliquam habere videbatur.

7. Πολεμικὸς δὲ αὖ] In Edd. vett. et Guelf. αὖ deest.

καὶ ἡμέρας καὶ] Ex Castal. ἡμέρας τε καὶ adscivit Zeune, male. Prius enim καὶ pertinet ad antecedens τε; et statim repetita eadem formula τε—καὶ displicet. Pro ἄγων male Aldina ἄγει habet.

8. ὡς δυνατὸν ἐκ τοῦ τοιούτου τρόπου] Vulgata interpunctio, quæ comma post δυνατὸν ponit, fefellit interpretes, ut monui in Epistola ad Schäferum ad Symposii iv. 57. Verte: *Dicebatur etiam ad imperandum idoneus esse, quantum scilicet licet per ingenium ejusmodi et mores, quibus ille erat præditus.* Sic statim sequitur τοῦτο δὲ ἐποίει ἐκ τοῦ χαλεπὸς εἶναι, ubi exspectabas τῷ χ. εἶναι. Thucydides vi. 17. ὅτι δὲ ἕκαστος ἢ ἐκ τοῦ λέγων πείθειν οἴεται ἢ στασιάζων—λαβὼν—ἄλλην γῆν οἰκήσειν, ubi similiter exspectabas ἢ τῷ λέγων πείθειν.

ὥς τις καὶ ἄλλος] Ita est etiam supra i. 3, 15. Sed vulgo et in margine Steph. Guelf. Eton. est ὡς εἴ τις, quod Stephanus mutavit in εἴ τις. Utrumque inepte posuit Zeune, mecum facit Weiske; quanquam, si Stephanus auctoritatem libri Paris. ut videtur, secutus est, ipse εἴ τις scriptum malim.

ἕξει] Steph. Paris. Eton. ἔχοι habent. Sequens ὡς πιστέον cum Zeunio dedi præeunte Brodæo et firmante margine Villois. Edd. principes, Guelf. Eton. habent ὡς ἀπιστέον, Stephani prior et Leoncl. ὡς οὐκ ἀπειστέον, Steph. sec. ὡς πειστέον, Hutchinson et Weiske ὡς οὐκ ἀπιστέον ediderunt. Weiske tamen malebat ὡς ἄρα πιστέον. Sed ἄρα hic locum non habet.

ὀργῇ ἐνίοτε, ὥστε καὶ αὐτῷ μεταμέλειν ἔσθ' ὅτε. Καὶ γνώμῃ δὲ ἐκόλαζεν· ἀκολάστου γὰρ στρατεύματος οὐδὲν
10 ἡγεῖτο ὄφελος εἶναι. Ἀλλὰ καὶ λέγειν αὐτὸν ἔφασαν, ὡς δέοι τὸν στρατιώτην φοβεῖσθαι μᾶλλον τὸν ἄρχοντα, ἢ τοὺς πολεμίους, εἰ μέλλοι ἢ φυλακὰς φυλάξειν, ἢ φίλων ἀφέξεσθαι, ἢ ἀπροφασίστως ἰέναι πρὸς τοὺς πο-
11 λεμίους. Ἐν μὲν οὖν τοῖς δεινοῖς ἤθελον αὐτοῦ ἀκούειν σφόδρα, καὶ οὐκ ἄλλον ᾑροῦντο οἱ στρατιῶται. Καὶ γὰρ τὸ στυγνὸν τότε φαιδρὸν αὐτοῦ ἐν τοῖς προσώποις ἔφασαν

9. *μεταμέλειν*] Muretus conjiciebat scribendum: *μεταμέλειν· ἔσθ' ὅτε δὲ καὶ γνώμῃ*; sententia ab h. l. plane aliena. *γνώμῃ* enim h. l. est *cum ratione*, ut interpretatur Weiske.

[De Clearcho est: *ἐκόλαζέ τε αἰεὶ ἰσχυρῶς, καὶ ὀργῇ ἐνίοτε, ὥστε καὶ αὐτῷ μεταμέλειν ἔσθ' ὅτε· καὶ γνώμῃ δὲ ἐκόλαζε· ἀκολάστου γὰρ στρατεύματος οὐδὲν ἡγεῖτο ὄφελος εἶναι.* In hoc loco adhæsit Muretus, vir egregius, ejusque emendationem proposuit nulla addita ratione, unde cognosci possit, quid ejus animum vel in ipsis verbis vel in eorum positione et structura offenderit. Offensum positione suspicor, et repetita formula *ἐνίοτε* et *ἔσθ' ὅτε* in eodem orationis membro. Sed id membrum duabus sententiis constat, quarum unaquæque commode adjunctum habet *ἐνίοτε* vel simile vocabulum. Qui enim vultu tristis et voce asper, tanquam Clearchus, imperio suo subjectos semper graviter castigat, non semper irascitur simul; nec si quando irascitur, indignatione rei adeo incandescit ubique, ut ad pœnitentiæ necessitatem provehatur. Verum vir gravis et prudens nisi cum ratione neminem castigat, quæ nisi in severitate tamen in causa pœnæ apparere debet. Hunc equidem verborum sensum in vulgari interpunctione video et unice probo. Muretus contra Clearchum facit non ubique ratione et prudentia in castigando usum, sed interdum modo; quod addita sententia *ἀκολάστου—ὄφελος εἶναι* ferre non videtur, uti ipsa hæc emendatio multum de laudibus Clearchi detrahit, adeoque id ipsum, quod vel solum vel maxime in imperatoria virtute solet spectari. Has ego ratiunculas collectas posui, quoniam video nuper juvenem doctum in eandem conjecturam incidisse. Causam offensionis nec ipse edidit, nec equidem reperire potui. Is est *Heusde* in Specimine Platonico p. 54. cujus tamen ratio emendandi minus commode procedit. Nam is servata particula *δὲ* verba ita disposita voluit: *μεταμέλειν· ἔσθ' ὅτε καὶ γνώμῃ δὲ ἐκόλαζε.* Quotiescunque Xenophon formula *καὶ-δὲ* i. e. *et vero* utitur, quod facit sæpissime, copula *καὶ* semper membrum orationis exorditur. Quod cum bene animadversum teneret Muretus, recte is alteram particulam *δὲ* omisit. Denique si qui forte positione formulæ *ἔσθ' ὅτε* extrema offendantur, eorum fastidio occurrit Hutchinson et Zeune annotato loco Æliani V. H. iv. 11. *αἵσπερ οὖν ἐχρῆτο Σωκράτης ἔστιν ὅτε. Ex Epistola.*]

10. *φοβεῖσθαι*] Frontini locum posuit Hutchinson iv. 1, 17. *Clearchus dux Lacedæmoniorum exercitui dicebat, imperatorem potius quam hostem metui debere.*

φυλακὰς] Edd. vett. Guelf. Stobæus p. 360. *φύλακας* habent.

ἢ ἀπροφασίστως] Ita cum Stobæo Paris. Eton. *μὴ* Ald. Junt. Guelf. Steph. *ἢ μὴ* Castalio, *καὶ μὴ* margo Villois.

11. *καὶ γὰρ τὸ*] Ab Edd. vett. Guelf. *γὰρ* abest: deinceps *σφοδρὸν* habet margo Villois. ex Codice 1. pro *φαιδρόν*.

ἐν τοῖς προσώποις] Liber Brodæi, Paris. Eton. Codex 2. 6. in margine

φαίνεσθαι, καὶ τὸ χαλεπὸν, ἐῤῥωμένον πρὸς τοὺς πολε-
μίους ἐδόκει εἶναι· ὥστε σωτήριον καὶ οὐκέτι χαλεπὸν
ἐφαίνετο. Ὅτε δ' ἔξω τοῦ δεινοῦ γένοιντο, καὶ ἐξείη πρὸς 12
ἄλλους ἀρχομένους ἀπιέναι, πολλοὶ αὐτὸν ἀπέλειπον· τὸ
γὰρ ἐπίχαρι οὐκ εἶχεν, ἀλλὰ ἀεὶ χαλεπὸς καὶ ὠμὸς ἦν·
ὥστε διέκειντο πρὸς αὐτὸν οἱ στρατιῶται, ὥσπερ παῖδες
πρὸς διδάσκαλον. Καὶ γὰρ οὖν φιλίᾳ μὲν καὶ εὐνοίᾳ 13
ἑπομένους οὐδέποτ' εἶχεν· οἵτινες δὲ ἢ ὑπὸ πόλεως τετα-
γμένοι, ἢ ὑπὸ τοῦ δεῖσθαι, ἢ ἄλλῃ τινὶ ἀνάγκῃ κατεχό-
μενοι παρείησαν αὐτῷ, σφόδρα πειθομένοις ἐχρῆτο. Ἐ- 14
πειδὴ δὲ καὶ ἤρξαντο νικᾷν σὺν αὐτῷ τοὺς πολεμίους,
μεγάλα ἤδη ἦν τὰ χρησίμους ποιοῦντα εἶναι τοὺς σὺν αὐ-
τῷ στρατιώτας· τό τε γὰρ πρὸς τοὺς πολεμίους θαῤῥα-
λέως ἔχειν παρῆν, καὶ τὸ τὴν παρ' ἐκείνου τιμωρίαν φο-
βεῖσθαι, αὐτοὺς εὐτάκτους ἐποίει. Τοιοῦτος μὲν δὴ ἄρ- 15

Villois. habent ἐν τοῖς ἄλλοις προσώποις. Videtur librarius offensus plurali numero προσώποις addidisse ἄλλοις. Plutarchus locum hunc bis laudavit, de Discrimine Amici p. 253. ed. Reiskii et Sympos. i. 4. sed verbis Xenophonteis abstinuit, nisi quod priore in loco τοῦ Κλεάρχου τὸ πρόσωπον habet.

καὶ οὐκέτι] Male Eton. καὶ omittit.

12. τοῦ δεινοῦ] Guelf. τῶν δεινῶν. Sequens ἀρχομένους cum Hutchinsono Larcherus in ἀρχομένοις mutari voluit, repugnante Zeunio. Sed clarior ita fieret oratio, quæ nunc est ambigua.

ἀπέλειπον] Edd. vett. Guelf. Paris. ἀπέλιπον.

13. ὑπὸ τοῦ δεῖσθαι] *egestate adducti* vertunt. Mihi oratio nimis brevis esse videtur.

14. Ἐπειδὴ δὲ καὶ] Eton. liber δὲ καὶ omittit.

τὰ χρησίμους ποιοῦντα εἶναι] Vertunt: *jam inde haud levia quædam erant, quæ milites ejus ad rem bellicam utiles redderent.* In quibus consecutionem sententiarum justam equidem desidero. Nam antea erat: Clearcho semper promtos paruisse omnes, qui vel imperio ejus attributi essent, vel quos egestas vel alia necessitas adjunxisset; voluntarium vero amicitia benevolentiave adductum neminem secutum esse. Subjungit nunc, quid acciderit, posteaquam milites cum Clearcho vincere hostem cœperant. Confidebant scilicet Clearchi ingenio et virtute et hostem contemnebant. Sed additur, eos simul ordinis et disciplinæ observantiores esse factos, eo quod imperatoris iram et pœnam timerent. Jam antea dictum fuit, Clearchum in exigenda militari disciplina fuisse severum, ideoque gravem militibus. Quid igitur nunc disciplinæ observantia cum victoriæ consuetudine conjunctione habet novi argumenti? Videant acutiores! Mihi præterea verbum εἶναι additum displicet.

θαῤῥαλέως] Paris. θαρσαλέως. Deinceps εἶναι pro ἐποίει habent Edd. vett. cum Guelf. ἐποίει est in libro Brodæi et Steph.

χων ἦν· ἄρχεσθαι δ' ὑπὸ ἄλλων οὐ μάλα ἐθέλειν ἐλέγε-
το. Ἦν δὲ, ὅτε ἐτελεύτα, ἀμφὶ τὰ πεντήκοντα ἔτη.
16 Πρόξενος δὲ ὁ Βοιώτιος εὐθὺς μὲν μειράκιον ὢν ἐπεθύ-
μει γενέσθαι ἀνὴρ τὰ μεγάλα πράττειν ἱκανός· καὶ διὰ
ταύτην τὴν ἐπιθυμίαν ἔδωκε Γοργίᾳ ἀργύριον τῷ Λεοντί-
17 νῳ. Ἐπεὶ δὲ συνεγένετο ἐκείνῳ, ἱκανὸς ἤδη νομίσας εἶναι
καὶ ἄρχειν, καὶ, φίλος ὢν τοῖς πρώτοις, μὴ ἡττᾶσθαι
εὐεργετῶν, ἦλθεν εἰς ταύτας τὰς σὺν Κύρῳ πράξεις· καὶ
ᾤετο κτήσεσθαι ἐκ τούτων ὄνομα μέγα, καὶ δύναμιν με-
18 γάλην, καὶ χρήματα πολλά· τούτων δ' ἐπιθυμῶν, σφό-
δρα ἔνδηλον αὖ καὶ τοῦτο εἶχεν, ὅτι τούτων οὐδὲν ἂν θέ-
λοι κτᾶσθαι μετὰ ἀδικίας, ἀλλὰ σὺν τῷ δικαίῳ καὶ
καλῷ ᾤετο δεῖν τούτων τυγχάνειν, ἄνευ δὲ τούτων μή.
19 Ἄρχειν δὲ καλῶν μὲν καὶ ἀγαθῶν δυνατὸς ἦν· οὐ μέντοι
οὔτ' αἰδῶ τοῖς στρατιώταις ἑαυτοῦ οὔτε φόβον ἱκανὸς ἐμ-
ποιῆσαι, ἀλλὰ καὶ ᾐσχύνετο μᾶλλον τοὺς στρατιώτας,
ἢ οἱ ἀρχόμενοι ἐκεῖνον· καὶ φοβούμενος μᾶλλον ἦν φανε-
ρὸς τὸ ἀπεχθάνεσθαι τοῖς στρατιώταις, ἢ οἱ στρατιῶται
20 τὸ ἀπιστεῖν ἐκείνῳ. Ὤετο δὲ ἀρκεῖν πρὸς τὸ ἀρχικὸν εἶ-

16. Γοργίᾳ] Gorgias et Prodicus Thessaliam, Bœotiam et omnem fere Græciam peragrabant ἐπὶ σοφιστείᾳ. In Bœotia (ἐν Βοιωτοῖς) Prodicum Ceum audiisse ipsum Xenophontem refert Philostratus i. c. 12. addens de Xenophonte: δεθέντα — καθιστάντα ἐγγυητὴν τοῦ σώματος. Captivum igitur in Bœotia fuisse Xenophontem ponit; cujus rei memoria etsi nullibi extat, vero tamen simile inde fit, Proxeni Thebani amicitiam et Xenophontis ab hoc initio ortam processisse. Quæritur de prœlio, cui interfuit Xenophon, et in quo captus ad Bœotos fuit traductus. Deliaco prœlio interfuisse, sed in fuga Atheniensium servatum a Socrate narrat Diogenes cum Strabone. Vide dicta in Disput. de Symposio p. 138. Pugna hæc accidit Olympiadis 89. anno 1. Aliud igitur prœlium quærendum est, quod Xenophontem in Bœotorum potestatem redegerit, quod equidem reperire nondum potui.

17. κτήσεσθαι] Edd. vett. Guelf. κτήσασθαι.

18. τούτων δ'] Paris. et Eton. τοσούτων δ' habent.

19. ἱκανὸς] Liber Brodæi, margo Steph. Paris. Eton. δυνατὸς dederunt, quod recepi, ne vocabulum idem bis ponatur. Altero tamen loco mox omittit Eton.

οὔτ' αἰδῶ] Stephanianum οὐδ' αἰδῶ revocavit Weiske, nostrum ex Edd. vett. et Guelf. dedit Zeune, approbat sequens οὔτι φόβον.

ἦν φανερὸς] Edd. vett. Guelf. ἦν ἂν φανερὸς, quod temere non erat spernendum.

ναι καὶ δοκεῖν, τὸν μὲν καλῶς ποιοῦντα ἐπαινεῖν, τὸν δὲ ἀδικοῦντα μὴ ἐπαινεῖν. Τοιγαροῦν αὐτῷ οἱ μὲν καλοὶ κἀγαθοὶ τῶν συνόντων εὖνοι ἦσαν, οἱ δ' ἄδικοι ἐπεβούλευον, ὡς εὐμεταχειρίστῳ ὄντι. Ὅτε δὲ ἀπέθνησκεν, ἦν ἐτῶν ὡς τριάκοντα.

Μένων δὲ ὁ Θετταλὸς δῆλος ἦν ἐπιθυμῶν μὲν πλου- 21
τεῖν ἰσχυρῶς, ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως πλείω λαμβάνοι· ἐπιθυμῶν δὲ τιμᾶσθαι, ἵνα πλείω κερδαίνοι· φίλος τ' ἐβούλετο εἶναι τοῖς μέγιστον δυναμένοις, ἵνα ἀδικῶν μὴ διδοίη δίκην. Ἐπὶ δὲ τὸ κατεργάζεσθαι, ὧν ἐπιθυμοίη, 22
συντομωτάτην ὁδὸν ᾤετο εἶναι διὰ τοῦ ἐπιορκεῖν τε καὶ ψεύδεσθαι καὶ ἐξαπατᾶν· τὸ δὲ ἁπλοῦν τε καὶ ἀληθὲς ἐνόμιζε τὸ αὐτὸ τῷ ἠλιθίῳ εἶναι. Στέργων δὲ φανερὸς μὲν 23
ἦν οὐδένα, ὅτῳ δὲ φαίη φίλος εἶναι, τούτῳ ἔνδηλος ἐγί-

20. ὡς τριάκοντα] Castalio edidit ὡς ἐτῶν τριάκοντα. Ex Proxeni ætate licet forte indicium ætatis Xenophonteæ, cum hæc scriberet, petere. Infra enim iii. 1, 4. Πρόξενος vocatur ἀρχαῖος ξένος Xenophontis, a quo domo (οἴκοθεν) Athenis evocatus ad Cyrum fuerit. Hospitii jus ab utroque contractum fuisse in ipsa Bœotia, suspicatus sum in annotatione supra ad sect. 16. Nescio vero quid spectaverit Ælianus V. H. xiii. 25. καὶ Ξενοφῶντος ἀπήλαυσεν Πρόξενος καὶ Ἀντίγονος Ζήνωνος. Forte extiterunt olim plures de Proxeni et Xenophontis amicitia narrationes, quas si haberemus, facilius esset judicium de ætate Xenophontis.

21. Θετταλὸς] Thucydides, Demosthenes, Diogenes aliique Pharsalium appellant; Suidas, qui hunc totum locum transcripsit, Ἀθηναῖον, quod civitate donatus fuerat ab Atheniensibus, quibus Thessalorum auxiliares copias adduxerat, teste Demosthene adv. Aristocr. p. 686. ed. Reiske. Ctesiæ judicium de homine supra fuit appositum.

μὲν πλούτου] Suidas μὲν omisit, sed posuit Stobæus p. 32. ubi h. l. transscripsit. Deinceps πλουτεῖν dedi ex Paris. et Eton. pro πλούτου, propter sequentes modos infinitos similes. Mecum sentit Zeune.

λαμβάνοι] Suidas cum Stobæo λαμβάνῃ—κερδάνῃ. Equidem vulgatum κερδάνοι cum Porsono in κερδαίνοι mutavi.

μέγιστον] Margo Steph. Paris. Eton. μέγιστα. Deinceps Suidas ἵν' ἀδικῶν μὴ δοίη habet.

22. Ἐπὶ δὲ τὸ] Suidas ἐπὶ τὸ δέ. Sequens ἐνόμιζε dedi suadente Porsono. Edd. vett. Guelf. Eton. Stobæus habent τὸ δὲ ἁπλοῦν τε καὶ ἠλίθιον ἐνομίζετο αὐτῷ ἠλιθίῳ. Suidas l. c. et in ἠλίθιος habet: καὶ ἀληθὲς ἐνομίζετο αὐτῷ ἠλίθιον. Stephanum et marginem Villois. secutus Zeune dedit ἀληθὲς τὸ αὐτὸ τῷ ἠλιθίῳ omisso ἐνομίζετο. Mecum sentit Weiske. In Joannis Stobæi Codice Paris. A. Grotius scriptum reperit: ἁπλοῦν καὶ ἀληθὲς ἐνομίζετο τὸ ἠλίθιον.

23. φανερὸς] Suidas φανερῶς. Sequens ἔνδηλος ἐγίνετο pro ἦν ex Suida et Paris. recepit Zeune. Codex Paris. A. Stobæi ἐν ὅπλοις habet pro ἔνδηλος.

γνετο ἐπιβουλεύων. Καὶ πολεμίου μὲν οὐδενὸς κατεγέλα,
24 τῶν δὲ συνόντων πάντων ὡς καταγελῶν ἀεὶ διελέγετο. Καὶ
τοῖς μὲν τῶν πολεμίων κτήμασιν οὐκ ἐπεβούλευε· (χα-
λεπὸν γὰρ ᾤετο εἶναι, τὰ τῶν φυλαττομένων λαμβάνειν)
τὰ δὲ τῶν φίλων μόνος ᾤετο εἰδέναι ὅτι ῥᾷστον ἀφύ-
25 λακτα λαμβάνειν. Καὶ ὅσους μὲν ἂν αἰσθάνοιτο ἐπι-
όρκους καὶ ἀδίκους, ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο· τοῖς δ'
ὁσίοις καὶ ἀλήθειαν ἀσκοῦσιν ὡς ἀνάνδροις ἐπειρᾶτο χρῆ-
26 σθαι. Ὥσπερ δέ τις ἀγάλλεται ἐπὶ θεοσεβείᾳ, καὶ
ἀληθείᾳ, καὶ δικαιότητι, οὕτω Μένων ἠγάλλετο τῷ ἐξα-
πατᾷν δύνασθαι, τῷ πλάσασθαι ψευδῆ, τῷ φίλους
διαγελᾷν· τὸν δὲ μὴ πανοῦργον τῶν ἀπαιδεύτων ἐνόμιζεν
εἶναι. Καὶ παρ' οἷς μὲν ἐπεχείρει πρωτεύειν φιλίᾳ,
διαβάλλων τοὺς πρώτους, τούτους ᾤετο δεῖν κτήσασθαι.
27 Τὸ δὲ πειθομένους τοὺς στρατιώτας παρέχεσθαι, ἐκ τοῦ
συναδικεῖν αὐτοῖς ἐμηχανᾶτο. Τιμᾶσθαι δὲ καὶ θερα-
πεύεσθαι ἠξίου, ἐπιδεικνύμενος, ὅτι πλεῖστα δύναιτο καὶ

τῶν δὲ συνόντων—διελέγετο] Wyttenbach monet, non accipiendum cum plerisque Interpretibus: *ita agebat ac disserebat cum familiaribus, ac si eos derideret*, quod esset διελέγετο σὺν πᾶσι τοῖς συνοῦσιν ὡς καταγελῶν. Rectius aliquanto Leunclavium: *de iis, quibuscum esset, ita semper loquebatur, ut quos haberet derisui.* Ipse vero interpretatur: *ita sermone et dictis utebatur, ut qui familiares derideret: ita de familiaribus ipse suis loqui solebat, ut qui eos contemneret.* Addit tamen, quod ad hanc rationem pertinere non videtur: διαλέγεσθαι *continet venustam periphrasin simplicioris dictionis* κατεγέλα ἀεὶ πάντων τῶν συνόντων.

24. τὰ δὲ τῶν φίλων] Suidas cum Paris. ἀλλὰ τὰ τῶν φ. deinceps ῥᾷστον ἂν habent margo Steph. Paris. Eton. Ita vero ὅτι abesse debebat.

25. ἂν αἰσθάνοιτο] Vulgatum ᾐσθάνετο ex Paris. Eton. correxit Zeune. Suidas αἰσθάνοιτο habet, quod dedit Weiske, probante Porsono.

26. καὶ ἀληθείᾳ] Hæc omisit Suidas, idem cum Paris. sequens καὶ post οὕτω.

πλάσασθαι] Suidæ πλάσαι probat Porson, comparato Sophocle Ajacis versu 148. Demosth. Philipp. i. p. 38. ed. Paris.

τῶν ἀπαιδεύτων] Ita cum Paris. et Eton. vulgatum ἀπαίδευτον correxit Zeune. Eton. tamen ἀεὶ adjunctum habet.

πρωτεύειν φιλίᾳ, διαβάλλων] Suidas πρωτεύειν, διαβάλλων φιλίαν—πρώτους, τούτῳ habet. τοὺς πρώτους *gratiosissimos quosque* interpretatur Amasæus.

κτήσασθαι] Edd. vett. Guelf. κτήσεσθαι. sed ita δεῖν abesse debebat.

27. τοὺς στρατιώτας] Articulum Suidas omisit. deinceps παρασχέσθαι margo Villois. ex libro 1. 4. annotavit.

ἐπιδεικνύμενος] Suidas ἐπιδεικνύων habet.

ἐθέλοι ἂν ἀδικεῖν. Εὐεργεσίαν δὲ κατέλεγεν, ὁπότε τις
αὐτοῦ ἀφίσταιτο, ὅτι χρώμενος αὐτῷ οὐκ ἀπώλεσεν αὐ-
τόν. Καὶ τὰ μὲν δὴ ἀφανῆ ἔξεστι περὶ αὐτοῦ ψεύδε- 28
σθαι· ἃ δὲ πάντες ἴσασι, τάδ' ἐστί. Παρὰ Ἀρι-
στίππῳ μὲν, ἔτι ὡραῖος ὢν, στρατηγεῖν διεπράξατο τῶν
ξένων· Ἀριαίῳ δὲ, βαρβάρῳ ὄντι, ὅτι μειρακίοις καλοῖς
ἥδετο, οἰκειότατος ἔτι ὡραῖος ὢν ἐγένετο· αὐτὸς δὲ παι-
δικὰ εἶχε Θαρύπαν, ἀγένειος ὢν γενειῶντα. Ἀποθνη- 29
σκόντων δὲ τῶν συστρατηγῶν, ὅτι ἐστράτευσαν ἐπὶ βασι-
λέα σὺν Κύρῳ, τὰ αὐτὰ πεποιηκὼς οὐκ ἀπέθανε· μετὰ
δὲ τὸν τῶν ἄλλων θάνατον στρατηγῶν, τιμωρηθεὶς ὑπὸ
βασιλέως ἀπέθανεν, οὐχ ὥσπερ Κλέαρχος καὶ οἱ ἄλ-
λοι στρατηγοὶ ἀποτμηθέντες τὰς κεφαλάς· (ὅσπερ τά-
χιστος θάνατος δοκεῖ εἶναι) ἀλλὰ ζῶν αἰκισθεὶς ἐνιαυ-
τὸν, ὡς πονηρὸς, λέγεται τῆς τελευτῆς τυχεῖν.

εὐεργεσίαν] Suidas εὐεργεσίας—ὅτε habet. Idem sequens ἀφίσταιτο dedit pro vulgato ἀφίστατο; illam vero scripturam habent Edd. antiquæ, quam Kusteriana, ut sæpius alibi, in vulgatam convertit, testante Porsono.

28. Ἀριστίππῳ]. De quo supra i. 1, 10. De Tharypa mihi non constat. Θαρύπου filium Alcetam facit Pausanias i. 11. Cf. V. D. ad Thucyd. ii. 80.

29. συστρατηγῶν] Ita margo Steph. cum Paris. et Eton. vulgo erat simplex στρατηγῶν in hoc loco.

ὅσπερ τάχιστος] Ita margo Steph. liber Paris. et Eton. cum vulgo esset ὅσπερ κάλλιστος. Edd. vett. ὅπερ κάλλιστον habent.

θάνατος δοκεῖ] Ita margo Steph. Eton. Paris. Vulgo erat θανάτων ἐδόκει.

αἰκισθεὶς] Abscissa fortasse manu aut pede, aut alio modo excarnificatus. Contra Weiskio Xenophon nihil aliud significare voluisse videbatur, nisi Menonem adhuc unum annum apud Artaxerxen vixisse, sed contemtum, nulli muneri præfectum nulloque in numero habitum. Tantum ut πονηρὸν, non ὡς κακοῦργον eum dicere αἰκισθῆναι. Morbo deinde mortuum significari videri ideo, quod opposita sententia, ὅσπερ κάλλιστος θανάτων ἐδόκει εἶναι, morbum potius quam supplicium indicet. Denique, si supplicio fuisset affectus, illud ipsum sententias fuisse suppeditaturum ad graviter loquendum, neque auctorem de eo videri fuisse taciturum. Ad quæ una est responsio, verbum αἰκισθεὶς supplicii genus aliquod non dubie significare. Diodorus xiv. 27. causam servati Menonis tradit: ὅτι ἐδόκει μόνος οὗτος στασιάζων πρὸς τοὺς συμμάχους προδώσειν Ἕλληνας. Quod testimonium aliunde ductum auctoritatem Xenophonteo judicio addit, quod veterum quidam suspectum habuerunt. Marcellinus enim in Vita Thucydidis p. xiv. ed. Bipont. Ξενοφῶν δὲ Μένωνι λοιδορεῖται τῷ Πλάτωνος ἑταίρῳ διὰ τὸν πρὸς Πλάτωνα ζῆλον. Quæ verba repetiit Scholion, quod adscriptum ad sect. 21. extabat in Codice 1. et 3. uti annotavit margo Villois.

λέγεται τῆς τελευτῆς] Articulum

30 Ἀγίας δὲ ὁ Ἀρκὰς, καὶ Σωκράτης ὁ Ἀχαιὸς, καὶ τούτω ἀπεθανέτην· τούτων δὲ οὐδεὶς οὔθ᾽ ὡς ἐν πολέμῳ κακῶν κατεγέλα, οὔτ᾽ ἐς φιλίαν αὐτοὺς ἐμέμφετο· ἤστην τε ἄμφω ἀμφὶ τετταράκοντα ἔτη ἀπὸ γενεᾶς.

τῆς ex libro Paris. addidit Zeune. Sic est infra iii. 2, 7. ἐν τούτοις τῆς τελευτῆς τυγχάνειν.

30. Ἀγίας] Margo Villois. Ἀνυσίας habet. Sequens ἤστην est pro ἦτην, ut συνήστην Memorab. i. 2, 24.

τετταράκοντα] Margo Steph. Paris. Eton. τὰ πέντε καὶ τριάκοντα habent.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ Γ′.

CAPUT I.

ΟΣΑ μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου οἱ Ἕλληνες ἔπραξαν μέχρι τῆς μάχης, καὶ ὅσα, ἐπεὶ Κῦρος ἐτελεύτησεν, ἐγένετο, ἀπιόντων τῶν Ἑλλήνων σὺν Τισσαφέρνει, ἐν ταῖς σπονδαῖς, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται. Ἐπεὶ δὲ οἵ τε στρατηγοὶ συνειλημμένοι ἦσαν, καὶ τῶν 2
λοχαγῶν καὶ τῶν στρατιωτῶν οἱ συνεπόμενοι ἀπολώλεσαν, ἐν πολλῇ δὴ ἀπορίᾳ ἦσαν οἱ Ἕλληνες, ἐνθυμούμενοι, ὅτι ἐπὶ ταῖς βασιλέως θύραις ἦσαν, κύκλῳ δ' αὐτοῖς [πάντη] πολλὰ καὶ ἔθνη καὶ πόλεις πολέμιαι ἦσαν, ἀγορὰν δὲ οὐδεὶς ἔτι παρέξειν ἔμελλεν, ἀπεῖχον δὲ τῆς Ἑλλάδος πλέον ἢ μύρια στάδια, ἡγεμὼν δ' οὐδεὶς τῆς ὁδοῦ ἦν, ποταμοὶ δὲ διεῖργον ἀδιάβατοι ἐν μέσῳ τῆς

1. τῇ μετὰ Κύρου οἱ] Liber Paris. et Eton. Κύρου ἀναβάσει Ἕλληνες habent.

2. καὶ τῶν στρατιωτῶν] Articulum ex Guelf. Paris. adscivi.

ἐνθυμούμενοι] Ex Guelf. μὲν addidit Zeune, quod est etiam in margine Villois. ἐννοούμενοι margo Steph. liber Brodæi, Paris. Eton.

[πάντη] πολλὰ] Eton. liber omisit πάντη, quod seclusi. Præcedens κύκλῳ facit, ut aut tollendum aut in πάνυ mutandum censeam vocabulum. Quanquam Hutchinson in Addendis comparavit locum Arriani Anab. i. 27. καὶ τὸ στρατόπεδον ἐν κύκλῳ σφῶν πάντη.

πλέον] Margo Steph. Paris. Eton. οὐ μεῖον habent. Sequens τῆς ante ὁδοῦ deest in Juntina. Postea προυδεδώκασι Edd. vett. Guelf.

οἴκαδε ὁδοῦ, προδεδώκασι δὲ αὐτοὺς καὶ οἱ σὺν Κύρῳ
ἀναβάντες βάρβαροι, μόνοι δὲ καταλελειμμένοι ἦσαν,
οὐδὲ ἱππέα οὐδένα σύμμαχον ἔχοντες· ὥστ' εὔδηλον ἦν,
ὅτι νικῶντες μὲν οὐδ' ἂν ἕνα φεύγοντα κατακαίνοιεν, ἡτ-
3 τηθέντων δὲ αὐτῶν οὐδεὶς ἂν λειφθείη· ταῦτα ἐννοούμενοι,
καὶ ἀθύμως ἔχοντες, ὀλίγοι μὲν αὐτῶν εἰς τὴν ἑσπέραν
σίτου ἐγεύσαντο, ὀλίγοι δὲ πῦρ ἀνέκαυσαν, ἐπὶ δὲ τὰ
ὅπλα πολλοὶ οὐκ ἦλθον ταύτην τὴν νύκτα, ἀνεπαύοντο
δὲ, ὅπου ἐτύγχανεν ἕκαστος, οὐ δυνάμενοι καθεύδειν ὑπὸ
λύπης, καὶ πόθου πατρίδων, γονέων, γυναικῶν, παίδων,
οὓς οὔποτε ἐνόμιζον ἔτι ὄψεσθαι. Οὕτω μὲν διακείμενοι
πάντες ἀνεπαύοντο.

4 Ἦν δέ τις ἐν τῇ στρατιᾷ Ξενοφῶν Ἀθηναῖος, ὃς οὔτε
στρατηγὸς, οὔτε λοχαγὸς, οὔτε στρατιώτης ὢν συνηκο-
λούθει, ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν, ξέ-
νος ὢν ἀρχαῖος· ὑπισχνεῖτο δὲ αὐτῷ, εἰ ἔλθοι, φίλον
Κύρῳ ποιήσειν· ὃν αὐτὸς ἔφη κρείττω ἑαυτῷ νομίζειν τῆς
5 πατρίδος. Ὁ μέντοι Ξενοφῶν, ἀναγνοὺς τὴν ἐπιστολὴν,
ἀνακοινοῦται Σωκράτει τῷ Ἀθηναίῳ περὶ τῆς πορείας.
Καὶ ὁ Σωκράτης, ὑποπτεύσας, μή τι πρὸς τῆς πόλεώς οἱ
ὑπαίτιον εἴη, Κύρῳ φίλον γενέσθαι, (ὅτι ἐδόκει ὁ Κῦρος

εὔδηλον ἦν] Aldina ἦν omisit, et pro ἕνα habet ἕνεκα. Post ἕνα Stephanus cum Leonclavio φεύγοντα excidisse putabat, quod Hutchinson cum Welsio recepit. Deinde οὐδένα ἂν dant. Paris. Eton. Postea κατακτάνοιεν Eton.

3. πῦρ ἀνέκαυσαν] Vulgatum πυρὰν ἔκαυσαν Brodæus, Stephanus, Hutchinson et Weiske mutarunt in πυρὰ ἔκαυσαν. Equidem scripturam libri Paris et Regii annotatam a Dorvillio ad Charitonem p. 633. cum Zeunio sequor. Etiam infra iv. 5, 5. πῦρ καίειν bis est, non πυρὰ, quæ quidem per totam noctem in exercitu aluntur, πῦρ vero h. l. ad cibum præparandum excitatur.

ταύτην τὴν νύκτα] Ita margo Steph. Paris. Eton. Vulgatum ταύτῃ τῇ νυκτὶ revocavit Weiske. ὅπλα sunt *castra*. Deinceps ἀνεπαύετο antiquum pariter revocavit Weiske, commate post δὲ et ἐτύγχανεν posito. Eton. ἐτύγχανον habet.

4. ἐν τῇ στρατιᾷ] Plutarchus in Præceptis reipubl. gerendæ p. 255. qui h. l. laudat, ἐν τῷ στρατεύματι posuit.

δὲ αὐτῷ] Edd. vett. cum Guelf. αὐτῷ aute Κύρῳ reponunt.

5. πόλεώς οἱ] In Guelf. οἱ deest. Idem deinde cum Edd. vett. ταῖς Ἀθήναις habet.

προθύμως τοῖς Λακεδαιμονίοις ἐπὶ τὰς Ἀθήνας συμπο-
λεμῆσαι) συμβουλεύει τῷ Ξενοφῶντι, ἐλθόντι εἰς Δελ-
φοὺς ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πορείας. Ἐλθὼν 6
δὲ ὁ Ξενοφῶν ἐπήρετο τὸν Ἀπόλλω, τίνι ἂν θεῶν θύων
καὶ εὐχόμενος κάλλιστ᾽ ἂν καὶ ἄριστα ἔλθοι τὴν ὁδὸν,
ἣν ἐπινοεῖ, καὶ καλῶς πράξας σωθείη. Καὶ ἀνεῖλεν
αὐτῷ ὁ Ἀπόλλων θεοὺς, οἷς ἔδει θύειν. Ἐπεὶ δὲ πάλιν 7
ἦλθε, λέγει τὴν μαντείαν τῷ Σωκράτει. Ὁ δ᾽ ἀκού-
σας ᾐτιᾶτο αὐτὸν, ὅτι οὐ τοῦτο πρότερον ἠρώτα, πότερον
λῷον αὐτῷ εἴη πορεύεσθαι, ἢ μένειν, ἀλλ᾽ αὐτὸς κρίνας,
ἰτέον εἶναι, τοῦτο ἐπυνθάνετο, ὅπως ἂν κάλλιστα πορευ-
θείη. Ἐπεὶ μέντοι οὕτως ἤρου, ταῦτ᾽, ἔφη, χρὴ ποιεῖν,
ὅσα ὁ θεὸς ἐκέλευσεν. Ὁ μὲν δὴ Ξενοφῶν, οὕτω θυσά- 8
μενος, οἷς ἀνεῖλεν ὁ θεὸς, ἐξέπλει, καὶ καταλαμβάνει ἐν
Σάρδεσι Πρόξενον καὶ Κῦρον, μέλλοντας ἤδη ὁρμᾷν τὴν
ἄνω ὁδόν· καὶ συνεστάθη Κύρῳ. Προθυμουμένου δὲ τοῦ 9
Προξένου καὶ ὁ Κῦρος συμπρουθυμεῖτο μεῖναι αὐτόν· εἶπε
δὲ, ὅτι, ἐπειδὰν τάχιστα ἡ στρατεία λήξῃ, εὐθὺς ἀπο-
πέμψει αὐτόν. Ἐλέγετο δὲ ὁ στόλος εἶναι εἰς Πεισί-
δας.

Ἐστρατεύετο μὲν δὴ, οὕτως ἐξαπατηθεὶς, οὐχ ὑπὸ τοῦ 10
Προξένου· (οὐ γὰρ ᾔδει τὴν ἐπὶ βασιλέα ὁρμὴν, οὐδ᾽ ἄλ-

ἀνακοινῶσαι] Margo Villois. verum *ἀνακοινώσασθαι* præbere videtur. Narrationem excerpsit Cicero de Divinatione i. 52.

θεοῖς, οἷς ἔδει, θύειν] i. e. diis iis, quibus par esset, sacrificium offerre. Mox sect. 8. est *οἷς ἀνεῖλεν*, et infra vi. 1, 22. *ἐθύετο τῷ Διῒ τῷ βασιλεῖ, ὥσπερ αὐτῷ μαντευτὸς ἦν ἐκ Δελφῶν.* Deos igitur oraculum nominaverat, quibus Xenophon sacrificare deberet. Hinc Buttmannus *θεοὺς, οἷς ἔδει θύειν* scribendum esse recte censet; quod feci, et distinctionem verborum mutavi. Accedit locus de Vectig. vi. 3. *οὓς δ᾽ ἀνέλοιεν θεοὺς, τούτοις εἰκὸς καλλιερήσαντας ἄρχεσθαι τοῦ ἔργου.*

7. *πρότερον*] Margo Steph. *πρῶτον.* Paris. *οὕτοι τὸ πρῶτον.* Deinceps *ἑαυτῷ* dat Eton.

8. *θυσάμενος*] Guelf. *θεασάμενος* habet.

ὁρμᾷν] Comparat Hutchinson ex Cyrop. viii. 6, 20. *ὁρμᾷν τὴν στρατείαν.*

9. *συμπρουθυμεῖτο*] Paris. Eton. *συνεπιπροθυμεῖτο.*

στρατεία] Edd. vett. Guelf. *στρατιὰ* habent.

λος οὐδεὶς τῶν Ἑλλήνων, πλὴν Κλεάρχου) ἐπεὶ μέντοι εἰς Κιλικίαν ἦλθον, σαφὲς πᾶσιν ἤδη ἐδόκει εἶναι, ὅτι ὁ στόλος εἴη ἐπὶ βασιλέα. Φοβούμενοι δὲ τὴν ὁδὸν καὶ ἄκοντες ὅμως οἱ πολλοὶ δι' αἰσχύνην καὶ ἀλλήλων καὶ
11 Κύρου συνηκολούθησαν· ὧν εἷς καὶ Ξενοφῶν ἦν. Ἐπεὶ δ' ἀπορία ἦν, ἐλυπεῖτο μὲν σὺν τοῖς ἄλλοις, καὶ οὐκ ἐδύνατο καθεύδειν· μικρὸν δὲ ὕπνου λαχὼν, εἶδεν ὄναρ. Ἔδοξεν αὐτῷ, βροντῆς γενομένης, σκηπτὸς πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν.
12 Περίφοβος δ' εὐθὺς ἀνηγέρθη, καὶ τὸ ὄναρ πῇ μὲν ἔκρινεν ἀγαθόν· (ὅτι, ἐν πόνοις ὢν καὶ κινδύνοις, φῶς μέγα ἐκ Διὸς ἰδεῖν ἔδοξε) πῇ δὲ καὶ ἐφοβεῖτο, (ὅτι ἀπὸ Διὸς μὲν βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι, κύκλῳ δ' ἐδόκει λάμπεσθαι τὸ πῦρ) μὴ οὐ δύναιτο ἐκ τῆς χώρας ἐξελθεῖν τῆς βασιλέως, ἀλλ' εἴργοιτο πάντοθεν ὑπό τινων ἀποριῶν.

13 Ὁποῖόν τι μὲν δή ἐστι τὸ τοιοῦτον ὄναρ ἰδεῖν, ἔξεστι σκοπεῖν ἐκ τῶν συμβάντων μετὰ τὸ ὄναρ. Γίγνεται γὰρ τάδε εὐθύς. Ἐπειδὴ ἀνηγέρθη, πρῶτον μὲν ἔννοια αὐτῷ ἐμπίπτει· Τί κατάκειμαι; ἡ δὲ νὺξ προβαίνει· ἅμα δὲ τῇ ἡμέρᾳ εἰκὸς τοὺς πολεμίους ἥξειν. Εἰ δὲ γενησόμεθα ἐπὶ βασιλεῖ, τί ἐμποδὼν, μὴ οὐχὶ πάντα μὲν τὰ χαλεπώτατα ἐπιδόντας, πάντα δὲ τὰ δεινότατα παθόντας,
14 ὑβριζομένους ἀποθανεῖν; Ὅπως δὲ ἀμυνούμεθα, οὐδεὶς

10. πᾶσιν ἤδη] Ex libro Paris. ἤδη adscivi.

οἱ πολλοὶ] Præter Xeniam et Pasionem i. 4, 7. pauci abierant. Sequens αἰσχύνη et pudorem ex cognito errore et reverentiam erga Cyrum significat.

11. ὕπνου] Ita Steph. et liber Paris. ὕπνον Edd. vett. Guelf. Eton.

12. φῶς μέγα] Cf. Cyrop. iv. 2, 15.

13. Ὁποιόν τι μὲν δή ἐστι] In Guelf. τι abest; sed præterea μέντοι scriptum malim. Inepte vertunt: *Cæterum quale fuit hujusmodi somnii visum.* Idem Guelferb. sequens γὰρ omittit. γίγνεσθαι est in Aldina.

τάδε εὐθύς] Hæc est Stephaniana loci distinctio. Leonclavius ita: τάδε εὐθὺς, ἐπειδὴ ἀνηγέρθη· πρῶτον μέν. Tertia mihi placet: τάδε. Εὐθὺς ἐπειδὴ ἀνηγέρθη, πρῶτον μέν.

πάντα μὲν] Juntina μὲν omisit.

ὑβριζομένους] Mihi hoc verbum ab

παρασκευάζεται, οὐδ' ἐπιμελεῖται, ἀλλὰ κατακείμεθα,
ὥσπερ ἐξὸν ἡσυχίαν ἄγειν. Ἐγὼ οὖν τὸν ἐκ ποίας πό-
λεως στρατηγὸν προσδοκῶ ταῦτα πράξειν; ποίαν δ'
ἡλικίαν ἐμαυτῷ ἐλθεῖν ἀναμένω; οὐ γὰρ ἔγωγ' ἔτι
πρεσβύτερος ἔσομαι, ἐὰν τήμερον προδῶ ἐμαυτὸν τοῖς πο-
λεμίοις. Ἐκ τούτου ἀνίσταται, καὶ συγκαλεῖ τοὺς 15
Προξένου πρῶτον λοχαγούς. Ἐπεὶ δὲ συνῆλθον, ἔλεξεν·
Ἐγὼ, ὦ ἄνδρες λοχαγοὶ, οὔτε καθεύδειν δύναμαι,
(ὥσπερ, οἶμαι, οὐδ' ὑμεῖς) οὔτε κατακεῖσθαι ἔτι, ὁρῶν,
ἐν οἵοις ἐσμέν. Οἱ μὲν γὰρ δὴ πολέμιοι δῆλον ὅτι οὐ 16
πρότερον πρὸς ἡμᾶς τὸν πόλεμον ἐξέφηναν, πρὶν ἐνόμισαν,
τὰ ἑαυτῶν καλῶς παρεσκευάσθαι· ἡμῶν δ' οὐδεὶς οὐδὲν
ἀντεπιμελεῖται, ὅπως ὡς κάλλιστα ἀγωνιούμεθα. Καὶ 17
μὴν εἰ ὑφησόμεθα καὶ ἐπὶ βασιλεῖ γενησόμεθα, τί οἰό-
μεθα πείσεσθαι; ὃς καὶ τοῦ ὁμομητρίου καὶ ὁμοπα-
τρίου ἀδελφοῦ καὶ τεθνηκότος ἤδη ἀποτεμὼν τὴν κεφα-
λὴν καὶ τὴν χεῖρα ἀνεσταύρωσεν· ἡμᾶς δὲ, οἷς κηδεμὼν
μὲν οὐδεὶς πάρεστιν, ἐστρατεύσαμεν δ' ἐπ' αὐτὸν, ὡς
δοῦλον ἀντὶ βασιλέως ποιήσοντες, καὶ ἀποκτενοῦντες, εἰ
δυναίμεθα, τί ἂν οἰόμεθα παθεῖν; Ἆρ' οὐκ ἂν ἐπὶ 18
πᾶν ἔλθοι, ὡς, ἡμᾶς τὰ ἔσχατα αἰκισάμενος, πᾶσιν

interprete accessisse videtur. Copulam addidisset Xenophon. Sed in πάντα τὰ δεινότατα multo plus inest quam in ὑβριζομένους; igitur verbum lenius Xenophon multo graviori non subjunxit. Præterea numeros orationis turbat additum participium.

14. ἡσυχίαν ἄγειν] Ita margo Steph. cum libro Paris. Vulgo est ἔχειν. cf. ii. 6, 6. In Eton. est ἡσυχιάζειν.

στρατηγὸν] Vulgatum στρατὸν hortante Stephano correxit Hutchinson; et verum expressit versio Amasæi et Leonclavii.

16. οἱ μὲν γὰρ δὴ] Eton. omittit δή.

ἡμῶν δ' οὐδεὶς οὐδὲ ἀντ.] Scio sæpe negationem geminari; sed h. l. verbum mihi aliquod ante οὐδὲ excidisse videbatur. Sed ecce liber Eton. παρασκευάσασθαι et οὐδὲν habet, quorum alterum lubens accepi. Etiam Paris. παρασκευάσασθαι habet.

17. ἡμᾶς δὲ—τί ἂν οἰόμεθα παθεῖν] Solœcam orationem aliqui fortasse excusabunt vel adeo defendent ex parenthesi plurium membrorum; mihi ἡμεῖς scribendum videtur.

18. ἐπὶ πᾶν ἔλθοι] Vulgatum antea οὐκ ἐπίπαν correxit Stephanus; ex Eton. ἂν addidit Hutchinson. οὐκ ἂν ἔλθοι tantum est in Paris. et Eton. *Annon omnes vias tentabit*, interpretatur Stephanus; *annon omni adgredietur via* Hutchinson. Larcherus:

ἀνθρώποις φόβον παράσχῃ τοῦ στρατεῦσαί ποτε ἐφ'
ἑαυτόν; Ἀλλ' ὅπως τοι μὴ ἐπ' ἐκείνῳ γενησόμεθα,
19 πάντα ποιητέον. Ἐγὼ μὲν οὖν, ἔστε μὲν αἱ σπονδαὶ
ἦσαν, οὔποτε ἐπαυόμην ἡμᾶς μὲν οἰκτείρων, βασιλέα δὲ
καὶ τοὺς σὺν αὐτῷ μακαρίζων, διαθεώμενος αὐτῶν ὅσην
μὲν χώραν καὶ οἵαν ἔχοιεν, ὡς δὲ ἄφθονα τὰ ἐπιτή-
δεια, ὅσους δὲ θεράποντας, ὅσα δὲ κτήνη, χρυσὸν δέ,
20 ἐσθῆτα δέ· τὰ δ' αὖ τῶν στρατιωτῶν ὁπότε ἐνθυμοί-
μην, ὅτι τῶν μὲν ἀγαθῶν πάντων οὐδενὸς ἡμῖν μετείη, εἰ
μὴ πριαίμεθα, ὅτου δὲ ὠνησόμεθα, ᾔδειν ἔτι ὀλίγους
ἔχοντας, ἄλλως δέ πως πορίζεσθαι τὰ ἐπιτήδεια, ἢ
ὠνουμένους, ὅρκους ἤδη κατέχοντας ἡμᾶς· ταῦτ' οὖν λογι-
ζόμενος ἐνίοτε, τὰς σπονδὰς μᾶλλον ἐφοβούμην, ἢ νῦν τὸν
21 πόλεμον. Ἐπεὶ μέντοι ἐκεῖνοι ἔλυσαν τὰς σπονδάς,
λελύσθαι μοι δοκεῖ καὶ ἡ ἐκείνων ὕβρις, καὶ ἡ ἡμετέρα
ὑποψία. Ἐν μέσῳ γὰρ ἤδη κεῖται ταῦτα τὰ ἀγαθά,
ἆθλα, ὁπότεροι ἂν ἡμῶν ἄνδρες ἀμείνονες ὦσιν· ἀγωνο-
θέται δ' οἱ θεοί εἰσιν, οἳ σὺν ἡμῖν, ὡς τὸ εἰκός, ἔσονται.
22 Οὗτοι μὲν γὰρ αὐτοὺς ἐπιωρκήκασιν· ἡμεῖς δέ, πολλὰ
ὁρῶντες ἀγαθά, στερρῶς αὐτῶν ἀπειχόμεθα, διὰ τοὺς
τῶν θεῶν ὅρκους· ὥστε ἐξεῖναί μοι δοκεῖ, ἰέναι ἐπὶ τὸν

N'aura-t-il pas récours aux tortures les plus cruelles? Stephani rationem probat Weiske et comparat ἔρχεσθαι ἐπί τι ii. 5, 22. quod sit *conari aliquid.* Fecerat idem antea Hutchinson. Quidni comparavit εἰς πᾶν ἀφικνεῖσθαι Hellenicorum vi. 1, 4? Sed illic intelligendum κακόν, ut in formula ἐν παντὶ εἶναι v. 4, 29. Sed ἐπὶ πᾶν ἐλθεῖν est *omnia tentare,* recte monente Valckenario ad Herodotum p. 557.

τὰ ἔσχατα] Ita margo Steph. Villois. Paris. Eton. pro αἴσχιστα habent; deinceps παράσχοι Paris. Eton.

γενησόμεθα] Edd. vett. Guelf. γενησοίμεθα, Eton. γενησώμεθα.

19. ἔστε μὲν—ἦσαν] Vulgatum ἔστ' ἂν μὲν—ἦσαν corrigi jussit Porson hic et infra sect. 28. Stephanus ἔστ' ἂν edidit. Sequens μὲν omittit Eton.

ἡμᾶς] Sic Ald. Castal. Steph. ὑμᾶς Junt. Guelf.

20. τὰ δ' αὖ τῶν] Aldina cum Castal. αὐτῶν dedit.

ὠνησόμεθα] Eton. ὠνησαίμεθα, non inepte.

ἔτι ὀλίγους] Quod conjecerat Stephanus, ex libro Eton. recepit Hutchinson in locum vulgati ὅτι ὀλίγους.

ὅρκους ἤδη κατέχοντας] Repete ex superioribus ᾔδειν. Quid si vero ᾔδη scriptum attice pro ᾔδειν fuisse a Xe-

ἀγῶνα πολὺ σὺν φρονήματι μείζονι, ἢ τούτοις. Ἔτι δὲ 23
ἔχομεν σώματα ἱκανώτερα τούτων καὶ ψύχη καὶ θάλπη
καὶ πόνους φέρειν· ἔχομεν δὲ καὶ ψυχὰς σὺν τοῖς θεοῖς
ἀμείνονας· οἱ δὲ ἄνδρες καὶ τρωτοὶ καὶ θνητοὶ μᾶλλον ἡμῶν,
ἢν οἱ θεοὶ, ὥσπερ τοπρόσθεν, νίκην ἡμῖν διδῶσιν. Ἀλλ' 24
ἴσως γὰρ καὶ ἄλλοι ταὐτὰ ἐνθυμοῦνται. Πρὸς τῶν θεῶν,
μὴ ἀναμένωμεν, ἄλλους ἐφ' ἡμᾶς ἐλθεῖν, παρακαλοῦν-
τας ἐπὶ τὰ κάλλιστα ἔργα, ἀλλ' ἡμεῖς ἄρξωμεν τοῦ
ἐξορμῆσαι καὶ τοὺς ἄλλους ἐπὶ τὴν ἀρετήν. Φάνητε τῶν
λοχαγῶν ἄριστοι, καὶ τῶν στρατηγῶν ἀξιοστρατηγότεροι.
Κἀγὼ δὲ, εἰ μὲν ὑμεῖς ἐθέλετε ἐξορμᾶν ἐπὶ ταῦτα, 25
ἕπεσθαι ὑμῖν βούλομαι, εἰ δὲ ὑμεῖς τάττετέ με ἡγεῖ-
σθαι, οὐδὲν προφασίζομαι τὴν ἡλικίαν, ἀλλὰ καὶ ἀκμά-
ζειν ἡγοῦμαι, ἐρύκειν ἀπ' ἐμαυτοῦ τὰ κακά.

Ὁ μὲν ταῦτα ἔλεξεν, οἱ δὲ λοχαγοὶ, ἀκούσαντες 26
[ταῦτα], ἡγεῖσθαι ἐκέλευον ἅπαντες. Πλὴν Ἀπολλω-
νίδης τις ἦν, βοιωτιάζων τῇ φωνῇ· οὗτος δ' εἶπεν, ὅτι
φλυαροίη, ὅστις λέγοι, ἄλλως πως σωτηρίας ἂν τυχεῖν,
ἢ βασιλέα πείσας, εἰ δύναιτο· καὶ ἅμα ἤρχετο λέγειν
τὰς ἀπορίας. Ὁ μέντοι Ξενοφῶν, μεταξὺ ὑπολαβὼν, 27

nophonte dicam, et præcedens ᾔδειν ad eandem normam corrigendum? De forma hac optime docuit Fischer animadv. ad Wellerum ii. p. 372.

23. ἔχομεν δὲ καὶ] Vulgatum ἔχομέν τε suadente Stephano correxi.

οἱ δὲ ἄνδρες] Vitiosa hæc vel proxima esse suspicatus Wyttenbach conjecit: οἱ δ' ἄρ' εἰσί.

24. ταὐτὰ] Vulgatum ταῦτα cum Zeunio correxi. Nostrum vertit etiam Amasæus. Orationem Xenophontis eo tendere, ut Proxeni milites palmam præripiant, recte monuit Weiske.

πρὸς τῶν θεῶν] Recte πρὸς οὖν θεῶν conjecit Wyttenbach scribendum esse.

ἄρξωμεν] Ita cum Castalione Steph. ἄρξομεν Edd. vett. Guelf.

ἀξιοστρατηγότεροι] Arrianus Anab. iv. 11, 9. Ἀλέξανδρον ἀνδρῶν ἀγαθῶν τὸν ἄριστον εἶναί τε καὶ δοκεῖν καὶ βασιλέων τὸν βασιλικώτατον καὶ στρατηγῶν τὸν ἀξιοστρατηγικώτατον. ubi vereor, ut bene habeat scriptura, quanquam etiam in Dione Cassio xli. 55. obvia, in cujus xlv. 42. altera ἀξιοστράτηγητος manifesto est falsa. Veram ἀξιοστράτηγος habet xxxvi. 7.

26. λοχαγοὶ] Margo Steph. Paris. Eton. ἀρχηγοὶ habent. Sequens ταῦτα omisit Eton. equidem seclusi; quanquam erunt fortasse, qui repetitum vocabulum ad simplicitatem Xenophonteam referant.

λέγοι] Paris. Eton. λέγει.

ἔλεξεν ὧδε· Ὦ θαυμασιώτατε ἄνθρωπε, σύ γε οὐδ᾽
ὁρῶν γιγνώσκεις, οὐδ᾽ ἀκούων μέμνησαι. Ἐν ταὐτῷ γε
μέντοι ἦσθα τούτοις, ὅτε βασιλεὺς, ἐπεὶ Κῦρος ἀπέθανε,
μέγα φρονήσας ἐπὶ τούτῳ, πέμπων ἐκέλευε παραδιδό-
28 ναι τὰ ὅπλα. Ἐπειδὴ δὲ ἡμεῖς οὐ παραδόντες, ἀλλ᾽
ἐξωπλισμένοι ἐλθόντες παρεσκηνήσαμεν αὐτῷ, τί οὐκ
ἐποίησε πρέσβεις πέμπων, καὶ σπονδὰς αἰτῶν, καὶ
29 παρέχων τὰ ἐπιτήδεια, ἔστε σπονδῶν ἔτυχεν; Ἐπεὶ δ᾽
αὖ στρατηγοὶ καὶ λοχαγοὶ, ὥσπερ δὴ καὶ σὺ κελεύεις,
εἰς λόγους αὐτοῖς ἄνευ ὅπλων ἦλθον, πιστεύσαντες ταῖς
σπονδαῖς, οὐ νῦν ἐκεῖνοι παιόμενοι, κεντούμενοι, ὑβριζόμε-
νοι, οὐδ᾽ ἀποθανεῖν οἱ τλήμονες δύνανται; καὶ μάλ᾽, οἶ-
μαι, ἐρῶντες τούτου. Ἃ σὺ πάντα εἰδὼς, τοὺς μὲν
ἀμύνεσθαι κελεύοντας φλυαρεῖν φὴς, πείθειν δὲ πάλιν
30 κελεύεις ἰόντας; Ἐμοὶ δὲ, ὦ ἄνδρες, δοκεῖ, τὸν ἄνθρωπον
τοῦτον μήτε προσίεσθαι εἰς ταὐτὸ ἡμῖν αὐτοῖς, ἀφελομέ-
νους τε τὴν λοχαγίαν, σκεύη ἀναθέντας, ὡς τοιούτῳ χρῆ-
σθαι. Οὗτος γὰρ καὶ τὴν πατρίδα καταισχύνει, καὶ
πᾶσαν τὴν Ἑλλάδα, ὅτι, Ἕλλην ὢν, τοιοῦτός ἐστιν.
31 Ἐντεῦθεν ὑπολαβὼν Ἀγασίας Στυμφάλιος, εἶπεν·
Ἀλλὰ τούτῳ γε οὔτε τῆς Βοιωτίας προσήκει οὐδὲν, οὔτε

27. ἐν ταὐτῷ] *Eras una cum his reliquis lochagis.*

28. ἐξωπλισμένοι ἐλθόντες] Margo Steph. Paris. Eton. ἐξοπλισάμενοι habent; quod ferri h. l. non potest, nisi καὶ ἐλθόντες deinceps scribas. Sed locum adjectivi *armati* vel verborum σὺν ὅπλοις obtinet participium perfecti passivi.

παρεσκηνήσαμεν] Solus Zeune ex Guelf. παρεσκηνώσαμεν dedit, et comparat Cyrop. iv. 2, 11. iv. 5, 8. quasi forma hæc sola Xenophonti frequentata fuerit,

ἔστε σπονδῶν] Ita cum libris veteribus Steph. cum quibus faciunt 1. et 4. in margine Villois. laudati, correxit vulgatum ἔστ᾽ ἂν Porson. Cf. ad sect. 19.

29. δὴ καὶ σὺ] Edd. vett. Guelf. Paris. Eton. καὶ omittunt, ut Eton. sequens οἶμαι.

ἀμύνεσθαι] Paris. ἀμύνασθαι habet.

30. εἰς ταὐτὸ ἡμῖν] Edd. vett. Guelf. ὑμῖν dant. Cf. sect. 27.

ἀναθέντας, ὡς τοιούτῳ] Margo Steph. ἀναθέσθαι καὶ ὡς. Brodæus verba ὡς τοιούτῳ recte interpretatur ὡς σκευοφόρῳ.

31. τῆς Βοιωτίας] Paris. Eton. τῆς βασιλείας οὔτε τῆς βοιωτίας. Deinceps Demetrius de Elocutione cap. 137. pro προσήκει habet μέτεστι et ὡσπερεὶ pro ὥσπερ.

τῆς Ἑλλάδος παντάπασιν· ἐπεὶ ἐγὼ αὐτὸν εἶδον, ὥσπερ
Λυδὸν, ἀμφότερα τὰ ὦτα τετρυπημένον. Καὶ εἶχεν οὕ-
τως. Τοῦτον μὲν οὖν ἀπήλασαν· οἱ δ᾽ ἄλλοι, παρὰ 32
τὰς τάξεις ἰόντες, ὅπου μὲν στρατηγὸς σῶος εἴη, τὸν στρα-
τηγὸν παρεκάλουν· ὁπόθεν δὲ οἴχοιτο, τὸν ὑποστρα-
τηγόν· ὅπου δὲ λοχαγὸς σῶος εἴη, τὸν λοχαγόν. Ἐπεὶ 33
δὲ πάντες συνῆλθον, εἰς τὸ πρόσθεν τῶν ὅπλων ἐκα-
θέζοντο· καὶ ἐγένοντο οἱ συνελθόντες στρατηγοὶ καὶ λο-
χαγοὶ ἀμφὶ τοὺς ἑκατόν. Ὅτε δὲ ταῦτα ἦν, σχεδὸν
ἦσαν μέσαι νύκτες. Ἐνταῦθα Ἱερώνυμος Ἠλεῖος, πρεσ- 34
βύτατος ὢν τῶν Προξένου λοχαγῶν, ἤρχετο λέγειν ὧδε.
Ἡμῖν, ὦ ἄνδρες στρατηγοὶ καὶ λοχαγοὶ, ὁρῶσι τὰ παρ-
όντα ἔδοξε καὶ αὐτοῖς συνελθεῖν, καὶ ὑμᾶς παρακαλέ-
σαι, ὅπως βουλευσαίμεθα, εἴ τι δυναίμεθα, ἀγαθόν.
Λέξον δ᾽, ἔφη, καὶ σὺ, ὦ Ξενοφῶν, ἅπερ καὶ πρὸς ἡμᾶς.

Ἐκ τούτου λέγει τάδε Ξενοφῶν· Ἀλλὰ ταῦτα μὲν δὴ 35
πάντες ἐπιστάμεθα, ὅτι βασιλεὺς καὶ Τισσαφέρνης, οὓς
μὲν ἐδυνήθησαν, συνειλήφασιν ἡμῶν· τοῖς δ᾽ ἄλλοις δῆ-
λον ὅτι ἐπιβουλεύουσιν, ὡς, ἢν δύνωνται, ἀπολέσωσιν.
Ἡμῖν δ᾽ ἐγῷμαι πάντα ποιητέα, ὡς μήποτ᾽ ἐπὶ τοῖς

Λυδὸν] Servos in orientis regionibus aures perforatas habuisse ex Bartholino de Inauribus p. 114. et Interpr. Petronii ad cap. 102. admonet Zeune. Sed recte Weiske annotat etiam liberos homines apud barbaras gentes aures habuisse perforatas. Exemplum Syri, Æthiopis, Arabis, Afri habent loca ab Hutchinsono laudata Juvenalis i. 102. Petronii c. 102. Macrobii vii. 3. Saturnalium: Weiske posuit locum Plauti Pœnuli v. 2, 21. ubi Milphio ex *annulatis auribus* agnoscit servos. Apollonides igitur natione Lydus, (quod tamen antea Græci indicio aliquo agnovisse videntur, dum in Lydia cum Cyro versabantur) pervenerat in servitutem et in Bœotia sermonem græcum didicerat. Eum Proxenus secum adduxisse videtur, cum fuisset forte libertate a domino donatus et pro cive se gereret. Dio Chrys. Orat. xxxii. p. 654. οἱ δὲ τρήσαντες τὸ ἕτερον οὖς, χρυσίον ἐνέβαλον—τοῦτο μὲν γὰρ κόραις μᾶλλον ἔπρεπε καὶ παισὶ Λυδῶν ἢ Φρυγῶν.

32. ὑποστρατηγόν] Cum Zeunio ταξίαρχον, certe primi ordinis, interpretatur Weiske ex sectione 37.

33. πρόσθεν τῶν ὅπλων] Locum Homericum Iliad. x. 198. comparavit Zeune. Deinceps ἐκαθίζοντο habet Paris. liber.

35. μὲν δὴ πάντες] Ita Paris. Antea erat μὲν ἅπαντες.

δ᾽ ἐγῷμαι] Vulgatum δέ γ᾽ οἶμαι monente Porsono correxi.

βαρβάροις γενώμεθα, ἀλλὰ μᾶλλον, ἢν δυνώμεθα,
36 ἐκεῖνοι ἐφ᾽ ἡμῖν. Εὖ τοίνυν ἐπίστασθε, ὅτι ὑμεῖς, τοσ-
οῦτοι ὄντες, ὅσοι νῦν συνεληλύθατε, μέγιστον ἔχετε και-
ρόν. Οἱ γὰρ στρατιῶται οὗτοι πάντες πρὸς ὑμᾶς ἀπο-
βλέπουσι· κἂν μὲν ὑμᾶς ὁρῶσιν ἀθυμοῦντας, πάντες
κακοὶ ἔσονται· ἢν δὲ ὑμεῖς αὐτοί τε παρασκευαζόμενοι
φανεροὶ ἦτε ἐπὶ τοὺς πολεμίους, καὶ τοὺς ἄλλους παρα-
καλῆτε, εὖ ἴστε, ὅτι ἕψονται ὑμῖν, καὶ πειράσονται μι-
37 μεῖσθαι. Ἴσως δέ τοι καὶ δίκαιόν ἐστιν ὑμᾶς διαφέ-
ρειν τι τούτων. Ὑμεῖς γάρ ἐστε στρατηγοὶ, ὑμεῖς τα-
ξίαρχοι καὶ λοχαγοί· καὶ ὅτε εἰρήνη ἦν, ὑμεῖς καὶ χρή-
μασι καὶ τιμαῖς τούτων ἐπλεονεκτεῖτε· καὶ νῦν τοίνυν,
ἐπεὶ πόλεμός ἐστιν, ἀξιοῦν δεῖ ὑμᾶς αὐτοὺς ἀμείνους τε
τοῦ πλήθους εἶναι, καὶ προβουλεύειν τούτων καὶ προπο-
38 νεῖν, ἤν που δέῃ. Καὶ νῦν πρῶτον μὲν οἶμαι ἂν ὑμᾶς
μέγα ὀνῆσαι τὸ στράτευμα, εἰ ἐπιμεληθείητε, ὅπως ἀντὶ
τῶν ἀπολωλότων ὡς τάχιστα στρατηγοὶ καὶ λοχαγοὶ
κατασταθῶσιν. Ἄνευ γὰρ ἀρχόντων οὐδὲν ἂν οὔτε κα-
λὸν, οὔτε ἀγαθὸν γένοιτο, ὡς μὲν συνελόντι εἰπεῖν, οὐδα-
μοῦ· ἐν δὲ δὴ τοῖς πολεμικοῖς, παντάπασιν. Ἡ μὲν
γὰρ εὐταξία σώζειν δοκεῖ, ἡ δὲ ἀταξία πολλοὺς ἤδη
39 ἀπολώλεκεν. Ἐπειδὰν δὲ καταστήσησθε τοὺς ἄρχον-
τας, ὅσους δεῖ, ἢν καὶ τοὺς ἄλλους στρατιώτας συλλέ-

36. ὅσοι νῦν] Castalio νῦν omisit. Sequens μέγιστον ἔχετε καιρὸν non est *commodissimam habetis occasionem*, uti vertunt, sed voluit Xenophon significare eos, quos sæpenumero in Historia græca et in Cyri disciplina, inprimis iii. 3, 11, 12. ἐπικαιρίους dicit, de quibus satis bene docet Index Zeunianus.

ἀποβλέπουσι—ἀθυμοῦντας] Paris. et Eton. βλέπουσι—ἀθύμους habent.

ἢν δὲ ὑμεῖς] Eton. liber εἰ δὲ ὑμεῖς αὐτοὶ παρακαλεῖτε καὶ φανεροὶ ἦτε παρασκευαζόμενοι ἐπὶ τοὺς πολεμίους.

37. Ἴσως δέ τοι] Eton. ἴσως δ᾽ ἔτι.

προβουλεύειν] Compara similem locum Cyrop. i. 6, 8.

38. πρῶτον μὲν] Primus Stephanus μὲν adjunxit.

ὀνῆσαι] Steph. Paris. Eton. ὠφελῆσαι habent, deinceps, ἀντικατασταθῶσιν.

ἐν δὲ δὴ] Edd. vett. Guelf. ἔν γε δὴ habent.

39. ἢν καὶ τοὺς] Vulgatum καὶ ἢν τοὺς ex Paris. correxit Zeune. Pro ποιῆσαι Stephanus πονῆσαι conjecerat. Ad ποιῆσαι intellige τοῦτο. Deinceps παραθρασύνητε habet Paris. liber.

γητε καὶ παραθαῤῥύνητε, οἶμαι, ὑμᾶς πάνυ ἂν ἐν καιρῷ
ποιῆσαι. Νῦν μὲν γὰρ ἴσως καὶ ὑμεῖς αἰσθάνεσθε, ὡς 40
ἀθύμως μὲν ἦλθον ἐπὶ τὰ ὅπλα, ἀθύμως δὲ πρὸς τὰς
φυλακάς· ὥστε, οὕτω γε ἐχόντων, οὐκ οἶδα, ὅ τι ἄν τις
χρήσαιτο αὐτοῖς, εἴτε νυκτὸς δέοι τι, εἴτε καὶ ἡμέρας.
Ἢν δέ τις αὐτῶν τρέψῃ τὰς γνώμας, ὡς μὴ τοῦτο μόνον 41
ἐννοῶνται, τί πείσονται, ἀλλὰ καὶ τί ποιήσουσι, πολὺ
εὐθυμότεροι ἔσονται. Ἐπίστασθε γὰρ δήπου, ὅτι οὔτε 42
πλῆθός ἐστιν οὔτε ἰσχὺς ἡ ἐν τῷ πολέμῳ τὰς νίκας
ποιοῦσα· ἀλλ᾽ ὁπότεροι ἂν σὺν τοῖς θεοῖς ταῖς ψυχαῖς
ἐῤῥωμενέστεροι ἴωσιν ἐπὶ τοὺς πολεμίους, τούτους ὡς ἐπι-
τοπολὺ οἱ ἐναντίοι οὐ δέχονται. Ἐντεθύμημαι δ᾽ ἔγω- 43
γε, ὦ ἄνδρες, καὶ τοῦτο, ὅτι, ὁπόσοι μὲν μαστεύουσι ζῆν
ἐκ παντὸς τρόπου ἐν τοῖς πολεμικοῖς, οὗτοι κακῶς τε καὶ
αἰσχρῶς ὡς ἐπιτοπολὺ ἀποθνήσκουσιν· ὁπόσοι δὲ τὸν μὲν
θάνατον ἐγνώκασι πᾶσι κοινὸν εἶναι καὶ ἀναγκαῖον ἀν-
θρώποις, περὶ δὲ τοῦ καλῶς ἀποθνήσκειν ἀγωνίζονται,
τούτους ὁρῶ μᾶλλόν πως εἰς τὸ γῆρας ἀφικνουμένους,
καί, ἕως ἂν ζῶσιν, εὐδαιμονέστερον διάγοντας. Ἃ καὶ 44
ἡμᾶς δεῖ νῦν καταμαθόντας (ἐν τοιούτῳ γὰρ καιρῷ
ἐσμὲν) αὐτούς τε ἀγαθοὺς ἄνδρας εἶναι, καὶ τοὺς ἄλ-
λους παρακαλεῖν. Ὁ μὲν ταῦτ᾽ εἰπών, ἐπαύσατο.

40. *αἰσθάνεσθε*] Eton. *αἰσθάνοισθε*. Idem liber geminum *μὲν* omittit.

εἴτε καὶ] Eton. *καὶ* omittit.

41. *τρέψῃ*] Male Paris. *στρέψῃ* habet.

42. *δήπου*] Cum Eton. Stobæus p. 353. simplex *δὴ* habet.

ἡ ἐν τῷ πολέμῳ] Male post *πολέμῳ* comma positum est in Weiskiana.

ἐπιτοπολὺ] Stobæus cum Eton. *ἐπιπολὺ*, deinceps *ἀντίοι* Paris. et Eton.

43. *πολεμικοῖς*] Ita cum Stephano margo Villois. ex libro 2. et 6. *πολεμίοις* Edd. vett. Guelf. Deinceps *οὗτοι μὲν* est in Eton. Sequens *ἐπιτοπολὺ* ex Eton. in locum vulgati *ἐπιπολὺ* restituit Hutchinson.

ἐγνώκασι] *Qui statuerunt*, vertunt vulgatum *ἔγνωσαν*. quod potius est *cognoverant*, vel *statuebant*. Noster de Rep. Laced. i. 10. habet de Lycurgo: *περὶ τεκνοποιΐας οὕτω τἀναντία γνοὺς τοῖς ἄλλοις*. Sic iterum est sect. 2. et 5. De Equit. Præf. *ταὐτὰ γνόντες ἐκείνῳ*. At Thucydides iii. 16. *δηλῶσαι βουλόμενοι, ὅτι οὐκ ὀρθῶς ἐγνώκασι*, id est, *eos non recte sentire, sed falli*. Igitur scripturam Paris. recepi. Idem liber paulo post *μᾶλλον ὡς* scriptum habet.

45 Μετὰ τοῦτον δ' εἶπε Χειρίσοφος· Ἀλλὰ πρόσθεν μὲν,
ὦ Ξενοφῶν, τοσοῦτον μόνον σε ἐγίγνωσκον, ὅσον ἤκουον
Ἀθηναῖον εἶναι· νῦν δὲ καὶ ἐπαινῶ σε, ἐφ' οἷς λέγεις τε
καὶ πράττεις, καὶ βουλοίμην ἂν, ὅτι πλείστους εἶναι τοι-
46 ούτους· κοινὸν γὰρ ἂν εἴη τὸ ἀγαθόν. Καὶ νῦν, ἔφη, μὴ
μέλλωμεν, ὦ ἄνδρες, ἀλλ' ἀπελθόντες ἤδη αἱρεῖσθε οἱ
δεόμενοι ἄρχοντας, καὶ ἑλόμενοι ἥκετε εἰς τὸ μέσον τοῦ
στρατοπέδου, καὶ τοὺς αἱρεθέντας ἄγετε· ἔπειτα ἐκεῖ
συγκαλοῦμεν τοὺς ἄλλους στρατιώτας· παρέστω δ'
47 ἡμῖν, ἔφη, καὶ Τολμίδης ὁ κῆρυξ. Καὶ ἅμα ταῦτα εἰ-
πὼν ἀνέστη, ὡς μὴ μέλλοιτο, ἀλλὰ περαίνοιτο τὰ δέον-
τα. Ἐκ τούτου ᾑρέθησαν ἄρχοντες, ἀντὶ μὲν Κλεάρχου
Τιμασίων Δαρδανεὺς, ἀντὶ δὲ Σωκράτους Ξανθικλῆς
Ἀχαιὸς, ἀντὶ δὲ Ἀγίου Ἀρκάδος Κλεάνωρ Ὀρχομένιος,

45. ἐφ' οἷς] Præpositionem primus addidit Stephanus, firmante libro 2. et 6. in margine Villois.

46. μὴ μέλλωμεν] Ita Castal. Steph. liber Brodæi, Guelf. iv. 6, 2. in margine Villois. καὶ μέλλωμεν Edd. vett. Eton. μὴ μέλλομεν Paris. καὶ δὴ καὶ μέλλομεν conjiciebat Porson. *adhuc cunctamur?* vertit Amasæus.

συγκαλοῦμεν] Stephani συγκαλῶμεν vel συγκαλέσομεν non opus est, si statuamus cum Porsono futurum Atticum esse συγκαλοῦμεν.

Τολμίδης] Edd. vett. Guelf. Τολμήδης. Cf. ii. 2, 20.

47. Ἀγίου Ἀρκάδος] Edd. vett. Guelf. Eton. omittunt Ἀρκάδος et pro sequenti Ὀρχομένιος habent Ἀρκάς. Liber 6. et 2. in margine Villois. articulum ὁ ante Ὀρχομένιος additum habent.

[Quod Edd. vett. Guelf. Eton. dant ἀντὶ δὲ Ἀγίου Κλεάνωρ Ἀρκὰς pro vulgato Ἀγίου Ἀρκάδος Κλ. Ὀρχομένιος, rejeci propterea, quod Zeune affirmat, Cleanorem hunc semper aliis in locis Orchomenium cognominari. Quod quam sit verum, docet locus ii. 1, 10. ἔνθα δὴ ἀπεκρίνατο Κλεάνωρ μὲν ὁ Ἀρκὰς πρεσβύτατος ὢν στρατηγός. Itaque primo loco post Clearchum legato Tissaphernis respondet. Verum libri ii. 5, 37. Κλεάνωρ Ὀρχομένιος καὶ Σοφαίνετος Στυμφάλιος στρατηγοὶ evocantur ad colloquium cum Ariæo, ejusque orationi respondisse dicitur Κλεάνωρ ὁ Ὀρχομένιος. Cleanorem igitur videmus στρατηγὸν semel Arcadem, altero vero loco Orchomenium bis nominatum. At Ἀγίας Ἀρκὰς item disertim στρατηγὸς vocatur ii. 5, 31. iterum ii. 6, 1. et ii. 6, 30. ubi est Ἀγίας ὁ Ἀρκὰς, ubi liber aliquis Ἀνύσιας scriptum habet. In hujus Agiæ Arcadis, a Tissapherne dolose occisi locum sufficitur Κλεάνωρ. Quæritur jam de patria, vel potius de ipsa persona hominis. Conqueri aliquis merito possit de Xenophontis negligentia, si eundem στρατηγὸν Arcadem, paulo post tamen iterum iterumque Orchomenium nominavit, ita tamen ut Orchomenum Arcadiæ intelligi voluerit. Sed dubium me habet id, quod video ab Interpretibus præteritum. Cleanor Arcas vel Orchomenius si in locum Agiæ Arcadis suffectus fuit, quid factum ea exercitus parte, cui præfectus antea ut στρατηγὸς fuerat? Quid opus erat στρατηγὸν, et quidem maximum om-

ἀντὶ δὲ Μένωνος Φιλήσιος Ἀχαιὸς, ἀντὶ δὲ Προξένου Ξενοφῶν Ἀθηναῖος.

CAP. II.

ΕΠΕΙ δὲ ᾕρηντο, ἡμέρα τε σχεδὸν ὑπέφαινε, καὶ εἰς
τὸ μέσον ἧκον οἱ ἄρχοντες, ἔδοξεν αὐτοῖς, προφύλακας
καταστήσαντας, συγκαλεῖν τοὺς στρατιώτας. Ἐπεὶ δὲ
καὶ οἱ ἄλλοι στρατιῶται συνῆλθον, ἀνέστη πρῶτον μὲν
Χειρίσοφος ὁ Λακεδαιμόνιος, καὶ ἔλεξεν ὧδε· Ὦ ἄνδρες 2
στρατιῶται, χαλεπὰ μὲν τὰ παρόντα, ὁπότε ἀνδρῶν
στρατηγῶν τοιούτων στερόμεθα καὶ λοχαγῶν καὶ στρα-
τιωτῶν· πρὸς δ' ἔτι καὶ οἱ ἀμφὶ Ἀριαῖον, οἱ πρόσθεν
σύμμαχοι ὄντες, προδεδώκασιν ἡμᾶς. Ὅμως δὲ δεῖ ἐκ 3
τῶν παρόντων ἄνδρας ἀγαθούς τε ἐλθεῖν, καὶ μὴ ὑφίε-
σθαι, ἀλλὰ πειρᾶσθαι, ὅπως, ἢν μὲν δυνώμεθα, κα-
λῶς νικῶντες σωζώμεθα· εἰ δὲ μὴ, ἀλλὰ καλῶς γε
ἀποθνήσκωμεν, ὑποχείριοι δὲ μήποτε γενώμεθα ζῶντες
τοῖς πολεμίοις. Οἶμαι γὰρ ἂν ἡμᾶς τοιαῦτα παθεῖν,
οἷα τοὺς ἐχθροὺς οἱ θεοὶ ποιήσειαν.
Ἐπὶ τούτῳ Κλεάνωρ Ὀρχομένιος ἀνέστη, καὶ ἔλεξεν 4

nium natu, mortuo quidem Clearcho, Cleanorem in locum mortui στρατηγοῦ, et junioris quidem, sufficere? In posterioribus libris, veluti iv. 8, 18. Κλεάνωρ ὁ Ὀρχομένιος præfectus dicitur militum Arcadum gravis armaturæ: τὸ Ἀρκαδικὸν ὁπλιτικὸν ὧν ἦρχε Κλ. ὁ Ὀρ. Sed ecce iterum libri vi. 4, 22. Κλεάνωρ ὁ Ἀρκὰς nominatur sine nota imperii. Postea vii. 2, 2. Κλεάνωρ στρατηγὸς sine nota patriæ nominatur; idemque est simpliciter ὁ Κλεάνωρ vii. 5, 10. Quid igitur statuendum censes, mi Buttmanne? Duosne Cleanoras fuisse in exercitu Græcorum, Arcadem et Orchomenium, an unum tantum, quem Xenophon non sine crimine negligentiæ modo Arcadem, interdum Orchomenium nominaverit, bis etiam sine nota patriæ memoraverit? *Ex Epistola.*]

2. Ὦ ἄνδρες] Eton. ὦ omittit, et deinceps στερούμεθα habet.

3. ἄνδρας ἀγαθούς τε ἐλθεῖν] Wyttenbach ad Plutarchum de Sera N. Vind. p. 88. corrigebat ἐπελθεῖν, sed in annotatione ad h. l. in Eclogis probat εἶναι, vel ἐξελθεῖν, quod Leonclavius *emergere e præsentibus hisce malis* verterit. Weiske *pro præsenti rerum statu viros fortes venire*, id est *esse*, interpretatur, et putat hanc verbi vim et gratiam Latinos imitatos esse. Mihi vero cum Wyttenbachio verbum vitiosum esse videtur.

σωζώμεθα—ἀποθνήσκωμεν] Paris. liber σωζόμεθα—ἀποθνήσκομεν habet.

ὧδε· Ἀλλ᾽ ὁρᾶτε μὲν, ὦ ἄνδρες, τὴν βασιλέως ἐπιορκίαν
καὶ ἀσέβειαν· ὁρᾶτε δὲ τὴν Τισσαφέρνους ἀπιστίαν,
ὅστις, λέγων, ὡς γείτων τε εἴη τῆς Ἑλλάδος, καὶ περὶ
πλείστου ἂν ποιήσαιτο σῶσαι ἡμᾶς, καὶ ἐπὶ τούτοις αὐ-
τὸς ὀμόσας ἡμῖν, αὐτὸς δεξιὰς δοὺς, αὐτὸς ἐξαπατήσας,
συνέλαβε τοὺς στρατηγοὺς, καὶ οὐδὲ Δία Ξένιον ᾐδέσθη,
ἀλλὰ, Κλεάρχῳ καὶ ὁμοτράπεζος γενόμενος, αὐτοῖς τού-
5 τοις ἐξαπατήσας τοὺς ἄνδρας ἀπολώλεκεν. Ἀριαῖος
δὲ, ὃν ἡμεῖς ἠθέλομεν βασιλέα καθιστάναι, καὶ ἐδώκα-
μεν καὶ ἐλάβομεν πιστὰ, μὴ προδώσειν ἀλλήλους, καὶ
οὗτος, οὔτε τοὺς θεοὺς δείσας, οὔτε Κῦρον τὸν τεθνηκότα
αἰδεσθεὶς, τιμώμενος μάλιστα ὑπὸ Κύρου ζῶντος, νῦν πρὸς
τοὺς ἐκείνου ἐχθίστους ἀποστὰς, ἡμᾶς τοὺς Κύρου φί-
6 λους κακῶς ποιεῖν πειρᾶται. Ἀλλὰ τούτους μὲν οἱ
θεοὶ ἀποτίσαιντο· ἡμᾶς δὲ δεῖ, ταῦτα ὁρῶντας, μήποτε
ἐξαπατηθῆναι ἔτι ὑπὸ τούτων, ἀλλὰ μαχομένους, ὡς ἂν
δυνώμεθα κράτιστα, τοῦτο, ὅ τι ἂν δοκῇ τοῖς θεοῖς, πά-
σχειν.

7 Ἐκ τούτου Ξενοφῶν ἀνίσταται, ἐσταλμένος εἰς πόλε-
μον ὡς ἐδύνατο κάλλιστα· νομίζων, εἴτε νίκην διδοῖεν οἱ
θεοὶ, τὸν κάλλιστον κόσμον τῷ νικᾷν πρέπειν· εἴτε τελευ-
τᾷν δέοι, ὀρθῶς ἔχειν, τῶν καλλίστων ἑαυτὸν ἀξιώσαντα,
ἐν τούτοις τῆς τελευτῆς τυγχάνειν· τοῦ δὲ λόγου ἤρχετο
8 ὧδε· Τὴν μὲν τῶν βαρβάρων ἐπιορκίαν τε καὶ ἀπιστίαν

4. *αὐτὸς ὀμόσας*] Guelf. *αὐτὸς* omittit, quo facto epanaphoræ figuræ vis omnis tollitur. Æschyli locum similem ex Athenagoræ Apologia posuit Stephanus: Ὁ δ᾽ *αὐτὸς ὑμνῶν, αὐτὸς ἐν θοίνῃ παρὼν, Αὐτὸς τάδ᾽ εἰπὼν αὐτός ἐστιν ὁ κτανὼν Τὸν παῖδα τὸν ἐμόν.*

Κλεάρχῳ *καὶ*] Juntina, Guelf. Eton. Κλεάρχῳ *τε*, Aldina Κλ. *τε καὶ* habent.

5. *τὸν τεθνηκότα*] Articulum omisit Eton.

τοὺς ἐκείνου ἐχθίστους] Suspicor olim *ἐκείνῳ* fuisse.

7. *ἐσταλμένος εἰς πόλεμον*] Margo Steph. Paris. Eton. *ἐπὶ πόλεμον*. Ælianus V. H. iii. 24. sententiam hujus loci excerpsit.

οἱ θεοὶ] Edd. vett. excepta Castalionis, et Guelf. *οἱ θεοί τε* habent.

λέγει Κλεάνωρ, ἐπίστασθε δὲ, οἶμαι, καὶ ὑμεῖς. Εἰ
μὲν οὖν βουλευόμεθα πάλιν αὐτοῖς διὰ φιλίας ἰέναι,
ἀνάγκη ἡμᾶς πολλὴν ἀθυμίαν ἔχειν, ὁρῶντας τοὺς στρα-
τηγοὺς, οἳ διὰ πίστεως αὑτοῖς ἑαυτοὺς ἐνεχείρισαν, οἷα
πεπόνθασιν· εἰ μέντοι διανοούμεθα σὺν τοῖς ὅπλοις, ὧν
τε πεποιήκασι, δίκην ἐπιθεῖναι αὐτοῖς, καὶ τὸ λοιπὸν
διὰ παντὸς πολέμου αὐτοῖς ἰέναι, σὺν τοῖς θεοῖς πολλαὶ
ἡμῖν καὶ καλαὶ ἐλπίδες εἰσὶ σωτηρίας. Τοῦτο δὲ λέ- 9
γοντος αὐτοῦ, πτάρνυταί τις· ἀκούσαντες δὲ οἱ στρατιῶ-
ται, πάντες μιᾷ ὁρμῇ προσεκύνησαν τὸν θεόν· καὶ Ξενο-
φῶν εἶπε· Δοκεῖ μοι, ὦ ἄνδρες, ἐπεὶ περὶ σωτηρίας ἡμῶν
λεγόντων οἰωνὸς τοῦ Διὸς τοῦ Σωτῆρος ἐφάνη, εὔξασθαι
τῷ θεῷ τούτῳ θύσειν σωτήρια, ὅπου ἂν πρῶτον εἰς φι-
λίαν χώραν ἀφικώμεθα· συνεπεύξασθαι δὲ καὶ τοῖς
ἄλλοις θεοῖς θύσειν κατὰ δύναμιν. Καὶ ὅτῳ δοκεῖ
ταῦτ', ἔφη, ἀνατεινάτω τὴν χεῖρα. Καὶ ἀνέτειναν ἅπαν-
τες. Ἐκ τούτου εὔξαντο καὶ ἐπαιάνισαν. Ἐπεὶ δὲ τὰ
τῶν θεῶν καλῶς εἶχεν, ἤρχετο πάλιν ὧδε·

Ἐτύγχανον λέγων, ὅτι πολλαὶ καὶ καλαὶ ἐλπίδες 10
ἡμῖν εἶεν σωτηρίας. Πρῶτον μὲν γὰρ ἡμεῖς μὲν ἐμπε-
δοῦμεν τοὺς τῶν θεῶν ὅρκους, οἱ δὲ πολέμιοι ἐπιωρκήκασί
τε, καὶ τὰς σπονδὰς καὶ τοὺς ὅρκους λελύκασιν. Οὕτω

8. λέγει] Paris. Eton. λέγει μὲν habent.

βουλευόμεθα] Arnaldus Animad. Critic. p. 176. monet conjectura βουλόμεθα non esse opus; illud esse exquisitius verbum, magis convenire tali orationi, et respondere sequenti διανοούμεθα censet Weiske.

αὐτοῖς διὰ φιλίας ἰέναι] Sequitur διὰ παντὸς πολέμου αὐτοῖς ἰέναι. Euripidis Andromachæ locum 416. διὰ φιλημάτων ἰὼν πατρὶ τῷ σῷ comparavit Wyttenbach.

9. καὶ Ξενοφῶν] Ex Eton. ὁ addidit Zeune.

Διὸς τοῦ Σωτῆρος] Cum ad verba πολλαὶ ἡμῖν—σωτηρίας sternutasset aliquis, ideo οἰωνὸς vel omen a Jove Σωτῆρι missum dicitur. Præterea sternutanti solebant bene precari formula Ζεῦ σῶσον.

θύσειν] Aldina verbum omisit.

ἐπαιάνισαν] Paris. Eton. ἐπαιώνισαν. deinceps ἤρξατο πάλιν Eton.

10. καὶ καλαὶ] Paris. καὶ ἄλλαι. inepte.

καὶ τοὺς ὅρκους] Quod Guelf. inter versus habet superscriptum παρὰ pro copula καὶ, idem margo Villois. annotavit; idque equidem præfero.

δ' ἐχόντων, εἰκὸς, τοῖς μὲν πολεμίοις ἐναντίους εἶναι τοὺς
θεοὺς, ἡμῖν δὲ συμμάχους, οἵπερ ἱκανοί εἰσι, καὶ τοὺς
μεγάλους ταχὺ μικροὺς ποιεῖν, καὶ τοὺς μικροὺς, κἂν ἐν
11 δεινοῖς ὦσι, σώζειν εὐπετῶς, ὅταν βούλωνται. Ἔπειτα δὲ,
(ἀναμνήσω γὰρ ὑμᾶς καὶ τοὺς τῶν προγόνων τῶν ἡμετέρων
κινδύνους· ἵν' εἰδῆτε, ὡς ἀγαθοῖς τε ὑμῖν προσήκει εἶναι,
σώζονταί τε σὺν τοῖς θεοῖς καὶ ἐκ πάνυ δεινῶν οἱ ἀγαθοὶ,)
ἐλθόντων μὲν γὰρ Περσῶν καὶ τῶν σὺν αὐτοῖς παμπληθεῖ
στόλῳ, ὡς ἀφανιούντων τὰς Ἀθήνας, ὑποστῆναι αὐτοῖς
12 Ἀθηναῖοι τολμήσαντες, ἐνίκησαν αὐτούς. Καὶ εὐξάμενοι
τῇ Ἀρτέμιδι, ὁπόσους ἂν κατακάνοιεν τῶν πολεμίων, τοσ-
αύτας χιμαίρας καταθύσειν τῇ θεῷ, ἐπεὶ οὐκ εἶχον
ἱκανὰς εὑρεῖν, ἔδοξεν αὐτοῖς, κατ' ἐνιαυτὸν πεντακοσίας
13 θύειν· καὶ ἔτι καὶ νῦν ἀποθύουσιν. Ἔπειτα ὅτε Ξέρξης
ὕστερον ἀγείρας τὴν ἀναρίθμητον στρατιὰν ἦλθεν ἐπὶ τὴν
Ἑλλάδα, καὶ τότε ἐνίκων οἱ ἡμέτεροι πρόγονοι τοὺς τού-
των προγόνους, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.
Ὧν ἔστι μὲν τεκμήρια ὁρᾷν τὰ τρόπαια, μέγιστον δὲ
μαρτύριον ἡ ἐλευθερία τῶν πόλεων, ἐν αἷς ὑμεῖς ἐγένεσθε
καὶ ἐτράφητε· οὐδένα γὰρ ἄνθρωπον δεσπότην, ἀλλὰ
τοὺς θεοὺς προσκυνεῖτε. Τοιούτων μέν ἐστε προγόνων.
14 Οὐ μὲν δὴ τοῦτό γε ἐρῶ, ὡς ὑμεῖς καταισχύνετε αὐτούς·

ὅταν βούλωνται] Inepte Eton. ὅταν δύνωνται.

11. τῶν ἡμετέρων] Ex Guelf. et Castal. ὑμετέρων prætulit Zeune propter ὑμῖν et ὑμᾶς. Sed utrumque æque commodum est in oratione civis Atheniensis. Sed sect. 13. iterum est οἱ ἡμέτεροι πρόγονοι.

ἀφανιούντων] Margo Steph. Paris. Eton. αὖθις addunt, quod in altera Xerxis expeditione locum haberet.

12. Ἀρτέμιδι] Ἀγροτέραν vocatam intelligi monet Zeune.

πεντακοσίας] Eundem numerum ponit Plutarchus de Herodoti Malignit. p. 421. ed. Reiske, p. 308. ed. Hutten : εὐξαμένους γάρ φασι τοὺς Ἀθηναίους τῇ Ἀγροτέρᾳ θύσειν χιμάρους ὅσους ἂν τῶν βαρβάρων καταβάλωσιν, εἶτα μετὰ τὴν μάχην ἀναρίθμου πλήθους τῶν νεκρῶν ἀναφανέντος, παραιτεῖσθαι ψηφίσματι τὴν θεὸν, ὅπως καθ' ἕκαστον ἐνιαυτὸν ἀποθύωσι πεντακοσίας τῶν χιμάρων. De eadem Diana est ibidem p. 307. οὐδὲ τὴν πρὸς Ἄγρας πομπὴν, ἣν πέμπουσιν ἔτι νῦν τῇ ἕκτῃ χαριστήρια τῆς νίκης ἑορτάζοντες. Cf. Schol. ad Aristoph. Equit. 657. Æliani V. H. ii. 25.

ἀποθύουσιν] Cf. dicenda infra ad iv. 8, 25.

ἀλλ᾽ οὔπω πολλαὶ ἡμέραι, ἀφ᾽ οὗ ἀντιταξάμενοι τούτοις
τοῖς ἐκείνων ἐκγόνοις, πολλαπλασίους ὑμῶν αὐτῶν ἐνι-
κᾶτε σὺν τοῖς θεοῖς. Καὶ τότε μὲν δὴ περὶ τῆς Κύρου 15
βασιλείας ἄνδρες ἦτε ἀγαθοί· νῦν δ᾽, ὁπότε περὶ τῆς
ὑμετέρας σωτηρίας ὁ ἀγών ἐστι, πολὺ δήπου ὑμᾶς προσ-
ήκει καὶ ἀμείνονας καὶ προθυμοτέρους εἶναι. Ἀλλὰ 16
μὴν καὶ θαῤῥαλεωτέρους νῦν πρέπει εἶναι πρὸς τοὺς
πολεμίους. Τότε μὲν γὰρ ἄπειροι ὄντες αὐτῶν, τό τε
πλῆθος ἄμετρον ὁρῶντες, ὅμως ἐτολμήσατε σὺν τῷ πα-
τρίῳ φρονήματι ἰέναι εἰς αὐτούς· νῦν δ᾽, ὁπότε καὶ πεῖ-
ραν ἤδη ἔχετε αὐτῶν, ὅτι θέλουσι καὶ πολλαπλάσιοι
ὄντες μὴ δέχεσθαι ὑμᾶς, τί ὑμῖν ἔτι προσήκει τούτους
φοβεῖσθαι; Μηδὲ μέντοι τοῦτο μεῖον δόξητε ἔχειν, εἰ οἱ 17
Κυρεῖοι, πρόσθεν σὺν ὑμῖν ταττόμενοι, νῦν ἀφεστήκασιν·
ἔτι γὰρ οὗτοι κακίονές εἰσι τῶν ὑφ᾽ ἡμῶν ἡττημένων· ἔφευ-
γον οὖν πρὸς ἐκείνους, καταλιπόντες ὑμᾶς. Τοὺς δὲ
ἐθέλοντας φυγῆς ἄρχειν, πολὺ κρεῖττον σὺν τοῖς πολε-
μίοις ταττομένους, ἢ ἐν τῇ ὑμετέρᾳ τάξει, ὁρᾶν. Εἰ δέ 18
τις αὖ ὑμῶν ἀθυμεῖ, ὅτι ὑμῖν μὲν οὐκ εἰσὶν ἱππεῖς, τοῖς
δὲ πολεμίοις πολλοὶ πάρεισιν, ἐνθυμήθητε, ὅτι οἱ μύριοι
ἱππεῖς οὐδὲν ἄλλο, ἢ μύριοι ἄνθρωποι εἰσίν· ὑπὸ μὲν
γὰρ ἵππου ἐν μάχῃ οὐδεὶς πώποτε οὔτε δηχθεὶς οὔτε
λακτισθεὶς ἀπέθανεν· οἱ δ᾽ ἄνδρες εἰσὶν οἱ ποιοῦντες, ὅ τι
ἂν ἐν ταῖς μάχαις γίγνηται. Οὐκοῦν τῶν γε ἱππέων 19
πολὺ ἡμεῖς ἐπ᾽ ἀσφαλεστέρου ὀχήματος ἐσμέν· οἱ μὲν
γὰρ ἐφ᾽ ἵππων κρέμανται, φοβούμενοι οὐχ ἡμᾶς μόνον,

14. ὑμῶν αὐτῶν] Paris. ἡμῶν habet.
16. πατρίῳ] Margo Steph. Paris. Eton. πατρῴῳ habent, solenni fere varietate.
17. μηδὲ μέντοι] Guelf. μὴ μέντοι habet. Sequens Κυρεῖοι dedit Brodæus, Amasæi versio, Leonclavius; Κύριοι erat in libris plerisque editis, ut in Guelf. Eton.
σὺν ὑμῖν] Paris. σὺν ἡμῖν; deinceps Edd. vett. Guelf. ἡττωμένων.
ὑμᾶς — ὑμετέρᾳ] Castalio et liber Paris. ἡμᾶς—ἡμετέρᾳ. et statim sect. seq. ὅτι ἡμῖν habent.

ἀλλὰ καὶ τὸ καταπεσεῖν· ἡμεῖς δ' ἐπὶ τῆς γῆς βεβη-
κότες, πολὺ μὲν ἰσχυρότερον παίσομεν, ἤν τις προσίῃ,
πολὺ δ' ἔτι μᾶλλον, ὅτου ἂν ἐθέλωμεν, τευξόμεθα.
Ἑνὶ μόνῳ προέχουσιν ἡμᾶς οἱ ἱππεῖς· φεύγειν αὐτοῖς
20 *ἀσφαλέστερόν ἐστιν, ἢ ἡμῖν. Εἰ δὲ δὴ τὰς μὲν μάχας*
θαῤῥεῖτε, ὅτι δ' οὐκέτι ἡμῖν Τισσαφέρνης ἡγήσεται, οὐδὲ
βασιλεὺς ἀγορὰν παρέξει, τοῦτο ἄχθεσθε, σκέψασθε,
πότερον κρεῖττον, Τισσαφέρνην ἡγεμόνα ἔχειν, ὃς ἐπιβου-
λεύων ἡμῖν φανερός ἐστιν, ἢ οὓς ἂν ἡμεῖς ἄνδρας λαβόν-
τες ἡγεῖσθαι κελεύωμεν· οἳ εἴσονται, ὅτι, ἤν τι περὶ
ἡμᾶς ἁμαρτάνωσι, περὶ τὰς ἑαυτῶν ψυχὰς καὶ τὰ σώ-
21 *ματα ἁμαρτάνουσι. Τὰ δ' ἐπιτήδεια πότερον ὠνεῖσθαι*
κρεῖττον ἐκ τῆς ἀγορᾶς, ἧς οὗτοι παρεῖχον, μικρὰ μέτρα
πολλοῦ ἀργυρίου, μηδὲ τοῦτο ἔτι ἔχοντας, ἢ αὐτοὺς λαμ-
βάνειν, ἤνπερ κρατῶμεν, μέτρῳ χρωμένους, ὁπόσῳ ἂν
22 *ἕκαστος βούληται. Εἰ δὲ ταῦτα μὲν γιγνώσκετε, ὅτι*
οὕτω κρεῖττον, τοὺς δὲ ποταμοὺς ἄπορον νομίζετε εἶναι,
καὶ μεγάλως ἡγεῖσθε ἐξαπατηθῆναι διαβάντες, σκέ-

19. *προσίῃ*] Edd. vett. Guelf. *προσῇ*, Eton. *προσείῃ*. Pro *ἐθέλωμεν* margo Steph. cum Paris. *βουλώμεθα* habet. Postea *ἐστιν ἀσφαλέστερον* habet Guelf.

Ἑνὶ μόνῳ] Priscianus p. 1201. ed. Putschii laudat *ἓν μόνον προέχοντες ἱππεῖς ἡμᾶς*. Ita Cyrop. ii. 1, 16. *οὐδὲν ἡμεῖς ὑμῶν προέξομεν*. Porson, qui eundem Prisciani locum posuit, comparat ex Scholiis ad Sophoclis Philoct. initio: *ἐκεῖνο μέντοι διαφέρει*, quod Brunckius ex conjectura Valckenarii in Diatribe p. 116. mutaverit.

20. *οὐκέτι ἡμῖν*] Paris. *οὐκέτι ὑμῖν* habet. Deinceps *κελεύομεν* Edd. vett. et Guelf.

21. *ἢ αὐτοὺς λαμβάνειν, ἤνπερ κρατῶμεν*] Egregiam loco vulgo vitioso, (legebatur enim *αὐτοὺς λαμβάνειν, ἤ, ἤνπερ κρατῶμεν*,) medelam attulit liber Etonensis. Weiske *μηδὲ, τοῦτο ἔχοντας, αὐτοὺς λαμβάνειν* distinxerat vertens: *neque nos ipsos sumere* (commeatum ex agris), *ubi pecunia adhuc suppetit*. Malebat tamen *τούτου* scriptum pro *τοῦτο*. De vitio et vera lectione monuit etiam Buttmannus.

22. *ὅτι οὕτω κρεῖττον*] Margo Steph. Paris. Eton. *ὅτι κρείττονα*.

διαβάντες] *Ductu barbarorum transiistis amnes*, Zeune. Contra Weiske: *in itinere cum Cyro, in ἀνόδῳ*. Male. Quid Græci interclusi inter Tigrin et Euphraten metuerent, dixit supra Xenophon ii. 4, 4. et 6. Cur barbari Græcos ibi morantes timerent, est ii. 4, 22. Ex illis locis petenda est interpretatio hujus, in quo misere se lectorisque patientiam vanis conatibus torsit Weiske. Verba *εἰ τοῦτο— πεποιήκασιν οἱ βάρβαροι* significant, stulte fecisse barbaros in eo, quod dolis subegerint Græcos Mesopotamiam relinquere, et Euphraten cum Tigride transire.

ψασθε, εἰ ἄρα τοῦτο καὶ μωρότατον πεποιήκασιν οἱ βάρ-
βαροι. Πάντες μὲν γὰρ οἱ ποταμοὶ, εἰ καὶ πρόσω τῶν
πηγῶν ἄποροι ὦσι, προϊοῦσι πρὸς τὰς πηγὰς διαβατοὶ
γίγνονται, οὐδὲ τὸ γόνυ βρέχοντες. Εἰ δὲ μήθ' οἱ ποτα- 23
μοὶ διήσουσιν, ἡγεμών τε μηδεὶς φανεῖται, οὐδ' ὣς ἡμῖν
γε ἀθυμητέον. Ἐπιστάμεθα γὰρ Μυσοὺς, οὓς οὐκ ἂν
ἡμῶν φαίημεν βελτίους εἶναι, οἳ, βασιλέως ἄκοντος, ἐν
τῇ βασιλέως χώρᾳ πολλάς τε καὶ μεγάλας καὶ εὐδαί-
μονας πόλεις οἰκοῦσιν· ἐπιστάμεθα δὲ Πεισίδας ὡσαύ-
τως· Λυκάονας δὲ καὶ αὐτοὶ εἴδομεν, ὅτι, ἐν τοῖς πεδίοις
τὰ ἐρυμνὰ καταλαβόντες, τὴν τούτου χώραν καρποῦνται·
Καὶ ἡμᾶς δ' ἂν φαίην ἔγωγε χρῆναι μήπω φανεροὺς 24
εἶναι οἴκαδε ὡρμημένους, ἀλλὰ κατασκευάζεσθαι, ὡς
αὐτοῦ που οἰκήσοντας. Οἶδα γὰρ, ὅτι καὶ Μυσοῖς βα-
σιλεὺς πολλοὺς μὲν ἡγεμόνας ἂν δοίη, πολλοὺς δ' ἂν
ὁμήρους τοῦ ἀδόλως ἐκπέμψειν· καὶ ὁδοποιήσειέ γ' ἂν
αὐτοῖς, καὶ εἰ σὺν τεθρίπποις βούλοιντο ἀπιέναι. Καὶ
ἡμῖν γ' ἂν οἶδ' ὅτι τρισάσμενος ταῦτα ἐποίει, εἰ ἑώρα
ἡμᾶς μένειν παρασκευαζομένους. Ἀλλὰ γὰρ δέδοικα, 25

εἰ καὶ πρόσω] Ita margo Steph. Paris. Eton. Vulgo erat ἢν πρόσω. Sententia eadem est Hellenic. iv. 2, 11.

23. διήσουσιν] Paris. διοίσουσιν habet. Muretus Var. Lect. xviii. 15. cum scribendum conjiceret διείρξουσιν, ἡγεμὼν δὲ, voluit sententiam et orationis formam parem reddere sect. 20. et 22. sed ita aberravit ab universa loci sententia.

Μυσοὺς] Eadem refert Memorab. iii. 5, 26. Deinceps Eton. habet οἳ βασιλέως χώρᾳ ἄκοντος. in qua scriptura veræ vestigia inesse puto. Geminatum enim βασιλέως in vulgata vim nullam habet. Igitur scribendum puto: οἳ ἐν τῇ βασιλέως χώρᾳ ἄκοντος πολλάς τε &c. Vulgatum defendit Hutchinson ita, ut alterum nomen loco pronominis positum dicat; sed loca Xenophontis, quæ comparavit, non sunt similia huic nostro.

Πεισίδας] Edd. vett. excepta Castal. cum Guelf. dant Πισίδας, Paris. Πισσίδας.

τὴν τούτου—καρποῦνται] Eton. τὴν τούτων χώραν οἰκεῖν habet.

24. ἂν φαίην] Castalionis emendationem vulgato ἔφην primus substituit Hutchinson.

γ' ἂν αὐτοῖς] Ita cum Moro et Zeune scripsit Wyttenbach et Weiske pro αὐτοὺς vulgato. Pro τρισάσμενος Brodæus πρισάμενος, *emturus*, conjiciebat. Credo eum voluisse πριάμενος dare.

μένειν παρασκευαζομένους] Codex Paris. et Eton. κατασκευαζομένους dat, quod quominus recipiatur, intercedit observatio singularis Wyttenbachii hæc: *Hoc quidem loco κατασκευάζε-*

μὴ, ἂν ἅπαξ μάθωμεν ἀργοὶ ζῆν, καὶ ἐν ἀφθόνοις βιοτεύειν, καὶ Μήδων δὲ καὶ Περσῶν καλαῖς καὶ μεγάλαις γυναιξὶ καὶ παρθένοις ὁμιλεῖν, μὴ, ὥσπερ οἱ λωτοφάγοι, ἐπιλαθώμεθα τῆς οἴκαδε ὁδοῦ.
26 Δοκεῖ οὖν μοι εἰκὸς καὶ δίκαιον εἶναι, πρῶτον εἰς τὴν Ἑλλάδα καὶ πρὸς τοὺς οἰκείους πειρᾶσθαι ἀφικνεῖσθαι, καὶ ἐπιδεῖξαι τοῖς Ἕλλησιν, ὅτι ἑκόντες πένονται, ἐξὸν αὐτοῖς, τοὺς

σθαι est per simulationem se ad aliquod opus instruere, cujus potestatis usum in animadversionibus ad Plutarchum explicabimus: παρασκευάζεσθαι est serio se ad aliquod opus instruere. Quod si vir doctus exsecutus fuerit, gratum nobis et Weiskio fecerit. Equidem κατασκευάζεσθαι infinitivo junctum nondum reperi, eamque ob causam lectionem libri Paris. et Eton. spernendam censeo. Proprie autem κατασκευὴ et κατασκευάζεσθαι dicitur de instrumento, et instruenda domu, arte, officina, instrumentis, vasis, utensilibusque necessariis. Thucydides ii. 17. κατεσκευάσαντο δὲ καὶ ἐν τοῖς πύργοις τῶν τειχῶν πολλοὶ καὶ ὡς ἕκαστός που ἐδύνατο. Pro quo antea dixerat ᾤκησαν τὰ ἔρημα τῆς πόλεως καὶ τὰ ἱερὰ &c. Iterum sic est v. 75. et viii. 24. ubi est οἱ δὲ τὴν χώραν καλῶς κατεσκευασμένην καὶ ἀπαθῆ οὖσαν —διεπόρθησαν. iv. 75. Antandrus dicitur μέλλουσα κατασκευάζεσθαι, quod vertitur *munienda.* ναυμαχίαν βελτίω κατασκευάζεσθαι legitur nunc in ii. 85. sed in libris scriptis rectius παρασκ. est. Vocabulo κατασκευαὶ sic utitur ii. 16. οὐ ῥαδίως τὰς μεταναστάσεις ἐποιοῦντο, ἄλλως τε καὶ ἄρτι ἀνειληφότες τὰς κατασκευὰς μετὰ τὰ Μηδικά. Isocrates Panegyrici cap. 35. τῇ τῶν Ἑλλήνων ῥώμῃ τὴν ἀρχὴν τὴν αὑτοῦ κατασκευαζόμενον Persarum regem ait imperium suum viribus Græcorum firmare et veluti munire. Apud nostrum ἡ τῶν ἰδίων κατασκευὴ Memorab. ii. 4, 6. et in Œcon. ii. 8. τῇ ἑαυτῶν κατασκευῇ dicitur de rei domesticæ apparatu, instrumentis, copiis. De Vectig. iv. 8. οἱ μὲν ἄνδρες ἀμφὶ—οἰκίας καὶ κατασκευὰς μεγαλοπρεπεῖς βούλονται δαπανᾷν. sect. 11. ὅπως ὅτι πλείστους ἀνθρώπους ἐπὶ τὰ ἀργύρια ἄγωμεν, θαρσοῦντες δὲ κατασκευαζώμεθα ἐν αὐτοῖς. sect. 17. paulo insolentius est ὥσπερ οἱ ἰδιῶται κτησάμενοι ἀνδράποδα πρόσοδον ἀέναον κατεσκευασμένοι εἰσίν. fere ut de Equitatione vii. 4. καὶ κατεσκευασμένος πάντα, εἴ τι δέοι ἐξαίφνης πρὸς πολεμίους ἀγωνίζεσθαι. sect. 28. πάλιν κατασκευάζεσθαι idem est quod καινοτομεῖν de argentifodinis. In Œconomico est κατασκευάζειν τὴν χώραν ἄριστα iv. 15. γεωργοὺς ἐκ παιδίων ὠνούμενον κατασκευάζειν iii. 10. ut Plutarchus in Pericle 16. εὖ πεφυκὼς ἢ κατεσκευασμένος ὑπὸ τοῦ Περικλέους, ubi est *instruere* et *docere.* In Cyropædia κατασκευάζεσθαι αὐτὸς βουλόμενος, ὡς βασιλεῖ ἡγεῖτο πρέπειν vii. 5, 37. dicitur de instruenda Cyri domo, vita et disciplina domestica et publica. vi. 1, 51. τοὺς ἵππους χαλκοῖς πᾶσι προβλήμασι κατεσκευάσατο. contra vii. 1, 46. ὅπλισιν τοῖς ἱππεῦσι κατασκευάζειν est v. 5, 10. εἰ οἴει τῇ ἐμῇ παρουσίᾳ Μήδους κατεσκευάσθαι σοι ἱκανοὺς εἶναι κακῶς ποιεῖν. ubi scriptura antiqua κατεσκ. ὥστε ἱκανοὺς εἶναί σε κ. π. non fuit a me tentanda. Præcessit enim: καὶ οἱ ἐμοὶ δοῦλοι—κατεσκευασμένοι εἰσὶν, ὥστε δύνασθαι ποιῆσαι μᾶλλον ἐμὲ κακῶς ἢ παθεῖν ὑπ' ἐμοῦ. viii. 1, 4. νῦν δὲ κατεσκεύασθε οὕτω πάντες, ὥστε ἄρχετε οἱ μὲν πλειόνων οἱ δὲ μειόνων. Lysias non solum notionem habitandi frequentavit, veluti p. 754. et in Fragmento 4. sed idem τέχνην μυρεψικὴν κατασκευάζεσθαι dixit apud Athenæum p. 611. Itaque in hoc loco κατασκευάζεσθαι ὥς που οἰκήσοντα idem est cum sequenti μένειν παρασκευάζεσθαι.

25. μεγάλαις] Paris. μεγίσταις. De Lotophagis compara Odysseæ ix. 83. seqq.

νῦν οἴκοι ἀκλήρους πολιτεύοντας, ἐνθάδε κομισαμένους,
πλουσίους ὁρᾶν. Ἀλλὰ γὰρ, ὦ ἄνδρες, πάντα ταῦτ'
ἀγαθὰ δηλονότι τῶν κρατούντων ἐστί. Τοῦτο δὲ δεῖ λέ- 27
γειν, πῶς ἂν πορευοίμεθά τε ὡς ἀσφαλέστατα, καὶ, εἰ
μάχεσθαι δέοι, ὡς κράτιστα μαχοίμεθα. Πρῶτα μὲν
τοίνυν, ἔφη, δοκεῖ μοι κατακαῦσαι τὰς ἁμάξας, ἃς
ἔχομεν· ἵνα μὴ τὰ ζεύγη ἡμῶν στρατηγῇ, ἀλλὰ πορευώ-
μεθα, ὅποι ἂν τῇ στρατιᾷ συμφέρῃ· ἔπειτα καὶ τὰς
σκηνὰς συγκατακαῦσαι. Αὗται γὰρ αὖ ὄχλον μὲν
παρέχουσιν ἄγειν, συνωφελοῦσι δὲ οὐδὲν οὔτε εἰς τὸ μά-
χεσθαι, οὔτ' εἰς τὸ τὰ ἐπιτήδεια ἔχειν. Ἔτι δὲ τῶν 28
ἄλλων σκευῶν τὰ περιττὰ ἀπαλλάξωμεν, πλὴν ὅσα
πολέμου ἕνεκεν ἢ σίτων ἢ ποτῶν ἔχομεν· ἵν' ὡς πλεῖστοι
μὲν ἡμῶν ἐν τοῖς ὅπλοις ὦσιν, ὡς ἐλάχιστοι δὲ σκευοφο-
ρῶσι. Κρατουμένων μὲν γὰρ ἐπίστασθε ὅτι πάντα ἀλ-
λότρια· ἢν δὲ κρατῶμεν, καὶ τοὺς πολεμίους δεῖ σκευο-
φόρους ἡμετέρους νομίζειν. Λοιπόν μοι εἰπεῖν, ὅπερ καὶ 29
μέγιστον νομίζω εἶναι. Ὁρᾶτε γὰρ καὶ τοὺς πολεμίους,
ὅτι οὐ πρόσθεν ἐξενεγκεῖν ἐτόλμησαν πρὸς ἡμᾶς πόλεμον,
πρὶν τοὺς στρατηγοὺς ἡμῶν συνέλαβον, νομίζοντες, ὄντων
μὲν τῶν ἀρχόντων, καὶ ἡμῶν πειθομένων, ἱκανοὺς εἶναι

26. ἀκλήρους] Paris. σκληροὺς ἐκεῖ, Eton. σκληρῶς ἐκεῖ. Ceterum Xenophontem coloniam a Græcis deducendam cum armis in Asiam dicere recte monuit *Halbkart*.

27. Τοῦτο δὲ δεῖ] Quod probavit etiam Stephanus pro vulgato δὴ, ex Editione Castal. recepit Zeune.

ἡμῶν στρατηγῇ] Larcherus ἡμῖν malebat scriptum. Deinceps πορευοίμεθα Junt. πορευόμεθα Guelf. πορευσώμεθα Eton. Postea ὅπη Guelf. Denique συμφέροι Castalio.

γὰρ αὖ] Junt. γὰρ ἄν. Sed αὖ est *pariter*, ut τὰ ζεύγη.

28. τῶν ἄλλων σκευῶν] Polyænus i. 49, 1. Ξενοφῶν ἐπανῆγε τοὺς μυρίους· τῶν δὲ περὶ Τισσαφέρνην ἱππέων ἐνοχλούντων τὰ σκευοφόρα, γνώμην ἀγορεύσας, τὰς μὲν ἁμάξας καὶ τὰ περισσὰ τῆς σκευῆς (καταλείπειν supplet Casaubonus), ὅπως μὴ συμβαίνῃ τοῖς Ἕλλησιν περὶ ταῦτα μαχομένοις τελευτᾷν καὶ κωλύεσθαι προσωτέρω βαδίζειν.

ἀπαλλάξωμεν] Suidas sub h. v. interpretatur ἀφανίσωμεν.

πάντα ἀλλότρια] Ita cum Stephano et Eton. Hutchinson primus edidit; in aliis libris erat τὰ ἀλλότρια.

29. ἀρχόντων] Edd. vett. Guelf. ἀρξάντων. Ex vetere libro dedit nostrum Stephanus; poterat etiam ἀρξόντων. Deinceps ἐν τῷ πολέμῳ Eton. habet.

ἡμᾶς περιγενέσθαι τῷ πολέμῳ· λαβόντες δὲ τοὺς ἄρ-
χοντας, ἀναρχίᾳ ἂν καὶ ἀταξίᾳ ἐνόμιζον ἡμᾶς ἀπολέ-
30 σθαι. Δεῖ οὖν πολὺ μὲν τοὺς ἄρχοντας ἐπιμελεστέ-
ρους γενέσθαι τοὺς νῦν τῶν πρόσθεν, πολὺ δὲ τοὺς ἀρχο-
μένους εὐτακτοτέρους καὶ πειθομένους μᾶλλον τοῖς ἄρ-
31 χουσι νῦν, ἢ καὶ πρόσθεν. Ἢν δέ τις ἀπειθῇ, ἢν ψη-
φίσησθε τὸν ἀεὶ ὑμῶν ἐντυγχάνοντα σὺν τῷ ἄρχοντι κο-
λάζειν, οὕτως οἱ πολέμιοι πλεῖστον ἐψευσμένοι ἔσονται·
τῇδε γὰρ τῇ ἡμέρᾳ μυρίους ὄψονται ἀνθ' ἑνὸς Κλεάρ-
32 χους, τοὺς οὐδ' ἑνὶ ἐπιτρέψοντας κακῷ εἶναι. Ἀλλὰ
γὰρ καὶ περαίνειν ἤδη ὥρα· ἴσως γὰρ οἱ πολέμιοι αὐτίκα
παρέσονται. Ὅ τι μὲν οὖν τούτων δοκεῖ καλῶς ἔχειν,
ἐπικυρώσατε ὡς τάχιστα, ἵν' ἔργῳ περαίνητε. Εἰ δέ
τίς τι εἶδε τῶν ἄλλων βέλτιον, ἢ ταύτῃ, τολμάτω καὶ
ὁ ἰδιώτης διδάσκειν· πάντες γὰρ κοινῆς σωτηρίας δεό-
μεθα.

33 Μετὰ ταῦτα Χειρίσοφος εἶπεν· Ἀλλ' εἰ μέν τινος ἄλ-
λου δεῖ πρὸς τούτοις, οἷς εἶπε Ξενοφῶν, καὶ αὐτίκα ἐξέ-

λαβόντες] Vulgatum λαβόντας correxerat jam olim Muretus, adstipulante Codice Paris. et Regio B.

ἂν καὶ] Ex Eton. recte ἂν Hutchinson adscivit; ita non opus cum Stephano deinceps ἀπολεῖσθαι scribere.

30. τῶν πρόσθεν] Ita Leonclaviana cum margine Steph. Paris. Eton. Antea erat τῶν προτέρων.

ἢ καὶ πρόσθεν] Guelf. Paris. Eton. καὶ omittunt.

31. ἢν ψηφίσησθε] Edd. vett. cum Guelf. ἢν omittunt; Guelf. etiam ψηφίσασθαι habet. Paris. ἢν ψηφίσασθε, Eton. εἰ ψηφίσασθε. unde equidem scriberem εἰ ψηφίσαισθε.

τῇ ἡμέρᾳ] Articulum addidit Stephanus firmante margine Villois.

32. ὅ τι μὲν οὖν τούτων] Margo Steph. Paris. Eton. ὅτῳ οὖν ταῦτα habent; sequens περαίνητε in περαίνηται mutat liber Paris. et conjectura Leonclaviana.

εἰ δέ τίς τι εἶδε] Edd. vett. cum Guelf. οἶδε dant; Paris. Eton. εἰ δέ τι ἄλλο βέλτιον, ἢ. Pro ταύτῃ Brodæus in aliis libris ταῦτα reperit.

τῶν ἄλλων] Genus neutrum esse, opponique antecedenti τούτων, censet Weiske; male. Sequens καὶ ὁ ἰδιώτης refertur ad hoc ἄλλων. Alioquin liceret cum Paris. Eton. scribere εἰ δέ τις ἄλλο βέλτιον, ut sect. 37. et 38.

κοινῆς] Leonclavius κοινῇ malebat scriptum. Contra Hutchinson comparat locum Thucydidis ii. 43. quem emendatiorem adscribam: ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ ἐν τῷ μαλακισθῆναι κάκωσις, ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος καὶ ἀναίσθητος θάνατος.

33. Μετὰ ταῦτα] Intersertum vulgo δὲ cum Paris. et Eton. omisi.

εἶπε] Vulgatum λέγει mutavi ex libro Eton. uti sequens ἐξέσται ex Pa-

σται ποιεῖν· ἃ δὲ νῦν εἴρηκε, δοκεῖ μοι ὡς τάχιστα ψη-
φίσασθαι ἄριστον εἶναι· καὶ ὅτῳ δοκεῖ ταῦτα, ἀνατει-
νάτω τὴν χεῖρα. Ἀνέτειναν ἅπαντες. Ἀναστὰς δὲ 34
πάλιν εἶπε Ξενοφῶν· Ὦ ἄνδρες, ἀκούσατε ὧν προσδεῖν
δοκεῖ μοι. Δῆλον, ὅτι πορεύεσθαι ἡμᾶς δεῖ, ὅπου ἕξο-
μεν τὰ ἐπιτήδεια. Ἀκούω δὲ, κώμας εἶναι καλὰς, οὐ
πλεῖον εἴκοσι σταδίων ἀπεχούσας. Οὐκ ἂν οὖν θαυ- 35
μάζοιμι, εἰ οἱ πολέμιοι, ὥσπερ οἱ δειλοὶ κύνες τοὺς μὲν
παριόντας διώκουσί τε καὶ δάκνουσιν, ἢν δύνωνται, τοὺς
δὲ διώκοντας φεύγουσιν, εἰ καὶ οὗτοι ἡμῖν ἀπιοῦσιν ἐπα-
κολουθοῖεν. Ἴσως οὖν ἀσφαλέστερον ἡμῖν πορεύεσθαι 36
πλαίσιον ποιησαμένους τῶν ὅπλων, ἵνα τὰ σκευοφόρα
καὶ ὁ πολὺς ὄχλος ἐν ἀσφαλεστέρῳ ᾖ. Εἰ οὖν νῦν ἀπο-
δειχθείη, τίνα χρὴ ἡγεῖσθαι τοῦ πλαισίου, καὶ τὰ πρό-
σθεν κοσμεῖν, καὶ τίνας ἐπὶ τῶν πλευρῶν ἑκατέρων εἶναι,
καὶ τίνας ὀπισθοφυλακεῖν, οὐκ ἂν, ὁπότε οἱ πολέμιοι
ἔλθοιεν, βουλεύεσθαι ἡμᾶς δέοι, ἀλλὰ χρῴμεθ' ἂν εὐ-
θὺς τοῖς τεταγμένοις. Εἰ μὲν οὖν ἄλλο τις βέλτιον 37
ὁρᾷ, ἄλλως ἐχέτω· εἰ δὲ μὴ, Χειρίσοφος μὲν ἡγείσθω,
ἐπειδὴ καὶ Λακεδαιμόνιός ἐστι· τῶν δὲ πλευρῶν ἑκατέ-

ris. recepi in locum vulgati ἔξεστι, quod jam Muretus corrigi jussit.

34. ὧν προσδοκᾷν δοκεῖ μοι] Hanc vulgatam scripturam Muretus mutari voluit in δοκῶ μοι, contra Hutchinson ante προσδοκᾷν intelligi censet δεῖν, adstipulante Zeunio. Wyttenbachii emendationem προσδεῖν recepi, quæ tamen Weiskio non satis explorata visa est. Is monet hæc: *Quæ Xenophonti exspectanda videantur, legimus sect. sequenti.* Sed opus erat consiliis adversus ea, quæ exspectabantur a Xenophonte. Deinde ὧν nullo modo jungi potest cum verbo προσδοκᾷν, optime vero cum προσδεῖν coit, quod ipsa sententia flagitat.

πορεύεσθαι] Edd. vett. Guelf. πορεύσεσθαι habent.

35. θαυμάζοιμι] Eton. θαυμάζοιμεν dat.

εἰ καὶ οὗτοι] Ita Edd. vett. cum Guelf. εἰ καὶ αὐτοὶ dedit Stephanus.

36. ἀσφαλεστέρῳ ᾖ] Paris. Eton. εἴη habent, quod ob numeros præferrem.

οὖν νῦν ἀποδειχθείη, τίνα] Edd. vett. Guelf. οὖν ἀποδειχθεῖεν, τίνας.

εἶναι] Omittit verbum Eton. deinceps τίνας δ' ὀπ. Paris. Eton.

37. ἄλλο τις βέλτιον] Suadente Mureto et Stephano vulgatum ἄλλος τις correxi. cf. sect. 38.

ἡγοῖτο] Aldinum ἡγεῖσθω prætuli. Sic est statim ὀπισθοφυλακῶμεν. Ceterum Lacedæmonii tum principatum Græciæ obtinebant.

ἑκατέρων] Edd. vett. Guelf. ἑκατέ-

ρων δύο τῶν πρεσβυτάτων στρατηγὼ ἐπιμελοίσθην· ὀπι-
σθοφυλακῶμεν δὲ ἡμεῖς οἱ νεώτατοι, ἐγώ τε καὶ Τιμα-
38 σίων, τὸ νῦν εἶναι. Τὸ δὲ λοιπὸν, πειρώμενοι ταύτης τῆς
τάξεως, βουλευσόμεθα, ὅ τι ἂν ἀεὶ κράτιστον δοκοίη εἶ-
ναι. Εἰ δέ τις ἄλλο βέλτιον ὁρᾷ, λεξάτω. Ἐπεὶ δὲ
οὐδεὶς ἀντέλεγεν, εἶπεν· Ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω
39 τὴν χεῖρα. Ἔδοξε ταῦτα. Νῦν, ἔφη, ἀπιόντας ποιεῖν
δεῖ τὰ δεδογμένα· καὶ ὅστις τε ὑμῶν τοὺς οἰκείους ἐπι-
θυμεῖ ἰδεῖν, μεμνήσθω ἀνὴρ ἀγαθὸς εἶναι· (οὐ γάρ
ἐστιν ἄλλως τούτου τυχεῖν) ὅστις τε ζῆν ἐπιθυμεῖ, πει-
ράσθω νικᾷν· τῶν μὲν γὰρ νικώντων, τὸ κατακαίνειν,
τῶν δὲ ἡττωμένων, τὸ ἀποθνήσκειν ἐστί. Καὶ εἴ τις γε
χρημάτων ἐπιθυμεῖ, κρατεῖν πειράσθω· τῶν γὰρ νικών-
των ἐστὶ, καὶ τὰ ἑαυτῶν σώζειν, καὶ τὰ τῶν ἡττωμένων
λαμβάνειν.

CAP. III.

ΤΟΥΤΩΝ λεχθέντων ἀνέστησαν, καὶ ἀπελθόντες κατέκαιον τὰς ἁμάξας καὶ τὰς σκηνάς· τῶν δὲ περιττῶν, ὅτου μὲν δέοιτό τις, μετεδίδοσαν ἀλλήλοις, τὰ δὲ ἄλλα εἰς τὸ πῦρ ἐρρίπτουν. Ταῦτα ποιήσαντες ἠριστοποιοῦντο. Ἀριστοποιουμένων δὲ αὐτῶν ἔρχεται Μιθριδά-

ρου. Iidem libri cum Eton. deinceps στρατηγοὶ dant. Equidem δύο τὼ πρεσβυτάτω στρατηγὼ malim scriptum.

ὀπισθοφυλακῶμεν] Eton. liber ὀπισθοφυλακοῖμεν habet, quod erat recipiendum ab illis, qui paulo antea Χειρίσοφος μὲν ἡγοῖτο dederunt. Sed modum optativum ideo h. l. spernit Weiske, quod Xenophon arrogato sibi extremi agminis ducendi loco audacia sua ceteros milites excitare voluerit; reliqua omnia ceterorum arbitrio permisisse, optativo modo usum, ne quis ambitionem ejus accusare posset. Satis acute!

νεώτατοι] Margo Steph. cum Paris. Eton. νεώτεροι habet. Deinceps Edd. vett. Guelf. Paris. τῷ νῦν εἶναι.

38. βουλευσόμεθα] Weiskio secundum antecedentia et sequens δοκοίη scribendum videbatur βουλευσοίμεθα, non mihi.

39. Νῦν, ἔφη] Eton. liber τοίνυν, ἔφη, habet.

1. μετεδίδοσαν] Guelf. μετεδίδωσαν habet.

ποιήσαντες] Male Edd. vett. Guelf. ποιοῦντες. Verum dedit ex libro Brodæi Stephanus, adstipulante libro 2. 6. in margine Villois.

της σὺν ἱππεῦσιν ὡς τριάκοντα, καὶ καλεσάμενος τοὺς στρατηγοὺς εἰς ἐπήκοον, λέγει ὧδε. Ἐγὼ, ὦ ἄνδρες 2
Ἕλληνες, καὶ Κύρῳ πιστὸς ἦν, ὡς ὑμεῖς ἐπίστασθε, καὶ νῦν ὑμῖν εὔνους· καὶ ἐνθάδε εἰμὶ σὺν πολλῷ φόβῳ διάγων. Εἰ οὖν ὁρῴην ὑμᾶς σωτήριόν τι βουλευομένους, ἔλθοιμι ἂν πρὸς ὑμᾶς, καὶ τοὺς θεράποντας πάντας ἔχων. Λέξατε οὖν, ἔφη, πρός με, τί ἐν νῷ ἔχετε, ὡς πρὸς φίλον τε καὶ εὔνουν, καὶ βουλόμενον κοινῇ σὺν ὑμῖν τὸν στόλον ποιεῖσθαι. Βουλευομένοις τοῖς στρατηγοῖς 3
ἔδοξεν ἀποκρίνασθαι τάδε· (καὶ ἔλεγε Χειρίσοφος) Ἡμῖν δοκεῖ, ἢν μέν τις ἐᾷ ἡμᾶς ἀπιέναι οἴκαδε, διαπορεύεσθαι τὴν χώραν ὡς ἂν δυνώμεθα ἀσινέστατα· ἢν δέ τις ἡμᾶς τῆς ὁδοῦ ἀποκωλύῃ, διαπολεμεῖν τούτῳ, ὡς ἂν δυνώμεθα κράτιστα. Ἐκ τούτου ἐπειρᾶτο Μιθριδά- 4
της διδάσκειν, ὡς ἄπορον εἴη, βασιλέως ἄκοντος, σωθῆναι. Ἔνθα δὴ ἐγιγνώσκετο, ὅτι ὑπόπεμπτος εἴη· καὶ γὰρ τῶν Τισσαφέρνους τις οἰκείων παρηκολούθει πίστεως ἕνεκα. Καὶ ἐκ τούτου ἐδόκει τοῖς στρατηγοῖς 5
βέλτιον εἶναι δόγμα ποιήσασθαι, τὸν πόλεμον ἀκήρυκτον εἶναι, ἔστε ἐν τῇ πολεμίᾳ εἶεν· διέφθειρον γὰρ προσιόντες τοὺς στρατιώτας, καὶ ἕνα γε λοχαγὸν διέφθειραν, Νίκαρχον Ἀρκάδα· καὶ ᾤχετο ἀπιὼν νυκτὸς σὺν ἀνθρώποις ὡς εἴκοσι.

Μετὰ δὲ ταῦτα ἀριστήσαντες, καὶ διαβάντες τὸν 6

2. ἔχων] Ita cum margine Steph. Paris. Eton. Zeune. Vulgatum antea ἄγων revocavit Weiske.

ἔφη—ὡς πρὸς] Paris. Eton. omittunt ἔφη et πρός.

3. δυνώμεθα ἀσινέστατα] Aldina, Paris. Eton. δυναίμεθα.

4. ὡς ἄπορον] Eton. ὅτι ἄπορον.

ὑπόπεμπτος] Recte hoc in locum vulgati ὕποπτος restituit ex libro Etonensi Weiske, qui præterea conjicit scribendum καὶ γὰρ καὶ τῶν, ut sit novum argumentum suspicionis et fraudis. Verbo ὑποπέμπειν utitur noster ii. 4, 22.

5. ἀκήρυκτον] Cum Hutchinsono Weiske interpretatur *bellum, in quo præconibus ultro citroque commeare non licet.* Hesychius ἀνεπικηρύκευτον. Ita esse apud Herodotum v. 81.

ἔστε] Aldina et Guelf. ὥστε habent.

Ζάβατον ποταμὸν, ἐπορεύοντο τεταγμένοι, τὰ ὑποζύγια
καὶ τὸν ὄχλον ἐν μέσῳ ἔχοντες. Οὐ πολὺ δὲ προεληλυ-
θότων αὐτῶν, ἐπιφαίνεται πάλιν ὁ Μιθριδάτης, ἱππέας
ἔχων ὡς διακοσίους, καὶ τοξότας καὶ σφενδονήτας ὡς
τετρακοσίους, μάλα ἐλαφροὺς καὶ εὐζώνους· καὶ προ-
7 σῄει μὲν, ὡς φίλος ὢν, πρὸς τοὺς Ἕλληνας. Ἐπεὶ δὲ
ἐγγὺς ἐγένετο, ἐξαπίνης οἱ μὲν αὐτῶν ἐτόξευον καὶ ἱππεῖς
καὶ πεζοὶ, οἱ δ' ἐσφενδόνων καὶ ἐτίτρωσκον. Οἱ δ'
ὀπισθοφύλακες τῶν Ἑλλήνων ἔπασχον μὲν κακῶς, ἀντ-
εποίουν δὲ οὐδέν· οἵ τε γὰρ Κρῆτες βραχύτερα τῶν Περ-
σῶν ἐτόξευον, καὶ ἅμα ψιλοὶ ὄντες εἴσω τῶν ὅπλων κατε-
κέκλειντο· οἵ τε ἀκοντισταὶ βραχύτερα ἠκόντιζον, ἢ ὡς
8 ἐξικνεῖσθαι τῶν σφενδονητῶν. Ἐκ τούτου Ξενοφῶντι
ἐδόκει διωκτέον εἶναι· καὶ ἐδίωκον τῶν τε ὁπλιτῶν καὶ
τῶν πελταστῶν οἳ ἔτυχον σὺν αὐτῷ ὀπισθοφυλακοῦντες·
9 διώκοντες δὲ οὐδένα κατελάμβανον τῶν πολεμίων. Οὔτε
γὰρ ἱππεῖς ἦσαν τοῖς Ἕλλησιν, οὔτε οἱ πεζοὶ τοὺς πεζοὺς
ἐκ πολλοῦ φεύγοντας ἐδύναντο καταλαμβάνειν ἐν ὀλίγῳ
χωρίῳ· πολὺ γὰρ οὐχ οἷόν τε ἦν ἀπὸ τοῦ ἄλλου στρατεύ-
10 ματος διώκειν. Οἱ δὲ βάρβαροι ἱππεῖς καὶ φεύγοντες
ἅμα ἐτίτρωσκον, εἰς τοὔπισθεν τοξεύοντες ἀπὸ τῶν ἵπ-
πων· ὁπόσον δὲ προδιώξειαν οἱ Ἕλληνες, τοσοῦτο πάλιν
11 ἐπαναχωρεῖν μαχομένους ἔδει. Ὥστε τῆς ἡμέρας ὅλης
διῆλθον οὐ πλέον πέντε καὶ εἴκοσι σταδίων, ἀλλὰ δείλης

6. Ζάβατον] Ita ex libro ii. 5, 1. cum Hutchinsono Zeune. Libri scripti et editi Ζάτην, Leonclaviana et Welsiana Ζάθην habent.

πολὺ δὲ] Edd. vett. et Guelf. δὲ omittunt. Deinceps Paris. σφενδονίτας εἰς habet.

7. ἐγένετο] Margo Steph. cum Paris. ἐγένοντο habent.

βραχύτερα] Edd. vett. Guelf. βραχύτερον habent.

κατεκέκλειντο] Abreschii in Auctario Thucyd. Dilucid. p. 393. et Larcheri correctionem receperunt Zeune et Weiske. Antea enim erat κατεκέκλιντο, in Regio A. κατεκέκληντο.

9. ἐκ πολλοῦ φεύγοντας] Guelf. φεύγοντας ἐκ πολλοῦ.

10. προδιώξειαν—τοσοῦτο] Liber Eton. διώξειαν—τοσοῦτον habet.

11. Ὥστε] Eton. ὥς γε.

ἀφίκοντο εἰς τὰς κώμας. Ἔνθα δὴ πάλιν ἀθυμία ἦν. Καὶ Χειρίσοφος καὶ οἱ πρεσβύτατοι τῶν στρατηγῶν Ξενοφῶντα ᾐτιῶντο, ὅτι ἐδίωκεν ἀπὸ τῆς φάλαγγος, καὶ αὐτός τε ἐκινδύνευε, καὶ τοὺς πολεμίους οὐδὲν μᾶλλον ἐδύνατο βλάπτειν.

Ἀκούσας δὲ ὁ Ξενοφῶν ἔλεγεν, ὅτι ὀρθῶς ᾐτιῶντο, καὶ 12
αὐτὸ τὸ ἔργον αὐτοῖς μαρτυροίη. Ἀλλ' ἐγώ, ἔφη, ἠναγ-
κάσθην διώκειν, ἐπεὶ ἑώρων ἡμᾶς ἐν τῷ μένειν κακῶς
μὲν πάσχοντας, ἀντιποιεῖν δ' οὐδὲν δυναμένους. Ἐπειδὴ 13
δὲ ἐδιώκομεν, ἀληθῆ, ἔφη, ὑμεῖς λέγετε· κακῶς μὲν
γὰρ οὐδὲν ποιεῖν μᾶλλον ἐδυνάμεθα τοὺς πολεμίους,
ἀνεχωροῦμεν δὲ πάνυ χαλεπῶς. Τοῖς οὖν θεοῖς χάρις, 14
ὅτι οὐ σὺν πολλῇ ῥώμῃ, ἀλλὰ σὺν ὀλίγοις ἦλθον· ὥστε
βλάψαι μὲν μὴ μεγάλα, δηλῶσαι δέ, ὧν δεόμεθα.
Νῦν γὰρ οἱ μὲν πολέμιοι τοξεύουσι καὶ σφενδονῶσιν, ὅσον 15
οὔτε οἱ Κρῆτες ἀντιτοξεύειν δύνανται, οὔτε οἱ ἐκ χειρὸς
βάλλοντες ἐξικνεῖσθαι· ὅταν δὲ αὐτοὺς διώκωμεν, πολὺ
μὲν οὐχ οἷόν τε χωρίον ἀπὸ τοῦ στρατεύματος διώκειν,
ὀλίγον δέ· ἔνθα, οὐδ' εἰ ταχὺς εἴη πεζός, πεζὸν ἂν διώ-
κων καταλάβοι ἐκ τόξου ῥύματος. Ἡμεῖς μὲν οὖν εἰ 16
μέλλομεν τούτους εἴργειν, ὥστε μὴ δύνασθαι βλάπτειν
ἡμᾶς πορευομένους, σφενδονητῶν τε τὴν ταχίστην δεῖ καὶ
ἱππέων. Ἀκούω δ' εἶναι ἐν τῷ στρατεύματι ἡμῶν Ῥο-
δίους, ὧν τοὺς πολλοὺς φασὶν ἐπίστασθαι σφενδονᾶν,
καὶ τὸ βέλος αὐτῶν καὶ διπλάσιον φέρεσθαι τῶν Περ-

12. ἐγώ, ἔφη] Cum Zeunio ex libro Brodæi, Paris. Eton. ἔφη addidi. Deinceps ἐπειδὴ ἑώρων ὑμᾶς Eton. Postea οὐ δυναμένους Paris. Eton.

13. Ἐπειδὴ] Guelf. ἐπεὶ habet.

15. Νῦν γὰρ] Juntina νῦν μὲν γάρ. Deinceps ἐκ τοῦ στρατεύματος habet margo Villois.

ὀλίγον δέ] Margo Steph. Paris. Eton. ἐν ὀλίγῳ δέ. sed alia ratio est sect. 9.

πεζὸν ἂν] Edd. vett. Guelf. ἂν omittunt; deinceps Eton. habet καταλαμβάνοι ἐκ τόξου ἐρύματος. Æschylus Persarum 147. versu τόξου ῥῦμα habet, et Anonymus Suidæ sub h. v.

16. Ἡμεῖς μὲν] Guelf. Paris. Eton. μὲν omittunt. Muretus ἡμῖν corrigebat ad sequens δεῖ referens.

17 σικῶν σφενδονῶν. Ἐκεῖναι γὰρ, διὰ τὸ χειροπληθέσι τοῖς λίθοις σφενδονᾷν, ἐπὶ βραχὺ ἐξικνοῦνται· οἱ δέ γε
18 Ῥόδιοι καὶ ταῖς μολυβδίσιν ἐπίστανται χρῆσθαι. Ἢν οὖν αὐτῶν ἐπισκεψώμεθα τίνες πέπανται σφενδόνας, καὶ τούτων τῷ μὲν αὐτῶν ἀργύριον δῶμεν, τῷ δὲ ἄλλας πλέκειν ἐθέλοντι ἄλλο ἀργύριον τελῶμεν, καὶ τῷ σφενδονᾷν ἐντεταγμένῳ ἐθέλοντι ἄλλην τινὰ ἀτέλειαν εὑρίσκωμεν, ἴσως τινὲς φανοῦνται ἱκανοὶ ἡμᾶς ὠφελεῖν.
19 Ὁρῶ δὲ καὶ ἵππους ἐν τῷ στρατεύματι ὄντας, τοὺς μέν τινας παρ' ἐμοὶ, τοὺς δὲ τῷ Κλεάρχῳ καταλελειμμένους· πολλοὺς δὲ καὶ ἄλλους αἰχμαλώτους σκευοφοροῦντας. Ἂν οὖν τούτους πάντας ἐκλέξαντες, σκευοφόρα μὲν ἀντιδῶμεν, τοὺς δὲ ἵππους εἰς ἱππέας κατασκευάσωμεν,
20 ἴσως καὶ οὗτοί τι τοὺς φεύγοντας ἀνιάσουσιν. Ἔδοξε ταῦτα· καὶ ταύτης τῆς νυκτὸς σφενδονῆται μὲν εἰς διακοσίους ἐγένοντο, ἵπποι δὲ καὶ ἱππεῖς ἐδοκιμάσθησαν τῇ ὑστεραίᾳ εἰς πεντήκοντα, καὶ στολάδες καὶ θώρακες αὐ-

17. Ἐκεῖναι] Edd. vett. τε addunt. Sequens μολυβδίσιν est ex Junt. Guelf. Eton. μολιβδίσιν Aldina, Steph.

18. καὶ τούτων] Est pro ἀντὶ τούτων, scilicet σφενδονῶν.

τῷ μὲν αὐτῶν] Margo Steph. τούτῳ μὲν δῶμεν αὐτῷ. Ante Hutchinsonum erat δῶμεν αὐτῶν ἀργ. qui secutus est ordinem libri Eton.

ἐντεταγμένῳ] Margo Steph. ἐντεταλμένῳ. Paris. ἐν τῷ τεταγμένῳ. Mihi simplex τεταγμένῳ præplacet.

ἐθέλοντι] Stephanus ad ἄλλην τινὰ ἀτέλειαν referebat; igitur comma post ἐντεταγμένῳ et ἀτέλειαν posuit. Deinceps εὑρίσκομεν est in Edd. vett. et Guelf.

19. καὶ ἵππους] Guelf. καὶ τοὺς ἵππους. At ita debebat sequi τοὺς ἐν τῷ στρ. Sequens ὄντας ex Paris. addidit Zeune.

σκευοφόρα μὲν ἀντιδῶμεν] Boves, asinos et mulos intellige. Eton. ἐκδιδῶμεν τοὺς ἵππους. Etiam Juntina δὲ omittit. Vulgatam habet etiam margo Villois.

εἰς ἱππέας] Locutione hac offensus Muretus totum locum violenter ita immutatum voluit: ἂν οὖν τούτους μὲν τοὺς αἰχμαλώτους ἐκλέξαντες σκευοφορεῖν ἀναγκάζωμεν, εἰς δὲ πάντας τοὺς ἵππους ἱππέας κατασκευάσωμεν, ἴσως καὶ οὗτοι τοὺς φ. ἀνιάσουσιν. A quo acceptum ἀνιάσουσιν posuit Hutchinson; τι post οὗτοι omisit Stephanus. Mihi quidem vulgatum ἀνιάσωσιν nulla ratione defendi posse videbatur. Zeunii enim ratio plane inepta est, qui ἂν intelligi posse censebat.

20. Ἔδοξε ταῦτα] Ex Paris. et Eton. καὶ interseruit Zeune.

ἐδοκιμάσθησαν] *Lecti et facti sunt.* Utitur verbo Atheniensibus solemni, qui equites quotannis recensebant, ἐδοκίμαζον.

στολάδες] Brodæus in margine veteris libri πιλάδες scriptum reperit; in Polluce i. 135. ἔστι δέ τις καὶ στολὰς ἀντὶ θώρακος libri quidam πιλὰς habent; iterum vii. 70. στολὰς δὲ

τοῖς ἐπορίσθησαν· καὶ ἵππαρχος δὲ ἐπεστάθη Λύκιος ὁ Πολυστράτου, Ἀθηναῖος.

CAP. IV.

ΜΕΙΝΑΝΤΕΣ δὲ ταύτην τὴν ἡμέραν, τῇ ἄλλῃ ἐπο-
ρεύοντο πρωϊαίτερον ἀναστάντες· χαράδραν γὰρ αὐτοὺς
ἔδει διαβῆναι, ἐφ᾽ ᾗ ἐφοβοῦντο μὴ ἐπιθοῖντο αὐτοῖς δια-
βαίνουσιν οἱ πολέμιοι. Διαβεβηκόσι δὲ αὐτοῖς ἐπιφαί- 2
νεται ὁ Μιθριδάτης πάλιν, ἔχων ἱππέας χιλίους, τοξό-
τας δὲ καὶ σφενδονήτας εἰς τετρακισχιλίους· τοσούτους
γὰρ ᾔτησε Τισσαφέρνην, καὶ ἔλαβεν, ὑποσχόμενος, ἢν
τούτους λάβῃ, παραδώσειν αὐτῷ τοὺς Ἕλληνας, κατα-
φρονήσας, ὅτι, ἐν τῇ πρόσθεν προσβολῇ ὀλίγους ἔχων,
ἔπαθε μὲν οὐδὲν, πολλὰ δὲ κακὰ ἐνόμισε ποιῆσαι.
Ἐπεὶ δὲ οἱ Ἕλληνες διαβεβηκότες ἀπεῖχον τῆς χαρά- 3
δρας ὅσον ὀκτὼ σταδίους, διέβαινε καὶ ὁ Μιθριδάτης,
ἔχων τὴν δύναμιν. Παρήγγελτο δὲ, τῶν τε πελταστῶν
οὓς ἔδει διώκειν, καὶ τῶν ὁπλιτῶν, καὶ τοῖς ἱππεῦσιν εἴ-
ρητο θαῤῥοῦσι διώκειν, ὡς ἐφεψομένης ἱκανῆς δυνάμεως.
Ἐπεὶ δὲ ὁ Μιθριδάτης κατειλήφει, καὶ ἤδη σφενδόναι 4

θώραξ ἐκ δέρματος, κατὰ τοὺς ὤμους ἐφαπτόμενος, ὡς Ξενοφῶν ἔφη, καὶ σπολὰς ἀντὶ θώρακος. Denique x. 143. inter στρατιώτου σκεύη numeratur σπολάς. Infra iv. 1, 18. in uno libro Paris. est πολάδος scriptum pro στολάδος. Hesychius σπολὰς, χιτωνίσκος βαθὺς, σκύτινος, ὁ βύρσινος θώραξ. In Aristophanis Avibus versu 933. est σὺ μέντοι σπολάδα καὶ χιτῶν᾽ ἔχεις. Quare Hutchinson in Xenophonte voluit σπολὰς scribi. In Æneæ Tactici c. 29. junguntur θώρακες λιναῖοι καὶ στολίδες.

καὶ ἵππαρχος δὲ] Ex Eton. libro δὲ cum Zeunio inserui.

1. ἐπιθοῖντο] Edd. vett. Guelf. ἐπίθωνται.

2. ἐπιφαίνεται] Paris. Eton. πάλιν φαίνεται ὁ Μιθρ. ἔχων.

ἐν τῇ πρόσθεν] Ita Paris. Eton. Antea erat ἔμπροσθεν; quanquam id de tempore positum Cyrop. iii. 3, 50. annotaverit Zeune.

3. Παρήγγελτο] Stephani correctionem pro vulgato παρηγγέλλετο recte posuit primus Hutchinson. Ceterum ad h. l. et præcedentem narrationem respiciens Polyænus i. 49, 2. narrat hæc: Ξενοφῶν τῶν βαρβάρων κατὰ τὴν πορείαν ἐπικειμένων, τάξας ἀμφίστομον τὴν φάλαγγα, ὅσα ἦν ἀναγκαῖα σκευοφόρα λαβὼν ἐντὸς, ἐπορεύετο, καταστήσας ἐπὶ τῆς οὐραγίας ἱππεῖς, ἀκοντιστὰς, πελταστὰς, οἳ τοὺς προσπίπτοντας τῶν βαρβάρων ἀπεκρούοντο.

καὶ τοξεύματα ἐξικνοῦντο, ἐσήμηνε τοῖς Ἕλλησι τῇ σάλ-
πιγγι, καὶ εὐθὺς ἔθεον ὁμόσε, οἷς εἴρητο, καὶ οἱ ἱππεῖς
ἤλαυνον· οἱ δὲ οὐκ ἐδέξαντο, ἀλλ᾽ ἔφευγον ἐπὶ τὴν χαρά-
5 δραν. Ἐν ταύτῃ τῇ διώξει τοῖς βαρβάροις τῶν τε πεζῶν
ἀπέθανον πολλοὶ, καὶ τῶν ἱππέων ἐν τῇ χαράδρᾳ ζωοὶ
ἐλήφθησαν ὡς ὀκτωκαίδεκα· τοὺς δ᾽ ἀποθανόντας αὐ-
τοκέλευστοι οἱ Ἕλληνες ᾐκίσαντο, ὡς ὅτι φοβερώτατον
τοῖς πολεμίοις εἴη ὁρᾶν.
6 Καὶ οἱ μὲν πολέμιοι οὕτω πράξαντες ἀπῆλθον· οἱ δ᾽
Ἕλληνες ἀσφαλῶς πορευόμενοι τὸ λοιπὸν τῆς ἡμέρας,
7 ἀφίκοντο ἐπὶ τὸν Τίγρητα ποταμόν. Ἐνταῦθα πόλις ἦν
ἐρήμη, μεγάλη, ὄνομα δ᾽ αὐτῇ ἦν Λάρισσα· ᾤκουν δ᾽
αὐτὴν τὸ παλαιὸν Μῆδοι· τοῦ δὲ τείχους ἦν αὐτῆς τὸ εὖ-
ρος πέντε καὶ εἴκοσι πόδες, ὕψος δ᾽ ἑκατόν· τοῦ δὲ
κύκλου ἡ περίοδος δύο παρασάγγαι· ᾠκοδόμητο δὲ πλίν-
θοις κεραμίαις· κρηπὶς δὲ ὑπῆν λιθίνη, τὸ ὕψος εἴκοσι
8 ποδῶν. Ταύτην βασιλεὺς ὁ Περσῶν, ὅτε παρὰ Μήδων
ἐλάμβανον τὴν ἀρχὴν Πέρσαι, πολιορκῶν, οὐδενὶ τρόπῳ

4. ἐσήμηνε] ὁ σαλπιγκτὴς scilicet. Deinceps εἴρηκε est in Eton.

5. τῶν τε πεζῶν] Guelf. τε omisit. Deinceps εἰς ὀκτωκαίδεκα Paris. et margo Villois.

ὡς ὅτι φοβερώτατον] Quod Muretus conjecerat pro vulgato φοβερώτερον, ex libro Paris. dedit Zeune. Ceterum lector animadvertat velim Xenophontem dicere Græcos αἰκίσασθαι captos Persas, sed mortuos duntaxat, τοὺς ἀποθάνοντας.

εἴη ὁρᾶν] Inepte Paris. liber ἦν ὁρᾶν habet.

6. Τίγρητα] Castalio Πίγρητα edidit.

7. Λάρισσα] Bocharto videtur (in Phaleg. iv. 23.) esse eadem urbs cum ea quam memorat Genesis x. 12. Quæ contra posuit Michaelis in Spicilegio Geogr. Hebr. i. p. 247. non movent Weiskium. Aliter sentit Mannert Geogr. Gr. v. p. 443.

ὕψος δ᾽] Comparata sect. 10. scribendum videtur τὸ μὲν εὖρος—τὸ δ᾽ ὕψος.

κεραμίαις] Cum Hutchinsono Zeune et Weiske κεραμείαις dederunt, ob analogiam linguæ, ut Zeune ait, ᾠκοδόμηται est in Eton.

ὑπῆν] Paris. et Eton. liber ἐπῆν habent.

8. ἐλάμβανον τὴν ἀρχὴν] Verbum hoc Medos sponte Persarum imperio subjectos significat, quanquam reliqua narratio seditionem aliquam Larissensium arguere videatur. Igitur hic nihil est dissensionis inter Cyri disciplinam et Anabasin, quod mihi olim visum erat ad Histor. gr. iii. 1, 1. secuto Wesselingium ad Herodotum p. 64. Quod ait Weiske ad Cyrop. i. 1, 4. Xenophontem h. l. fabulam referre ab incolis illarum regionum narratam, ejus rei nullum plane indicium est in verbis græcis.

ἐδύνατο ἑλεῖν· ἥλιον δὲ νεφέλη προκαλύψασα, ἠφάνισε,
μέχρις οἱ ἄνθρωποι ἐξέλιπον, καὶ οὕτως ἑάλω. Παρ' 9
αὐτὴν τὴν πόλιν ἦν πυραμὶς λιθίνη, τὸ μὲν εὖρος ἑνὸς
πλέθρου, τὸ δὲ ὕψος δύο πλέθρων. Ἐπὶ ταύτης πολλοὶ
τῶν βαρβάρων ἦσαν, ἐκ τῶν πλησίον κωμῶν ἀποπεφευ-
γότες.

Ἐντεῦθεν ἐπορεύθησαν σταθμὸν ἕνα παρασάγγας ἓξ 10
πρὸς τεῖχος ἔρημον, μέγα, πρὸς τῇ πόλει κείμενον· ὄνο-
μα δ' ἦν τῇ πόλει Μέσπιλα· Μῆδοι δ' αὐτήν ποτε
ᾤκουν. Ἦν δὲ ἡ μὲν κρηπὶς λίθου ξεστοῦ κογχυλιάτου,
τὸ εὖρος πεντήκοντα ποδῶν, καὶ τὸ ὕψος πεντήκοντα.
Ἐπὶ δὲ ταύτῃ ἐπῳκοδόμητο πλίνθινον τεῖχος, τὸ μὲν εὖ- 11

Gravius est, quod Xenophon statim in simili narratione sect. 11. posuit: ὅτε ἀπώλεσαν τὴν ἀρχὴν ὑπὸ Περσῶν Μῆδοι. Sed ibidem scriptor incolarum fidem antestatur.

ἥλιον δὲ νεφέλη προκαλύψασα] Vulgatum ἥλιος δὲ νεφέλην προκαλύψας ita cum Brodæo, Mureto et Stephano correxit Hutchinson et Weiske. In Regiis Codd. repertum νεφέλη probavit Larcherus, ita ut scriberet: ἥλιος δὲ ὡς νεφέλῃ προκαλύψας sc. ἑαυτόν: *mais le soleil ayant disparu comme s'il fût enveloppé d'un nuage.* Vulgatum defendit Abresch Dilucid. Thucyd. p. 274. Longe ineptissime Zeune, qui ad ἠφάνισε intelligendum censet τὴν πόλιν, secutus tamen ea in re Hutchinsonum, qui veram scripturam loci viderat. Ceterum si Xenophon hæc tanquam vera, nec tanquam fabulam sibi ab incolis narratam, retulit, vereor, ut apud peritos culpam inscitiæ in causa defectus solis possit effugere. Quod enim de philosophis quibusdam antiquis narrat Plutarchus *de Placitis Philos.* ii. 24. eos causam deficientis solis statuisse νεφῶν πύκνωσιν τῶν ἀοράτως ἐπερχομένων τῷ δίσκῳ, idem valet de Herodoto, qui libro vii. 37. ita narrat: ὁ ἥλιος ἐκλιπὼν τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην ἀφανὴς ἦν, οὔτ' ἐπινεφέλων ἐόντων, αἰθρίης τε τὰ μάλιστα, ἀντὶ ἡμέρης τε νὺξ ἐγένετο.

μέχρις—ἐξέλιπον] Hutchinson μέχρις οὗ scribendum censuit. Verbum Zeune interpretatur vel *animis defecerunt*, vel, quod ipse præfert, *urbe relicta demigrarunt.* Weiske cum vulgo Interpretum *animis defecerunt* interpretatur. Neque enim apparere ait, cur statuamus, eos sole deficiente hoc necessarium putasse; aliquid certe auctorem ad explicandam superstitiosam demigrationem additurum fuisse. At verbum ἐκλείπειν nuspiam simpliciter positum *deficere animo* significat; deinde superstitiosa hominum opinio de deorum ira significata defectu solis erat pervulgata. Cf. Herodot. vii. 37.

9. παρ' αὐτὴν] Eton. παρὰ ταύτην habet. Deinceps χωρῶν pro κωμῶν habent Edd. vett. cum Guelf. κακῶν inepte Eton.

10. Μέσπιλα] Stephanus Byz. ex h. l. posuit πόλιν Μήδων vocans.

Μῆδοι δ' αὐτήν] Ex Eton. cum Zeunio δὲ interserui.

κογχυλιάτου] Hesychio est λίθος σκληρὸς ἔχων ἐν ἑαυτῷ κογχυλίους τύπους. Ex h. l. annotavit etiam Pollux vii. sect. 100. Inter maris reliquias et vestigia in continenti numerat Xanthus Lydius Strabonis i. p. 132. λίθους κογχυλιώδεις, quos ille repererat in Armenia, Matienis et Phrygia inferiore.

ρος πεντήκοντα ποδῶν, τὸ δὲ ὕψος ἑκατόν· τοῦ δὲ κύ-
κλου ἡ περίοδος ἓξ παρασάγγαι. Ἐνταῦθα ἐλέγετο
Μηδία γυνὴ βασιλέως καταφυγεῖν, ὅτε ἀπώλεσαν τὴν
12 ἀρχὴν ὑπὸ Περσῶν Μῆδοι. Ταύτην δὲ τὴν πόλιν πολιορ-
κῶν ὁ Περσῶν βασιλεὺς, οὐκ ἐδύνατο οὔτε χρόνῳ ἑλεῖν
οὔτε βίᾳ· Ζεὺς δ᾽ ἐμβροντήτους ποιεῖ τοὺς ἐνοικοῦντας,
καὶ οὕτως ἑάλω.
13 Ἐντεῦθεν δ᾽ ἐπορεύοντο σταθμὸν ἕνα παρασάγγας
τέτταρας. Εἰς τοῦτον δὲ τὸν σταθμὸν Τισσαφέρνης ἐπε-
φάνη, οὕς τε αὐτὸς ἦλθεν ἱππέας ἔχων, καὶ τὴν Ὀρόν-
του δύναμιν, τοῦ τὴν βασιλέως θυγατέρα ἔχοντος, καὶ
οὓς Κῦρος ἔχων ἀνέβη βαρβάρους, καὶ οὓς ὁ βασιλέως
ἀδελφὸς ἔχων βασιλεῖ ἐβοήθει, καὶ πρὸς τούτοις, ὅσους
βασιλεὺς ἔδωκεν αὐτῷ· ὥστε τὸ στράτευμα πάμπολυ
14 ἐφάνη. Ἐπεὶ δὲ ἐγγὺς ἐγένετο, τὰς μὲν τῶν τάξεων
εἶχεν ὄπισθεν καταστήσας, τὰς δὲ εἰς τὰ πλάγια πα-
ραγαγὼν, ἐμβάλλειν μὲν οὐκ ἐτόλμησεν, οὐδ᾽ ἐβούλετο
διακινδυνεύειν· σφενδονᾶν δὲ παρήγγειλε καὶ τοξεύειν.
15 Ἐπεὶ δὲ διαταχθέντες οἱ Ῥόδιοι ἐσφενδόνησαν, καὶ οἱ

11. κύκλου] Margo Steph. cum Eton. τείχους. Paris. τείχους ἡ. inde articulum ἡ addidi. Cf. sect. 7.

ἐλέγετο] Narrabatur Xenophonti ab incolis. Minus igitur placet λέγεται libri Paris.

Μηδία] Paris. liber Μήδεια habet. Eandem puto esse, a qua supra ii. 4, 12. τὸ Μηδίας vel Μηδείας καλούμενον τεῖχος nomen habuit. Medeam, Μήδειαν, Medis nomen suum dedisse tradit etiam Herodotus vii. 62.

καταφυγεῖν] Recepi scripturam Paris. in locum vulgati φυγεῖν. Sequens ἀπώλεσαν ex emendatione Steph. dedi cum Hutchinsono. Vulgatum ἀπώλλυσαν, inepte defendit Zeune.

12. ἐμβροντήτους] Supra sect. 8. solis defectus homines coegit urbem deserere, nunc fulmina superstitiosos incolas expellunt.

13. ἐπορεύοντο] Paris. Eton. margo Villois. ἐπορεύθησαν.

οὕς τε αὐτὸς] Mureti conjecturam οἷς τε recepit Hutchinson; sed participium ἔχων repetendum esse ad οὕς τε monuit jam olim Stephanus.

Ὀρόντου] Ex Guelf. Ὀρόντα recepit Zeune.

14. ἐμβάλλειν—παρήγγειλε] Ex Paris. vulgatum παρήγγελε correxi; idem ἐμβαλεῖν præbet. Mihi præterea post παραγαγὼν colon ponendum esse videtur, et sequentia separanda, sic scripta: ἐμβάλλειν μέντοι οὐκ ἐτόλμησεν. In Eton. nihil est præsidii, nisi quod τὰ ante πλάγια omittit.

15. διαταχθέντες] Eton. simplex ταχθέντες habet, deinde Σκυθοτοξόται vulgatum ex Paris. correxi.

Σκύθαι τοξόται ἐτόξευσαν, καὶ οὐδεὶς ἡμάρτανεν ἀνδρὸς,
(οὐδὲ γὰρ, εἰ πάνυ προὐθυμεῖτο, ῥάδιον ἦν) καὶ ὁ Τισ-
σαφέρνης μάλα ταχέως ἔξω βελῶν ἀπεχώρει, καὶ αἱ
ἄλλαι τάξεις ἀπεχώρησαν. Καὶ τὸ λοιπὸν τῆς ἡμέρας 16
οἱ μὲν ἐπορεύοντο, οἱ δ' εἵποντο· καὶ οὐκέτι ἐσίνοντο οἱ
βάρβαροι τῇ τότε ἀκροβολίσει· μακρότερον γὰρ οἵ τε
Ῥόδιοι τῶν Περσῶν ἐσφενδόνων καὶ τῶν πλείστων τοξο-
τῶν. Μεγάλα δὲ καὶ τὰ τόξα τὰ Περσικά ἐστιν· ὥστε 17
χρήσιμα ἦν, ὁπόσα ἁλίσκοιτο τῶν τοξευμάτων, τοῖς Κρη-
σί· καὶ διετέλουν χρώμενοι τοῖς τῶν πολεμίων τοξεύμασι,
καὶ ἐμελέτων τοξεύειν ἄνω ἱέντες μακράν. Εὑρίσκετο δὲ
καὶ νεῦρα πολλὰ ἐν ταῖς κώμαις καὶ μόλυβδος· ὥστε
χρῆσθαι εἰς τὰς σφενδόνας.

Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ἐπεὶ κατεστρατοπεδεύοντο οἱ 18
Ἕλληνες κώμαις ἐπιτυχόντες, ἀπῆλθον οἱ βάρβαροι,
μεῖον ἔχοντες ἐν τῇ τότε ἀκροβολίσει· τὴν δὲ ἐπιοῦσαν
ἡμέραν ἔμειναν οἱ Ἕλληνες, καὶ ἐπεσιτίσαντο· ἦν γὰρ
πολὺς σῖτος ἐν ταῖς κώμαις. Τῇ δ' ὑστεραίᾳ ἐπορεύ-
οντο διὰ τοῦ πεδίου, καὶ Τισσαφέρνης εἵπετο ἀκροβολι-
ζόμενος. Ἔνθα δὴ οἱ Ἕλληνες ἔγνωσαν, ὅτι πλαίσιον 19

προὐθυμεῖτο] Guelf. προὐθυμοῖτο habet; mihi εἰ καὶ πάνυ προθυμοῖτο scribendum videbatur. Stephanus οὐδ' εἰ πάνυ προὐθυμεῖτο malebat scriptum.

καὶ αἱ ἄλλαι] Articulum monente Larchero addidi.

16. οὐκέτι ἐσίνοντο] Marginis Steph. Paris. et Eton. scripturam recepi. Vulgata ineptissima est et ab hoc loco aliena ἐπέκειντο. Quare Muretus verba τῇ τότε ἀκροβολίσει ex sect. 18. temere huc translata fuisse suspicabatur.

οἵ τε Ῥόδιοι] Pertinet τε ad verba τῶν Περσῶν. Deinceps ἐσφενδόνουν Edd. vett. Stephani scripturam firmat Guelf.

17. καὶ τὰ τόξα] Paris. τὰ omittit; equidem καὶ omissum malim. Herodotus etiam de Persis vii. 61. ἔχον τόξα μεγάλα, ὀϊστοὺς δὲ καλαμίνους.

τοῖς Κρησί· καὶ δ. χρ. τ. τ. πολ. τοξ.] Hæc desunt in Juntina; ex libro 1. 2. annotavit margo Villois.

ἱέντες] Ita Guelf. et Steph. Juntina ἰόντες, Aldina ἵεντες. Ceterum artificium peculiare obiter traditur sagittæ longioris ejaculandæ, quo gravior decidat.

μόλυβδος] Ita Junt. et Guelf. μόλιβδος] Aldina, Steph. Eton.

18. μεῖον ἔχοντες] Cf. ad i. 10, 8. dicta.

19. πλαίσιον ἰσόπλευρον] Arriani Tactica p. 69. Πλαίσιον ὀνομάζεται, ὁπόταν πρὸς πάσας τὰς πλευρὰς παρατάξηταί τις ἐν ἑτερομήκει σχήματι, πλιν-

ἰσόπλευρον πονηρὰ τάξις εἴη πολεμίων ἑπομένων. Ἀνάγκη γάρ ἐστιν, ἢν μὲν συγκύπτῃ τὰ κέρατα τοῦ πλαισίου, ἢ ὁδοῦ στενωτέρας οὔσης, ἢ ὀρέων ἀναγκαζόντων ἢ γεφύρας, ἐκθλίβεσθαι τοὺς ὁπλίτας, καὶ πορεύεσθαι πονήρως, ἅμα μὲν πιεζομένους, ἅμα δὲ καὶ ταραττομένους· ὥστε δυσχρήστους εἶναι ἀνάγκη, ἀτάκτους ὄντας.

20 Ὅταν δ' αὖ διασχῇ τὰ κέρατα, ἀνάγκη διασπᾶσθαι τοὺς τότε ἐκθλιβομένους, καὶ κενὸν γίγνεσθαι τὸ μέσον τῶν κεράτων, καὶ ἀθυμεῖν τοὺς ταῦτα πάσχοντας, τῶν πολεμίων ἑπομένων. Καὶ ὁπότε δέοι γέφυραν διαβαίνειν ἢ ἄλλην τινὰ διάβασιν, ἔσπευδεν ἕκαστος, βουλόμενος φθάσαι

21 πρῶτος· καὶ εὐεπίθετον ἦν ἐνταῦθα τοῖς πολεμίοις. Ἐπεὶ δὲ ταῦτα ἔγνωσαν οἱ στρατηγοὶ, ἐποιήσαντο ἓξ λόχους ἀνὰ ἑκατὸν ἄνδρας, καὶ λοχαγοὺς ἐπέστησαν, καὶ ἄλλους πεντηκοντῆρας, καὶ ἄλλους ἐνωμοτάρχας. Οὗτοι δὲ πορευόμενοι οἱ λοχαγοὶ, ὁπότε μὲν συγκύπτοι τὰ κέρατα, ὑπέμενον ὕστεροι, ὥστε μὴ ἐνοχλεῖν τοῖς κέρασι· τότε δὲ παρῆγον

θίον δὲ, ὅταν ἐν τετραγώνῳ σχήματι αὐτὸ τοῦτο πράξῃ, ὅπερ Ξενοφῶν ὁ τοῦ Γρύλλου πλαίσιον ἰσόπλευρόν καλεῖ. Cf. Cyrop. v. 3, 39.

στενωτέρας] Hic et infra sect. 22. restituit Zeune scripturam Edd. pr. et Guelf. στενοτέρας enim edidit Stephanus. In margine Guelf. legitur hæc annotatio: στενώτερον κοινῶς· στεινότερον κατὰ τὸν κανόνα τὸν καθόλου γραπτέον· ἀναλόγως καὶ τὸ ξεινότερον καὶ ξενώτερον. Etymol. M. p. 275. l. 49. superlativum στενότατος excipere videtur: πλὴν τοῦ στενότατος καὶ κενότατος· ἅπερ φησὶν ἀπὸ τοῦ στεῖνος καὶ κεῖνος γέγονε. De his compara Fischeri Animadv. ad Wellerum ii. p. 84. 85.

20. ἔσπευδεν] Edd. vett. Guelf. ἔσπευδέ τινα, Castalio ἔσπευδέ τε.

φθάσαι] Zeunianum φθᾶσαι male repetiit Weiske, cum supra ii. 5, 5. rcctum φθάσαι dedisset.

21. ἓξ λόχους] Quid momenti sit in numero senario, dubitans Weiske conjecit ἓξ in ἑκατὸν mutandum esse, ut totus exercitus decem millium hominum hoc modo fuerit descriptus. Deinde οὗτοι in οὕτω mutatum voluit. Neutra tamen mutatione opus esse recte admonuit Halbkart. Separatim enim sex λόχους incedere, clamant verba οὗτοι οἱ λοχαγοὶ—ὑπέμενον ὕστερον, deinde ὁπότε δὲ διάσχοιεν αἱ πλευραὶ τοῦ πλαισίου, (sect. 20. sunt τὰ κέρατα) τὸ μέσον ἀνεξεπίμπλασαν—denique καὶ εἴ που δέοι τι τῆς φάλαγγος, ἐπιπαρῆσαν οὗτοι, quæ quomodo fieri potest, ut de toto exercitu in centum λόχους distributo intelligi possint? Ceterum Eton. ἐποίησαν dat, deinde margo Steph. ἐνωμότας. Verba οἱ λοχαγοὶ post ὕστεροι reponit Codex Paris.

τότε δὲ παρῆγον] Brodæus in aliis libris τοὺς δὲ παρῆγον reperit, et sic est in Paris. Locum ita vertit Zeune: *et tum, postquam substiterant, donec cornua processissent, suos extra cornua a tergo agminis ducebant.* Weiske: *e*

ἔξωθεν τῶν κεράτων. Ὁπότε δὲ διάσχοιεν αἱ πλευραὶ 22 τοῦ πλαισίου, τὸ μέσον ἀνεξεπίμπλασαν, εἰ μὲν στενώτερον εἴη τὸ διέχον, κατὰ λόχους· εἰ δὲ πλατύτερον, κατὰ πεντηκοστῦς· εἰ δὲ πάνυ πλατὺ, κατ' ἐνωμοτίας· ὥστε ἀεὶ ἔκπλεων εἶναι τὸ μέσον. Εἰ δὲ καὶ διαβαίνειν 23 τινὰ δέοι διάβασιν ἢ γέφυραν, οὐκ ἐταράττοντο, ἀλλ' ἐν τῷ μέρει οἱ λοχαγοὶ διέβαινον· καὶ εἴ που δέοι τι τῆς φάλαγγος, ἐπιπαρῆσαν οὗτοι. Τούτῳ τῷ τρόπῳ ἐπορεύθησαν σταθμοὺς τέτταρας.

lata fronte in altitudinem se collocabant post cornua, seu post extremum agmen. Atque ita vertit Halbkart: *und marschirten dann hinterher.* Mihi contra verba τότε δὲ παρῆγον ἔξ. τῶν κεράτων potius motum sex lochorum indicare videntur, quo, postquam exercitus viam angustam vel montes transierat, se agmini jungebant.

22. διάσχοιεν] Weiske locum ita interpretatur: *Quando cornua (sive qui ad latera incedunt) rursus diducta eo inter se intervallo, quod antea fuerat interjectum, incedere incipiunt, primo spatium necessario vacuum datur, simulque et qui e primo agmine antecedere et qui in extremo subsequi coacti fuerant, distrahuntur, dum illam mediam aciem, tantisper vacuam, occupare possint.* Hunc secutus Halbkart vertit: *Breiteten sich aber die Flanken des Vierecks wieder, so füllten jene die Lücken aus.* Mihi sensus loci diversus esse videtur, etsi id, quod ad tacticam scientiam pertinet in eo, non plane habeam perspectum. διέχειν dici videntur αἱ πλευραὶ vel τὰ κέρατα τοῦ πλαισίου, cum spatium vacuum medium relinquunt, quod τὸ διέχον dicitur.

κατὰ λόχους] Articulum τοὺς alienum ab hoc loco, ut docent sequentia, duce codice Paris. recte delevit Zeune, male restituit Weiske secutus Stephanum. κατὰ λοχαγοὺς dant Edd. vett. Eton. et Guelf. κατὰ τοὺς λόχους Codices Brodæi et Stephanianæ. Ceterum rationem tacticam ita interpretatur Weiske: *Ut una serie sive uno ordine totus lochus incederet; et sic deinceps ut in latitudinem bini milites, exercitu secundum semicenturias diviso, incederent inter cornua; quaterni autem singulis lochis in ἐνωμοτίας distractis.* Sed hæc interpretatio nititur falsa illa ὑποθέσει de toto exercitu in centum lochos distributo. Halbkart ita explicat rationem: *Wenn die entstandenen Lücken des Vierecks nur enge waren, so füllten jene 6 Kompanien dieselben so aus, dass sie sich in der den Kompanien gewohnlichen Frontenbreite hineinzogen: waren die Lücken grösser, so theilte sich die Kompanie in zwey Theile und verdoppelte ihre Fronte; waren die Lücken aber sehr weit, so zog sich die Kompanie in 4 Theilen und vierfacher Fronte hinein.* Hæc est ratio eadem cum Weiskiana, quæ mihi cum verbis græcis conciliari posse non videtur. Saltem addi debuisse videtur articulus τὰς, ut intelligantur, quotquot πεντηκοστῦς et ἐνωμοτίαι centurias singulas efficiunt. Contra mire blanditur conjectura viri docti, qui censuram versionis Halbkartianæ dedit in Ephemeridibus litterariis Lipsiensibus anni 1804. p. 1774, qui ordinem verborum duce sect. 21. ita mutandum censuit: εἰ μὲν—διέχον, κατ' ἐνωμοτίας, εἰ δὲ πλατύτερον, κατὰ πεντηκοστῦς, εἰ δὲ πάνυ πλατὺ, κατὰ λόχους.

23. εἴ που δέοι τι τῆς φάλαγγος] Recte Weiske: *quod si quo loco phalange opus erat, deinceps collocatæ ἐνωμοτίαι frontem valde latam efficiebant, ut* iv. 3, 26. Male contra Halbkart: *wenn irgendwo zu dem vollen Phalanx etwas fehlte.*

24 Ἡνίκα δὲ τὸν πέμπτον ἐπορεύοντο σταθμὸν, εἶδον βασίλειόν τι, καὶ περὶ αὐτὸ κώμας πολλάς· τήν τε ὁδὸν πρὸς τὸ χωρίον τοῦτο διὰ γηλόφων ὑψηλῶν γιγνομένην, οἳ καθῆκον ἀπὸ τοῦ ὄρους, ὑφ᾽ ᾧ ἦν κώμη. Καὶ εἶδον μὲν τοὺς γηλόφους ἄσμενοι οἱ Ἕλληνες, ὡς εἰκὸς, τῶν πολε-
25 μίων ὄντων ἱππέων. Ἐπεὶ δὲ πορευόμενοι ἐκ τοῦ πεδίου ἀνέβησαν ἐπὶ τὸν πρῶτον γήλοφον, καὶ κατέβαινον, ὡς ἐπὶ τὸν ἕτερον ἀναβαῖεν, ἐνταῦθα ἐπιγίγνονται οἱ βάρβαροι, καὶ ἐκ τοῦ ὑψηλοῦ ἐς τὸ πρανὲς ἔβαλλον, ἐσφενδόνων,
26 ἐτόξευον ὑπὸ μαστίγων· καὶ πολλοὺς κατετίτρωσκον, καὶ ἐκράτησαν τῶν Ἑλλήνων γυμνήτων, καὶ κατέκλεισαν αὐτοὺς εἴσω τῶν ὅπλων· ὥστε παντάπασι ταύτην τὴν ἡμέραν ἄχρηστοι ἦσαν, ἐν τῷ ὄχλῳ ὄντες, καὶ οἱ σφενδον-
27 ῆται καὶ οἱ τοξόται. Ἐπεὶ δὲ πιεζόμενοι οἱ Ἕλληνες ἐπεχείρησαν διώκειν, σχολῇ μὲν ἐπὶ τὸ ἄκρον ἀφικνοῦνται, ὁπλῖται ὄντες· οἱ δὲ πολέμιοι ταχὺ ἀνεπήδων.
28 Πάλιν δὲ, ὁπότε ἀπίοιεν πρὸς τὸ ἄλλο στράτευμα, ταὐτὰ

24. γηλόφους] Paris. Eton. λόφους habent. Paulo antea ἐκ τοῦ ὄρους margo Villois.

25. καὶ κατέβαινον] Copulam ex conjectura Stephani et versione Amasæi restituit Zeune.

ἀναβαῖεν] Paris. et Eton. καταβαίνειν habent.

ἐπιγίγνονται] Ita margo Steph. Paris. Eton. pro παραγίνονται. Indidem sequens ἐκ τοῦ ὑψηλοῦ ἐς τὸ πρανὲς recepi pro ἀπὸ τοῦ—ἐπὶ τὸ πρ.

ὑπὸ μαστίγων] Verberibus adacti, more Persarum, quem docent loca Herodoti vii. 22. vii. 56. vii. 223. et 103. ὑπὸ μάστιξι διορύττοντας τὸν Ἄθω Plutarchus de Tranquillitate p. 840. ed. Reiskii. Muretus cum moris ejus non meminisset, ἀπεμαστίγουν scribi voluit. Tamen Valckenaer ad Herodoti vii. 22. se non intelligere satis fatetur, quid apud Xenophontem sit ὑπὸ μαστίγων. Quæ dubitatio viri in his literis principis quam causam habuerit, velim equidem scire.

26. καὶ οἱ σφενδονῆται] Copulam liber Eton. omittit.

[De Græcis est ad collem enitentibus: ἐπεὶ δὲ πιεζόμενοι οἱ Ἕλληνες ἐπεχείρησαν διώκειν (hostes barbaros in colle collocatos, qui ἐκ τοῦ ὑψηλοῦ ἐς τὸ πρανὲς ἔβαλλον sect. 25.) σχολῇ μὲν ἐπὶ τὸ ἄκρον ἀφικνοῦνται, ὁπλῖται ὄντες, οἱ δὲ πολέμιοι ταχὺ ἀνεπήδων. Hic pessimam scripturam cum Weiskio dedi pro ea quam obtulit Steph. Paris. Eton. libri ἀπεπήδων. Ut sensui laboranti succurreret Zeune, in Indice ἀναπηδᾷν ex h. l. interpretatus est *recurrere*. Quam notionem nuspiam reperies, non magis quam alteram a Stephano in Thesauro positam, *resilire*. Exemplum Aristophanis Ranar. versu 566. νὼ δὲ δείσασαι ἐπὶ τὴν κατήλιφα εὐθὺς ἀνεπηδήσαμεν. In Cyri disciplina sæpissime pro *subsilire, prosilire* usurpatur verbum. *Ex Epistola.*]

27. ἀνεπήδων] Steph. Paris. Eton. ἀπεπήδων dant.

ἔπασχον· καὶ ἐπὶ τοῦ δευτέρου γηλόφου ταὐτὰ ἐγίγνετο·
ὥστε ἀπὸ τοῦ τρίτου γηλόφου ἔδοξεν αὐτοῖς μὴ κινεῖν τοὺς
στρατιώτας· πλὴν ἀπὸ τῆς δεξιᾶς πλευρᾶς τοῦ πλαισίου
ἀνήγαγον πελταστὰς πρὸς τὸ ὄρος. Ἐπεὶ δ' οὗτοι 29
ἐγένοντο ὑπὲρ τῶν ἑπομένων πολεμίων, οὐκέτι ἐπετίθεντο
οἱ πολέμιοι τοῖς καταβαίνουσι, δεδοικότες, μὴ ἀποτμη-
θείησαν, καὶ ἀμφοτέρωθεν αὐτῶν γένοιντο οἱ πολέμιοι.
Οὕτω τὸ λοιπὸν τῆς ἡμέρας πορευόμενοι, οἱ μὲν τῇ ὁδῷ 30
κατὰ τοὺς γηλόφους, οἱ δὲ κατὰ τὸ ὄρος ἐπιπαριόντες,
ἀφίκοντο εἰς τὰς κώμας, καὶ ἰατροὺς κατέστησαν ὀκτώ.
πολλοὶ γὰρ ἦσαν οἱ τετρωμένοι.

Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς, καὶ τῶν τετρωμένων 31
ἕνεκα, καὶ ἅμα ἐπιτήδεια πολλὰ εἶχον, ἄλευρα, οἶνον,
κριθὰς ἵπποις συμβεβλημένας πολλάς. Ταῦτα δὲ
συνηγμένα ἦν τῷ σατραπεύοντι τῆς χώρας. Τετάρτῃ δ'
ἡμέρᾳ καταβαίνουσιν εἰς τὸ πεδίον. Ἐπεὶ δὲ κατέλα- 32
βεν αὐτοὺς Τισσαφέρνης σὺν τῇ δυνάμει, ἐδίδαξεν αὐτοὺς
ἡ ἀνάγκη κατασκηνῆσαι, οὗ πρῶτον εἶδον κώμην, καὶ μὴ
πορεύεσθαι ἔτι μαχομένους· πολλοὶ γὰρ ἦσαν ἀπόμα-

28. ταὐτὰ ἐγίγνετο· ὥστε ἀπὸ τ. τρ. γηλόφου] Hæc omisit lib. Eton.

29. ἀμφοτέρωθεν] Edd. vett. et Guelf. a prima manu habent ἀμφοτέρων. Verum dedit Steph. et margo Villois.

30. οἱ δὲ—ἐπιπαριόντες] Sunt peltastæ Græci.

31. ἡμέρας τρεῖς] Paris. et Eton. ὀκτώ. Sequens συμβεβλημένας *congestum hordeum* equis vertunt. Usum equidem video in equorum cibum, sed in verbo aliud mihi videtur aliquid latere, quam congerendi notio, quæ sequitur in verbis ταῦτα συνηγμένα ἦν.

συνηγμένα] Paris. συνενηνεγμένα habet cum Eton. Deinceps τῷ στρατεύματι est in Edd. vett. Guelf. quod Stephanus mutavit ex Paris. et libro Brodæi. Satrapæ munus erat alere milites præsidiarios. Cf. Cyrop. viii. 6, 3. Œconom. iv. 5, 6.

32. ἐδίδαξεν αὐτοὺς ἡ ἀνάγκη] Ita cum margine Steph. Paris. Eton. correxi vulgatam ἐδίδαξε τοὺς Ἕλληνας τῇ ἀνάγκῃ, quæ quanquam ineptissima Zeunio tamen et Weiskio vera fuit visa; contra librorum scripturam e margine irrepsisse censebat Zeune.

[ἐδίδαξεν αὐτοὺς ἡ ἀνάγκη κατασκηνῆσαι—κώμην. Confirmat emendationem locus Suidæ in v. ἐδίδαξεν, ubi præterea est αὐτοὺς ἀνάγκη κατασκηνῶσαι—κώμας. *Ex Epistola.*]

μαχομένους] Castalionis μαχουμένους locum non habet.

χοι οἱ τετρωμένοι, καὶ οἱ ἐκείνους φέροντες, καὶ οἱ τῶν
33 φερόντων τὰ ὅπλα δεξάμενοι. Ἐπεὶ δὲ κατεσκήνησαν,
καὶ ἐπεχείρησαν αὐτοῖς ἀκροβολίζεσθαι οἱ βάρβαροι,
πρὸς τὴν κώμην προσιόντες, πολὺ περιῆσαν οἱ Ἕλληνες·
πολὺ γὰρ διέφερεν, ἐκ τῆς χώρας ὁρμωμένους ἀλέξα-
σθαι, ἢ πορευομένους ἐπιοῦσι τοῖς πολεμίοις μάχεσθαι.
34 Ἡνίκα δ' ἦν ἤδη δείλη, ὥρα ἦν ἀπιέναι τοῖς πολεμίοις·
οὔποτε γὰρ μεῖον ἀπεστρατοπεδεύοντο οἱ βάρβαροι τοῦ
Ἑλληνικοῦ ἑξήκοντα σταδίων, φοβούμενοι, μὴ τῆς νυκτὸς
35 οἱ Ἕλληνες ἐπιθοῖντο αὐτοῖς. Πονηρὸν γὰρ νυκτός ἐστι
στράτευμα Περσικόν. Οἵ τε γὰρ ἵπποι αὐτοῖς δέδενται,
καὶ ὡς ἐπιτοπολὺ πεποδισμένοι εἰσὶ, τοῦ μὴ φεύγειν
ἕνεκα, εἰ λυθείησαν· ἐάν τέ τις θόρυβος γίγνηται, δεῖ
ἐπισάξαι τὸν ἵππον Πέρσῃ ἀνδρὶ, καὶ χαλινῶσαι δεῖ, καὶ
θωρακισθέντα ἀναβῆναι ἐπὶ τὸν ἵππον. Ταῦτα δὲ πάν-

οἱ τετρωμένοι] Articulum ex Eton. ubi tamen ante ἀπόμαχοι erat positus, recepit Zeune, qui οἵ τε τετρωμένοι malebat. Infra iv. 1, 13. est πολλοὶ δὴ αὐτῶν οἱ ἐπὶ τούτοις ὄντες ἀπόμαχοι ἦσαν.

33. πολὺ περιῆσαν] Edd. vett. Guelf. Eton. ἐν ᾗ περιῆσαν. Stephani lectionem habet Paris. et liber 2. 1. in margine Villois.

ὁρμωμένους] Ita pro ὁρμῶντας habet Suidas in verbo ἀλέξασθαι et Zonaras in Lexico MS. apud Alberti ad Hesychii ἀλέξασθαι. Uterque articulum τῆς omisit; præterea Suidas προπορευομένους dat. Aliud est ὁρμᾷν, aliud ὁρμᾶσθαι. In Eton. est ὁρμῶντες—πορευόμενοι· οὔποτε γὰρ μεῖον, reliquis omissis. At ita simul διέφερον scriptum oportebat.

34. οἱ Ἕλληνες] Hæc Stephani sec. ex Paris. libro addidit, quæ tanquam ex interpretatione orta seclusit Zeune, omisit Weiske.

ἐπιθοῖντο] Edd. vett. Guelf. ἐπίθοιντο, Eton. ἐπιθῶνται.

35. πονηρὸν] In Cyrop. iii. 3, 26. est de eadem re: τραχῶδες καὶ δύσχρηστον. Deinceps ἐπὶ πολὺ Eton.

πεποδισμένοι] Suidas interpretatur τοὺς πόδας δεδεμένοι et τοὺς πόδας κατεσχημένοι. Cyrop. habet: πεποδισμένους γὰρ ἔχουσι τοὺς ἵππους ἐπὶ ταῖς φάτναις. ubi vide annotationem. Mos pedicis equos continendi ad præsepia valuit apud Persas etiam in castris; nam extra bellum idem fuit Græcorum mos antiquissimus in equis et armentis. Testis Homerica Ilias xiii. 36. de Neptuni equis: ἀμφὶ δὲ ποσσὶ πέδας βάλε. De vaccis in stabulo ad mulctram stantibus auctor Idyllii inter Theocritea xxv. 103. ἀλλ' ὁ μὲν ἀμφὶ πόδεσσιν ἐϋτμήτοισιν ἱμᾶσιν καλοπέδιλ' ἀράρισκε, παρασταδὸν ἐγγὺς ἀμέλγων. Præpeditos Numidarum equos comparavit ex Taciti Annal. iv. 25. Hutchinson.

ἐάν τέ τις] Ita cum Steph. et Aldina margo Villois. τε omittunt Junt. Guelf. Suidas δεῖ δέ. hinc edidit Castalio.

θωρακισθέντα] Post Πέρσῃ ἀνδρὶ insolens quidem est sequi accusativum,

τα χαλεπὰ νύκτωρ καὶ θορύβου ὄντος ποιεῖν. Τούτου ἕνεκα πόῤῥω ἀπεσκήνουν τῶν Ἑλλήνων.

Ἐπεὶ δὲ ἐγίγνωσκον αὐτοὺς οἱ Ἕλληνες βουλομένους 36
ἀπιέναι καὶ διαγγελλομένους, ἐκήρυξε τοῖς Ἕλλησι
συσκευάσασθαι, ἀκουόντων τῶν πολεμίων. Καὶ χρόνον
μέν τινα ἐπέσχον τῆς πορείας οἱ βάρβαροι· ἐπειδὴ δὲ
ὀψὲ ἐγίγνετο, ἀπῄεσαν· οὐ γὰρ ἐδόκει λυσιτελεῖν αὐτοῖς
νυκτὸς πορεύεσθαι καὶ κατάγεσθαι ἐπὶ τὸ στρατόπεδον.
Ἐπειδὴ δὲ σαφῶς ἀπιόντας ἤδη ἑώρων οἱ Ἕλληνες, ἐπο- 37
ρεύοντο καὶ αὐτοὶ ἀναζεύξαντες, καὶ διῆλθον ὅσον ἑξή-
κοντα σταδίους· καὶ γίγνεται τοσοῦτον μεταξὺ τῶν στρα-
τευμάτων, ὥστε τῇ ὑστεραίᾳ οὐκ ἐφάνησαν οἱ πολέμιοι,
οὐδὲ τῇ τρίτῃ· τῇ δὲ τετάρτῃ, νυκτὸς προελθόντες, κατα-
λαμβάνουσι χωρίον ὑπερδέξιον οἱ βάρβαροι, ᾗ ἔμελλον οἱ
Ἕλληνες παριέναι, ἀκρωνυχίαν ὄρους, ὑφ᾽ ἣν ἡ κατάβα-
σις ἦν εἰς τὸ πεδίον. Ἐπειδὴ δὲ ἑώρα ὁ Χειρίσοφος προ- 38
κατειλημμένην τὴν ἀκρωνυχίαν, καλεῖ Ξενοφῶντα ἀπὸ

sed non sine exemplo. At magis insolens δεῖ junctum dativo: quare verba Πέρσῃ ἀνδρὶ mihi suspecta sunt; quanquam Weiske insolentiam excusat ambiguitate, quam casus accusativus fecisset.

νύκτωρ καὶ θορύβου ὄντος] Ita cum Porsono vulgatam scripturam ineptissimam χαλεπὸν νυκτὸς ἅτε καὶ θορύβου ὄντος correxi, non sine librorum auctoritate. Paris. Eton. χαλεπὰ νύκτωρ, omissis verbis ἅτε καὶ θ. ὄντος ποιεῖν. Eadem omittit Suidas, nisi quod χαλεπὰ ποιεῖν νύκτωρ is habet. Edd. vett. Guelf. χαλεπὸν ν. ποιεῖν ὅτε καὶ θ. Stephanus ἅτε edidit, Muretus ἄλλως τε καὶ maluit.

36. διαγγελλομένους] Suidas παρακελευομένους et φανερουμένους, δήλους γενομένους interpretatur, rectius Weiske: cum inter se hoc denunciarent (quasi per παράγγελμα), alter alteri proficiscendum esse acclamaret.

ἐκήρυξε] Intellige ὁ κῆρυξ. Sequens συσκευάσασθαι ex margine Steph. Paris. Eton. adscivi. Vulgatum, παρασκ. ferrem, si ὡς ἀπιόντας additum esset, ut Cyrop. i. 3, 13.

λυσιτελεῖν αὐτοῖς] Paris. Eton. λύειν αὐτοὺς habent. Nolo abuti loco Sophoclis Electræ versu 1000. λύει γὰρ ἡμᾶς οὐδὲν οὐδ᾽ ἐπωφελεῖ· ubi Suidas cum Scholiaste interpretatur λυσιτελεῖ ἡμῖν. sed alter habet ἀπαλλάσσει, ἐκλύσεται. Euripides enim ubique λύειν cum dativo posuit pro λυσιτελεῖν; atque omnino poetis videtur peculiaris ejus verbi et notionis usus. Præterea οὔτε γὰρ Eton.

37. στρατευμάτων] Ita Steph. Paris. Eton. Antea erat στρατιωτῶν. Sequens προελθόντες pro vulgato προσελθόντες ex Paris. probante Stephano et Mureto dedit Hutchinson.

ὄρους, ὑφ᾽ ἣν] Suidas sub v. ἀκρώνυξ habet τοῦ ὄρους, ἀφ᾽ ἧς. Paris. ἐφ᾽ ἥν.

38. Ἐπειδὴ] Paris. ἐπεὶ habet, et ex eodem articulum ὁ ante nomen Cherisophi adsumsit Zeune. Idem vitiosum προκαταλελειμμένην dat.

τῆς οὐρᾶς· καὶ κελεύει λαβόντα τοὺς πελταστὰς παρα-
39 γενέσθαι εἰς τὸ πρόσθεν. Ὁ δὲ Ξενοφῶν τοὺς μὲν
πελταστὰς οὐκ ἦγεν· (ἐπιφαινόμενον γὰρ ἑώρα Τισσα-
φέρνην, καὶ τὸ στράτευμα πᾶν) αὐτὸς δὲ προσελάσας
ἠρώτα· Τί καλεῖς; Ὁ δὲ λέγει αὐτῷ· Ἔξεστιν ὁρᾷν·
προκατείληπται γὰρ ἡμῖν ὁ ὑπὲρ τῆς καταβάσεως λό-
φος, καὶ οὐκ ἔστι παρελθεῖν, εἰ μὴ τούτους ἀποκόψο-
40 μεν. Ἀλλὰ τί οὐκ ἦγες τοὺς πελταστάς; Ὁ δὲ λέγει,
ὅτι οὐκ ἐδόκει αὐτῷ, ἔρημα καταλιπεῖν τὰ ὄπισθεν, ἐπι-
φαινομένων τῶν πολεμίων. Ἀλλὰ μὴν ὥρα γ', ἔφη,
βουλεύεσθαι, πῶς τις τοὺς ἄνδρας ἀπελᾷ ἐκ τοῦ λόφου.
41 Ἐνταῦθα Ξενοφῶν ὁρᾷ τοῦ ὄρους τὴν κορυφὴν ὑπὲρ τοῦ
ἑαυτῶν στρατεύματος οὖσαν, καὶ ἀπὸ ταύτης ἔφοδον ἐπὶ
τὸν λόφον, ἔνθα ἦσαν οἱ πολέμιοι· καὶ λέγει· Κράτι-
στον, ὦ Χειρίσοφε, ἡμῖν ἵεσθαι ὡς τάχιστα ἐπὶ τὸ ἄκρον·
ἐὰν γὰρ τοῦτο λάβωμεν, οὐ δυνήσονται μένειν οἱ ὑπὲρ τῆς
ὁδοῦ. Ἀλλ', εἰ βούλει, μένε ἐπὶ τῷ στρατεύματι· ἐγὼ
δὲ ἐθέλω πορεύεσθαι· εἰ δὲ χρήζεις, πορεύου ἐπὶ τὸ ὄρος,

39. προσελάσας] Cum Welsio Hutchinsono et Weiskio, scripturam προελάσας librorum omnium posthabui.

προκατείληπται] Simplex κατείληπται habet Paris. et Eton. Deinceps ἀποκόψωμεν Guelf. παρακόψομεν Paris. κατακόψομεν Eton.

ἀλλὰ—πελταστάς] Hæc desunt in Eton. qui deinceps dat ὁ δὲ αὐτῷ λέγει, et sequens τῶν ante πολεμίων omittit.

40. ἀπελᾷ ἐκ τοῦ λόφου] Ex margine Steph. et Villois. ἐκ addidi; ἀπὸ τοῦ λόφου est in Eton. ἐπελᾷ est in Castal.

41. ὑπὲρ τοῦ ἑαυτῶν] Recte cum Hutchinsono Weiske scripturam Paris. et Eton. in locum vulgati ἑαυτοῦ recepit, quod plane deleri voluit Muretus, cum a loco alienum esset. Xenophon enim agmen extremum ducens nondum conspexerat collem, ad quem primum agmen pervenerit. Ineptissime vulgatam defendit Zeune.

ἔφοδον ἐπὶ τὸν λόφον] Polyænus i. 39, 3. Ξενοφῶν, τῶν βαρβάρων προκαταλαβόντων στενὸν τόπον, ᾗ τὴν πάροδον ἀναγκαῖον ποιεῖσθαι τοῖς Ἕλλησιν ἦν, συνιδὼν ἀπό τινος ὄρους ἔφοδον ὄντα τὸν λόφον, ἐφ' οὗ τὴν φυλακὴν εἶχον οἱ βάρβαροι, παραλαβὼν Ἕλληνας, ὅσους ὑπελάμβανεν ἱκανοὺς εἶναι, τὴν πορείαν ἐπὶ τοῦτο ἐποιεῖτο, κατὰ κεφαλῆς αὐτῶν βουλόμενος γενέσθαι. Οἱ μὲν βάρβαροι τοὺς πολεμίους ὑπεράνω γενομένους ἰδόντες ἔφυγον, Ξενοφῶν δὲ ἀσφαλῶς διῆγε τοὺς Ἕλληνας. ubi apparet ex h. l. scribendum esse ἔφοδον οὖσαν ἐπὶ τὸν λόφον.

οἱ ὑπὲρ τῆς ὁδοῦ] Articulum οἱ ex Paris. Eton. et margine Villois. adjunxit Zeune.

ἐγὼ δὲ μενῶ αὐτοῦ. Ἀλλὰ δίδωμί σοι, ἔφη ὁ Χειρίσο- 42
φος, ὁπότερον βούλει, ἑλέσθαι. Εἰπὼν ὁ Ξενοφῶν, ὅτι
νεώτερός ἐστιν, αἱρεῖται πορεύεσθαι· κελεύει δέ οἱ συμ-
πέμψαι ἀπὸ τοῦ στόματος ἄνδρας· μακρὰν γὰρ ἦν, ἀπὸ
τῆς οὐρᾶς λαβεῖν. Καὶ ὁ Χειρίσοφος συμπέμπει τοὺς 43
ἀπὸ τοῦ στόματος πελταστάς· ἔλαβε δὲ τοὺς κατὰ μέ-
σον τοῦ πλαισίου. Συνέπεσθαι δ' ἐκέλευσεν αὐτῷ καὶ
τοὺς τριακοσίους [ὁ Χειρίσοφος,] οὓς αὐτὸς εἶχε τῶν ἐπι-
λέκτων ἐπὶ τῷ στόματι τοῦ πλαισίου.

Ἐντεῦθεν ἐπορεύοντο ὡς ἐδύναντο τάχιστα. Οἱ δ' 44
ἐπὶ τοῦ λόφου πολέμιοι, ὡς ἐνόησαν αὐτῶν τὴν πορείαν
ἐπὶ τὸ ἄκρον, εὐθὺς καὶ αὐτοὶ ὥρμησαν ἁμιλλᾶσθαι ἐπὶ
τὸ ἄκρον. Καὶ ἐνταῦθα πολλὴ μὲν κραυγὴ ἦν τοῦ 45
Ἑλληνικοῦ στρατεύματος, διακελευομένων τοῖς ἑαυτῶν·
πολλὴ δὲ κραυγὴ τῶν ἀμφὶ Τισσαφέρνην, τοῖς ἑαυτῶν
διακελευομένων. Ξενοφῶν δὲ παρελαύνων ἐπὶ τοῦ ἵππου, 46
παρεκελεύετο· Ἄνδρες, νῦν ἐπὶ τὴν Ἑλλάδα νομίζετε
ἁμιλλᾶσθαι, νῦν πρὸς τοὺς παῖδας καὶ τὰς γυναῖκας,
νῦν ὀλίγον πονήσαντες χρόνον, ἀμαχεὶ τὴν λοιπὴν πορευ-
σόμεθα. Σωτηρίδας δὲ ὁ Σικυώνιος εἶπεν· Οὐκ ἐξ ἴσου, 47

μενῶ] Edd. vett. Guelf. μένω dant.

42. ὁπότερον] Paris. πότερόν—αἱρεῖσθαι.

μακρὰν γὰρ ἦν] Paris. Eton. μακρόν. unde Hutchinson malebat: μακρὸν ἂν γὰρ εἴη. Vulgatum habet Suidas in στόμα.

οὐρᾶς] Margo Steph. Paris. Eton. et Suidas ita habent. Vulgatum οὐραγίας inepte defendit Zeune, quem sequitur Weiske.

43. ὁ Χειρίσοφος] Hæc desunt in libro Etonensi, Paris. et margine Steph. hinc seclusi. Præterea αὐτοὺς habet Paris.

τριακοσίους] More regum Spartanorum, de quo Thucyd. v. 12. monente Larchero.

ἐπὶ τῷ] Eton. liber ἐν τῷ habet.

45. Καὶ ἐνταῦθα—τοῖς ἑαυτῶν] Hæc usque ad πολλὴ δὲ in Eton. libro exciderunt.

τοῖς ἑαυτῶν—διακελευομένων] Male Edd. vett. Guelf. κελευομένοις.

46. ἐπὶ τὴν Ἑλλάδα] Ita margo Steph. Paris. Eton. Vulgo erat εἰς. Ex iisdem libris articulum τοὺς—τὰς deinceps addidit Zeune.

νῦν ὀλίγον—χρόνον] Paris. νῦν, Eton. χρόνον omittit. Guelf. a prima manu ποιήσαντες habet.

Σικυώνιος] Ita Aldina, Steph. Guelf. a secunda manu, Eton. margo Villois. Σικύνιος Junt. Guelf. Συκαιώνιος Paris. Locum hunc latine transtulit Frontinus Strateg. iv. 6, 2. Σωτηρίδης est in Eton. libro.

ὦ Ξενοφῶν, ἐσμέν· σὺ μὲν γὰρ ἐφ᾽ ἵππου ὀχῇ, ἐγὼ δὲ
48 χαλεπῶς κάμνω τὴν ἀσπίδα φέρων. Καὶ ὃς, ἀκούσας
ταῦτα, καταπηδήσας ἀπὸ τοῦ ἵππου, ὠθεῖται αὐτὸν ἐκ
τῆς τάξεως, καὶ τὴν ἀσπίδα ἀφελόμενος, ὡς ἐδύνατο τά-
χιστα ἐπορεύετο. Ἐτύγχανε δὲ καὶ θώρακα ἔχων τὸν
ἱππικόν· ὥστε ἐπιέζετο. Καὶ τοῖς μὲν ἔμπροσθεν ὑπά-
γειν παρεκελεύετο, τοῖς δὲ ὄπισθεν, παριέναι, μόγις ἑπο-
49 μένοις. Οἱ δ᾽ ἄλλοι στρατιῶται παίουσι καὶ βάλ-
λουσι καὶ λοιδοροῦσι τὸν Σωτηρίδαν, ἔστε ἠνάγκασαν λα-
βόντα τὴν ἀσπίδα πορεύεσθαι. Ὁ δὲ ἀναβὰς, ἕως μὲν
βάσιμα ἦν, ἐπὶ τοῦ ἵππου ἦγεν· ἐπεὶ δὲ ἄβατα ἦν, κατα-
λιπὼν τὸν ἵππον, ἔσπευδε πεζῇ. Καὶ φθάνουσιν ἐπὶ
τῷ ἄκρῳ γενόμενοι τοὺς πολεμίους.

CAP. V.

ΕΝΘΑ δὴ οἱ μὲν βάρβαροι στραφέντες ἔφευγον, ᾗ
ἕκαστος ἐδύνατο· οἱ δ᾽ Ἕλληνες εἶχον τὸ ἄκρον. Οἱ δὲ
ἀμφὶ Τισσαφέρνην καὶ Ἀριαῖον ἀποτραπόμενοι ἄλλην
ὁδὸν ᾤχοντο· οἱ δὲ ἀμφὶ Χειρίσοφον, καταβάντες εἰς τὸ
πεδίον, ἐστρατοπεδεύσαντο ἐν κώμῃ μεστῇ πολλῶν ἀγα-
θῶν. Ἦσαν δὲ καὶ ἄλλαι κῶμαι πολλαὶ, πλήρεις
πολλῶν ἀγαθῶν, ἐν τούτῳ τῷ πεδίῳ, παρὰ τὸν Τίγρητα

48. ὠθεῖται αὐτὸν] Vulgatum ὠθεῖτο in ejusmodi narratione languet. Igitur scripturam Paris. recepi probante Porsono.

τάχιστα] Margo Steph. Paris. Eton. ἔχων addunt, quo caremus facile post ἀφελόμενος.

τὸν ἱππικὸν] Locum Plutarchi in Philopœmene c. 6. posuit Hutchinson: πεζὸς ἐν ἱππικῷ θώρακι καὶ σκευῇ βαρυτέρᾳ χαλεπῶς καὶ ταλαιπώρως ἁμιλλώμενος.

ἐπιέζετο] Paris. Eton. πιέζοιτο, deinceps ὑπάγων—μόλις habent.

49. καὶ βάλλουσι] Edd. vett. Guelf. et Amasæi versio hæc omittunt. Sequens ἔστε pro ἕως dedit Paris.

ἐπὶ τοῦ ἵππου ἦγεν] Hoc ordine collocavi verba cum Eton. et Paris. Vulgo enim erat: ἐπὶ τοῦ ἵππου, ἕως μὲν β. ἦν, ἦγεν.

1. ἀποτραπόμενοι] Ita cum Guelf. margo Villois. pro ἀποτρεπόμενοι.

εἰς τὸ πεδίον] Eton. hæc omisit, ut Paris. sequens μεστῇ, et πολλαὶ Edd. vett. cum Guelf. Πίγρητα habet Castal.

ποταμόν. Ἡνίκα δ' ἦν δείλη, ἐξαπίνης ἐπιφαίνονται οἱ 2
πολέμιοι ἐν τῷ πεδίῳ, καὶ τῶν Ἑλλήνων κατέκοψάν
τινας τῶν ἐσκεδασμένων ἐν τῷ πεδίῳ καθ' ἁρπαγήν·
καὶ γὰρ νομαὶ πολλαὶ βοσκημάτων, διαβιβαζόμεναι εἰς
τὸ πέραν τοῦ ποταμοῦ, κατελήφθησαν. Ἐνταῦθα Τισ- 3
σαφέρνης καὶ οἱ σὺν αὐτῷ καίειν ἐπεχείρησαν τὰς κώ-
μας. Καὶ τῶν Ἑλλήνων μάλα ἠθύμησάν τινες, ἐννοού-
μενοι, μὴ τὰ ἐπιτήδεια, εἰ καύσειεν, οὐκ ἔχοιεν ὁπόθεν
λαμβάνοιεν. Ὁ δὲ Ξενοφῶν, ἐπεὶ κατέβη παρελαύνων 4
τὰς τάξεις, ἡνίκα οἱ ἀμφὶ Χειρίσοφον ἀπήντησαν ἐκ τῆς
βοηθείας, ἔλεγεν· Ὁρᾶτε, ὦ ἄνδρες Ἕλληνες, ὑφιέν- 5
τας, τὴν χώραν ἤδη ἡμετέραν εἶναι· ἃ γάρ, ὅτε ἐσπέν-
δοντο, διεπράττοντο, μὴ κάειν τὴν βασιλέως χώραν, νῦν
αὐτοὶ κάουσιν ὡς ἀλλοτρίαν. Ἀλλὰ ἐάν που καταλί-

2. κατελήφθησαν] Buttmannus κατελείφθησαν malebat scriptum.

3. καύσειεν] Edd. vett. cum Guelf. καύσοιεν, Paris. Eton. καίοιεν, Weiske καύσειαν corrigit.

4. [Καὶ οἱ μὲν—ἐκ τῆς βοηθείας] ὁ δὲ] Verba seclusa Zeune spuria habuit et uncis usus damnavit. Amasæus verba ἡνίκα ἀπὸ τῆς β. ἀπ. οἱ Ἕλληνες in versione omisit. Muretus locum ita corrigi voluit: λαμβάνοιεν. Ὁ δὲ Ξενοφῶν, ἐπεὶ κατέβη, παρελαύνων ἐπὶ τὰς τάξεις, ἡνίκα οἱ ἀμφὶ Χειρίσοφον ἐπὶ βοηθείᾳ ἀπήντησαν, ἔλεγεν. Verbum ἀπήντησαν pro ἀπῄεσαν est in margine Steph. Paris. Eton. Recte vero monet ἐκβοηθείας mentionem non antecessisse, sed debuisse ante sect. 3. poni. Solet tamen Xenophon interdum brevitatis studiosus obiter significare, quæ disertius explicata expectabas. Igitur Mureti mihi ratio maxime omnium probabilis videtur. Primus enim Cherisophus cum suis in campum descenderat et κώμας occupaverat; reliqui cum Xenophonte nondum descenderant. Igitur ἐπεὶ κατέβη est de Xenophonte ex collibus descendente. Interim vero dispersos aliquot milites Cherisophi in campo Persæ subito apparentes obtruncaverant, quibus auxilio occurrit Cherisophus. Hic ibi Xenophonti descendenti occurrit. Recte igitur Cherisophus dicitur ἀπαντῆσαι ἐκ τῆς βοηθείας. Non est igitur opus cum Mureto ἐπὶ βοηθείᾳ scribere. Sed Ἕλληνες locum hic non habent; de parte enim exercitus sermo est, quam ducebat Cherisophus. Igitur non dubitavi vulgatam loci scripturam Καὶ οἱ μὲν ἀμφὶ Χειρίσοφον ἀπῄεσαν ἐκ τῆς βοηθείας· ὁ δὲ Ξενοφῶν, ἐπεὶ κατέβη παρελαύνων ἐπὶ τὰς τάξεις, ἡνίκα ἀπὸ τῆς βοηθείας ἀπῄεσαν οἱ Ἕλληνες, ἔλεγεν mutare. In postremis ἡνίκα ἀπὸ τῆς βοηθείας erat ante Zeunium, qui ex margine Steph. et Villois. ἐκ τῆς dedit. βαθείας est in Paris. ἐπὶ ante τὰς τάξεις omisi cum Paris. et Eton.

5. ὑφιέντας] Ald. ὑφιέντες, Paris. ὑφιέντα.

κάειν] Paris. βαίνειν. Deinceps idem et Eton. καίουσιν, et sic in seqq.

ἀλλὰ ἐάν] Edd. vett. Guelf. omittunt ἀλλά. Deinceps Paris. καταλείπωσι habet; postea ἐκεῖ pro ἐνταῦθα Eton.

πωσί γε αὐτοῖς τὰ ἐπιτήδεια, ὄψονται καὶ ἡμᾶς ἐνταῦθα
6 πορευομένους. Ἀλλ', ὦ Χειρίσοφε, ἔφη, δοκεῖ μοι βοη-
θεῖν ἐπὶ τοὺς κάοντας, ὡς ὑπὲρ τῆς ἡμετέρας. Ὁ δὲ
Χειρίσοφος εἶπεν· Οὔκουν ἔμοιγε δοκεῖ· ἀλλὰ καὶ ἡμεῖς,
ἔφη, κάωμεν, καὶ οὕτω θᾶττον παύσονται.
7 Ἐπεὶ δ' ἐπὶ τὰς σκηνὰς ἀπῆλθον, οἱ μὲν ἄλλοι περὶ
τὰ ἐπιτήδεια ἦσαν, στρατηγοὶ δὲ καὶ λοχαγοὶ συνῆλθον.
Καὶ ἐνταῦθα πολλὴ ἀπορία ἦν. Ἔνθεν μὲν γὰρ ὄρη ἦν
ὑπερύψηλα, ἔνθεν δὲ ὁ ποταμὸς τοσοῦτος τὸ βάθος, ὡς
μηδὲ τὰ δόρατα ὑπερέχειν πειρωμένοις τοῦ βάθους.
8 Ἀπορουμένοις δὲ αὐτοῖς προσελθών τις ἀνὴρ Ῥόδιος, εἶ-
πεν· Ἐγὼ θέλω ὑμᾶς, ὦ ἄνδρες, διαβιβάσαι κατὰ
τετρακισχιλίους ὁπλίτας, ἤν μοι, ὧν δέομαι, ὑπηρετή-
9 σητε, καὶ τάλαντον μισθὸν πορίσητε. Ἐρωτώμενος δέ,
ὅτου δεήσοιτο· Ἀσκῶν, ἔφη, δισχιλίων δεήσομαι· πολλὰ
δὲ ὁρῶ ταῦτα πρόβατα, καὶ αἶγας, καὶ βοῦς, καὶ ὄνους,
ἃ ἀποδαρέντα καὶ φυσηθέντα ῥᾳδίως ἂν παρέχοι τὴν
10 διάβασιν. Δεήσομαι δὲ καὶ τῶν δεσμῶν, οἷς χρῆσθε
περὶ τὰ ὑποζύγια. Τούτοις δ', ἔφη, ζεύξας τοὺς ἀσκοὺς
πρὸς ἀλλήλους, ὁρμίσας ἕκαστον ἀσκὸν λίθους ἀρτήσας,

7. σκηνὰς] Atqui tentoria combusta narravit iii. 3, 1. Igitur cum Zeunio Weiske interpretatur sub tecta vici se receperunt. Idem alibi, 4, 32. κατασκηνῆσαι dixit, ubi additur οὗ πρῶτον εἶδον κώμην.

στρατηγοὶ δὲ] Weiske recte οἱ δὲ στρατηγοὶ, uti sect. 14. scribendum censuit.

συνῆλθον] Paris. Eton. ἐνῆσαν, mira varietate!

ἔνθεν μὲν] Edd. vett. Guelf. ἐντεῦθεν habent. Articulum ὁ ante ποταμὸς ex Eton. addidit Zeune. Tigris intelligitur.

8. Ἐγὼ θέλω ὑμᾶς, ὦ ἄνδρες] Juntina ὦ ἄνδρες omisit; Eton. habet θέλω, ὦ ἄνδρες, ἡμᾶς. Margo Villois. διὰ ὦ ἄνδρες βιβάσαι.

ἤν μοι] Paris. ἂν ἐμοὶ ὧν δέωμαι. deinde Eton. μισθόν μοι δώσητε.

9. δεήσοιτο] Liber Brodæi et Eton. δέοιτο dant.

ταῦτα] Paris. omittit, in ἐνταῦθα mutabat Muretus. Sequens καὶ ante αἶγας omittit Junt. et Guelf.

βόας] Paris. βοῦς. et sic est infra vi. 4, 12. Memor. i. 2, 32. Hellen. vi. 4, 29. et alibi. Igitur recepi.

10. οἷς] Ex Juntinæ ὡς Castalio ὧν effecit. Deinceps χρῆσθαι ἀνάγκη Eton. habet.

δ' ἔφη] Desunt in Paris. deinde ζεῦξαι habent Edd. vett. Guelf.

ὁρμίσας] Vulgatum ἁρμόσας ex Paris. libro correxi. Sed præterea vulgaris distinctio verborum: ζεύξας τοὺς ἀσκοὺς, πρὸς ἀλλήλους ἁρμόσας ἕκαστον

καὶ ἀφεὶς ὥσπερ ἀγκύρας, εἰς τὸ ὕδωρ δὲ ἀγαγὼν, καὶ
ἀμφοτέρωθεν δήσας, ἐπιβαλῶ ὕλην, καὶ γῆν ἐπιφορήσω.
Ὅτι μὲν οὖν οὐ καταδύσεσθε, αὐτίκα μάλα εἴσεσθε· ὁ 11
γὰρ ἀσκὸς δύο ἄνδρας ἕξει τοῦ μὴ καταδῦναι· ὥστε δὲ
μὴ ὀλισθάνειν, ἡ ὕλη καὶ ἡ γῆ σχήσει.

Ἀκούσασι ταῦτα τοῖς στρατηγοῖς τὸ μὲν ἐνθύμημα 12
χαρίεν ἐδόκει εἶναι, τὸ δὲ ἔργον ἀδύνατον· ἦσαν γὰρ οἱ
κωλύσοντες πέραν πολλοὶ ἱππεῖς, οἳ εὐθὺς τοῖς πρώτοις
οὐδὲν ἂν ἐπέτρεπον τούτων ποιεῖν. Ἐνταῦθα τὴν μὲν 13
ὑστεραίαν ἐπανεχώρουν, εἰς τοὔμπαλιν ἢ πρὸς Βαβυ-
λῶνα, εἰς τὰς ἀκαύστους κώμας, κατακαύσαντες ἔνθεν
ἐξῄεσαν· ὥστε οἱ πολέμιοι οὐ προσήλαυνον, ἀλλὰ ἐθεῶν-
το, καὶ ὅμοιοι ἦσαν θαυμάζοντες, ὅποι ποτὲ τρέψονται οἱ
Ἕλληνες, καὶ τί ἐν νῷ ἔχοιεν. Ἐνταῦθα οἱ μὲν ἄλλοι 14
στρατιῶται ἀμφὶ τὰ ἐπιτήδεια ἦσαν· οἱ δὲ στρατηγοὶ
καὶ οἱ λοχαγοὶ πάλιν συνῆλθον, καὶ συναγαγόντες τοὺς

ἀσκὸν, mutanda fuit. Ita enim inepte repeteretur, quod dictum fuerat. ἁρμόζειν enim h. l. idem significaret quod ζευγνῦναι. Præterea solœcam orationem πρὸς ἀλλήλους ἕκαστον ἀσκὸν miror tolerasse viros doctos. Scilicet jungenda sunt ὁρμίσας ἕκαστον ἀσκὸν λίθους ἀρτήσας, *lapidibus appensis singulos utres firmabo.*

δὲ ἀγαγὼν] Paris. διαγαγὼν habet.

11. αὐτίκα μάλα] Eton. ἐντεῦθεν habet. Deinceps πᾶς γὰρ ἀσκὸς margo Steph. Paris. Eton. habent.

ὀλισθάνειν] Vulgatum ὀλισθανεῖν cum Porsono correxi. ὀλισθᾶναι habet Paris. cum Eton.

[ὀλισθάνειν] Formam verbi hujus strenue nuper vindicavit litteratissimus *Bast* in Epistola Critica p. 206. *Ex Epistola.*]

12. χαρίεν] In Cyrop. i. 4, 13. omnes libri scripti et ante Hutchinsonum editi dabant χάριεν, quod probant ut Atticum Grammatici, Herodianus Etymologici M. Suidas ad locum Aristoph. Pluti versu 145. et Eustathius. In Aristoph. etiam Ranis versu 1491. χαρίεν edidit Brunck. Bene de hac re monuit ad h. l. Hutchinson.

ἐπέτρεπον τούτων] Eton. τοιοῦτον ἐπέτρεπον habet.

13. ἐπανεχώρουν] Paris. ὑπανεχώρουν dat.

τοὔμπαλιν ἢ πρὸς Βαβυλῶνα] Via contraria et diversa ab ea, quæ ducebat versus Babylonem.

ἐξῄεσαν] Eton. ἀπῄεσαν habet. Deinceps Edd. vett. Guelf. προήλαυνον.

ὅμοιοι ἦσαν θαυμάζοντες] Margo Steph. Paris. Eton. θαυμάζειν. Stephanus θαυμάζουσιν, Muretus ὁμοῦ ἦσαν θαυμάζοντες corrigebat; Porson οἷοι ἦσαν θαυμάζειν. Noster tamen in Histor. Gr. vi. 3, 5. ἐοίκατε τυραννίσι μᾶλλον ἢ πολιτείαις ἡδόμενοι. Longus Pastor. p. 49. ed. Villois. ἐῴκεσαν ἐλεοῦσαι τὸν Δάφνιν. Hæc olim ad Hellenica comparaveram, nunc cum Porsono sentio.

14. καὶ οἱ λοχαγοὶ] Omisit hæc Eton. Deinceps cum Paris. et margine Steph. dat ἑαλωκότας pro αἰχμαλώτους.

αἰχμαλώτους, ἤλεγχον τὴν κύκλῳ πᾶσαν χώραν, τίς
15 ἑκάστη εἴη. Οἱ δ' ἔλεγον, ὅτι τὰ μὲν πρὸς μεσημβρίαν
τῆς ἐπὶ Βαβυλῶνα εἴη καὶ Μηδίαν, δι' ἧσπερ ἥκοιεν· ἡ
δὲ πρὸς ἕω, ἐπὶ Σοῦσά τε καὶ Ἐκβάτανα φέροι, ἔνθα
θερίζειν καὶ ἐαρίζειν λέγεται βασιλεύς· ἡ δὲ διαβάντι
τὸν ποταμὸν πρὸς ἑσπέραν, ἐπὶ Λυδίαν καὶ Ἰωνίαν φέροι·
ἡ δὲ διὰ τῶν ὀρέων καὶ πρὸς ἄρκτον τετραμμένη ὅτι εἰς
16 Καρδούχους ἄγοι. Τούτους δ' ἔφασαν οἰκεῖν ἀνὰ τὰ
ὄρη, καὶ πολεμικοὺς εἶναι, καὶ βασιλέως οὐκ ἀκούειν·
ἀλλὰ καὶ ἐμβαλεῖν ποτε εἰς αὐτοὺς βασιλικὴν στρατιὰν,
δώδεκα μυριάδας· τούτων δὲ οὐδένα ἀπονοστῆσαι διὰ τὴν
δυσχωρίαν· ὁπότε μέντοι πρὸς τὸν σατράπην τὸν ἐν τῷ
πεδίῳ σπείσαιντο, καὶ ἐπιμίγνυσθαι σφῶν τε πρὸς ἐκεί-
νους, καὶ ἐκείνων πρὸς αὐτούς.

17 Ἀκούσαντες δὲ ταῦτα οἱ στρατηγοὶ, ἐκάθισαν χωρὶς
τοὺς ἑκασταχόσε φάσκοντας εἰδέναι, οὐδὲν δῆλον ποιή-
σαντες, ὅποι πορεύεσθαι ἔμελλον. Ἐδόκει δὲ τοῖς στρα-
τηγοῖς ἀναγκαῖον εἶναι, διὰ τῶν ὀρέων εἰς Καρδούχους
ἐμβάλλειν· τούτους γὰρ διελθόντας ἔφασαν εἰς Ἀρμε-
νίαν ἥξειν, ἧς Ὀρόντας ἦρχε, πολλῆς καὶ εὐδαίμονος.
Ἐντεῦθεν δὲ εὔπορον ἔφασαν εἶναι, ὅποι τις ἐθέλει πο-

ἤλεγχον] Suidas sub h. v. ἀνέκρινον interpretatur.

15. τῆς ἐπὶ] Intellige ὁδοῦ, ut in sequenti ἡ δὲ πρὸς ἕω.

φέροι] Edd. vett. φέρειεν, Guelf. φέροιεν, Paris. φέρει. Verba ἔνθα—φέροι in Eton. exciderunt.

θερίζειν] Cf. Cyrop. viii. 6, 22.

16. ἐμβαλεῖν] Edd. vett. Guelf. ἐμβάλλειν. Ceterum verba ἄγοι—ἀκούειν de Carduchis hinc excerpsit Stephanus Byz. in v. Καρδοῦχοι.

ὁπότε μέντοι] Aldina μέντι. Sequens τὸν ἐν τῷ πεδίῳ Brodæus in τῶν mutabat, quod sequentia σφῶν et ἐκείνων suadere videbantur. Sed Persa loquitur, qui suos in campo sub satrapa degentes σφᾶς, montanos Carduchos ἐκείνους dicit.

ἐπιμίγνυσθαι] Margo Steph. Paris. Eton. ἐπιμιγνύναι habent; male. Cf. Thucyd. iv. 118. Deinceps Paris. ἐφ' ᾧ τε πρὸς ἐκείνους καὶ ἐκεῖνον πρὸς ἑαυτούς. Copulam καὶ ante verbum ἐπιμίγνυσθαι deleri voluit Muretus.

17. Ἀκούσαντες δὲ] Omissum hic δὲ post οὐδὲν reponit Eton. liber. Deinceps ὅπη habet Guelf. Postea ἐμβαλεῖν Paris.

διελθόντας] Vulgatum διελθόντες ex Paris. correxit Zeune; idem tamen liber statim vitiosum ἄπορον habet.

ῥεύεσθαι. Ἐπὶ τούτοις ἐθύσαντο, ὅπως, ὁπηνίκα καὶ 18
δοκοίη τῆς ὥρας, τὴν πορείαν ποιοῖντο· (τὴν γὰρ ὑπερβο-
λὴν τῶν ὀρέων ἐδεδοίκεσαν, μὴ προκαταληφθείη) καὶ
παρήγγειλαν, ἐπειδὴ δειπνήσειαν, συνεσκευασμένους πάν-
τας ἀναπαύεσθαι, καὶ ἕπεσθαι, ἡνίκ' ἄν τις παραγ-
γείλῃ.

18. Ἐπὶ τούτοις] Suidas in ὁπηνίκα posuit ex h. l. οἱ δέ. deinceps Paris. θύσαιντο habet.

ὁπηνίκα] Paris. ὁπηνίκα καὶ, quod probo. ἡνίκα καὶ Eton. unde καὶ addidi.

ὀρέων] Vulgatum ὀρῶν ex Paris. correxit Zeune; sed statim vulgatum ἐδεδοίκεισαν intactum reliquit, quod cum Porsono ex libro Paris. correxi. Alteram enim formam antiquis prorsus ignotam fuisse censet, et docet Fischer ad Wellerum ii. p. 373.

προκαταληφθείη] Vulgatum καταληφθείη ex margine Steph. Paris. Eton. correxit Weiske.

συνεσκευασμένους] Edd. vett. Guelf. συσκευασμένους habent.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ Δ΄.

CAPUT I.

ΟΣΑ μὲν δὴ ἐν τῇ ἀναβάσει ἐγένετο μέχρι τῆς μάχης,
καὶ ὅσα μετὰ τὴν μάχην ἐν ταῖς σπονδαῖς, ἃς βασιλεὺς
καὶ οἱ σὺν Κύρῳ ἀναβάντες Ἕλληνες ἐσπείσαντο, καὶ
ὅσα, παραβάντος τὰς σπονδὰς βασιλέως καὶ Τισσα-
φέρνους, ἐπολεμήθη πρὸς τοὺς Ἕλληνας, ἐπακολουθοῦν-
τος τοῦ Περσῶν στρατεύματος, ἐν τῷ πρόσθεν λόγῳ δεδή-
λωται. Ἐπεὶ δὲ ἀφίκοντο, ἔνθα ὁ μὲν Τίγρης ποταμὸς 2
παντάπασιν ἄπορος ἦν διὰ τὸ βάθος καὶ μέγεθος, πάρ-
οδος δ᾽ οὐκ ἦν, ἀλλὰ τὰ Καρδούχια ὄρη ἀπότομα ὑπὲρ

1. ἐσπείσαντο] Brodæi liber, margo Steph. Cod. Paris. et Eton. ἐποιήσαντο dant.

ἐπολεμήθη] Margo Steph. cum libro Paris. et Eton. ἐπολέμησε habet, et deinceps τοῦ Περσικοῦ.

2. Ἐπεὶ δὲ] Hæc usque ad verba καταλαβεῖν τὰ ἄκρα sect. 4. omissa sunt in libro Paris. Eton. et Regio B. et C. eaque commode abesse posse censebat Zeune, quoniam non nisi frigidam contineant repetitionem eorum, quæ superiore capite fuerint exposita. Igitur tanquam suspecta seclusit. Miror Weiskium, qui plane eliminavit hæc ex texto et in annotationes relegavit. Quid enim? Verba πάροδος οὐκ ἦν, ἀλλὰ τὰ Κ. ὄρη ἀπότομα ὑπὲρ αὐτοῦ τ. π. ἐκρέματο nonne novam notitiam locorum habent, unde ratio itineris instituti a Græcis cognoscitur? Deinde narratio de fontibus Tigridis et Euphratis nonne eodem tendit antea non posita? Postea verba ipsa omnia loqui mihi videntur auctorem Xenophontem, non grammaticum aliquem ex superioribus jam narrata repetentem. Quare Xenophonti suum restitui, in quo assentientem habeo germanicum interpretem *Halbkart*.

Τίγρης] Juntina cum Guelf. hic et deinceps Πίγρης dat.

τὰ Καρδούχια] Strabonis locum

αὐτοῦ τοῦ ποταμοῦ ἐκρέματο, ἐδόκει δὴ τοῖς στρατηγοῖς,
3 διὰ τῶν ὀρέων πορευτέον εἶναι. Ἤκουον γὰρ τῶν ἁλι-
σκομένων, ὅτι, εἰ διέλθοιεν τὰ Καρδούχια ὄρη, ἐν τῇ
Ἀρμενίᾳ τὰς πηγὰς τοῦ Τίγρητος ποταμοῦ, ἢν μὲν βού-
λωνται, διαβήσονται· ἢν δὲ μὴ βούλωνται, περιΐασι.
Καὶ τοῦ Εὐφράτου δὲ τὰς πηγὰς ἐλέγετο οὐ πρόσω τοῦ
4 Τίγρητος εἶναι· καὶ ἔστιν οὗ τὸ στενόν. Τὴν δ' εἰς τοὺς
Καρδούχους ἐμβολὴν ὧδε ποιοῦνται, ἅμα μὲν λαθεῖν
πειρώμενοι, ἅμα δὲ φθάσαι, πρὶν τοὺς πολεμίους κατα-
5 λαβεῖν τὰ ἄκρα. Ἡνίκα δ' ἦν ἀμφὶ τὴν τελευταίαν
φυλακὴν, καὶ ἐλείπετο τῆς νυκτὸς ὅσον σκοταίους διελ-
θεῖν τὸ πεδίον, τηνικαῦτα ἀναστάντες ἀπὸ παραγγέλ-
σεως πορευόμενοι ἀφικνοῦνται ἅμα τῇ ἡμέρᾳ πρὸς τὸ
6 ὄρος. Ἔνθα δὴ Χειρίσοφος μὲν ἡγεῖτο τοῦ στρατεύμα-
τος, λαβὼν τὸ ἀμφ' αὐτὸν καὶ τοὺς γυμνῆτας πάντας·
Ξενοφῶν δὲ σὺν τοῖς ὀπισθοφύλαξιν ὁπλίταις εἵπετο, οὐ-

xvi. p. 1083. πρὸς δὲ τῷ Τίγρει τὰ τῶν Παρθυαίων χωρία, οὓς οἱ πάλαι Καρδούχους ἔλεγον, correxit Wesseling ad Diodori xiv. 27. ex ipso Strabone, ubi ait Tigrin Gordyæam radere, et Plinio vi. 15. qui *lustrare montes Gordyæorum* ait. Idem Plinius l. c. *Adiabenis connectuntur Carduchi quondam dicti, nunc Cordueni, præfluente Tigri.* Plura dabit desideranti Mannert Geogr. v. p. 224.

ἐδόκει δὴ] Ita cum Castal. vulgatum δὲ correxit Zeune. Stephanus, quem sequitur Weiske, utrumque omisit.

τοῖς στρατηγοῖς] Recte vulgatum στρατιώταις cum vetere versione gallica correxit Hutchinson, præeunte Leonclavio.

3. περιΐασι] Est pro futuro περιελεύσονται. Brodæus negationem inserendam censuit, nescio qua de causa.

Εὐφράτου δὲ] Vulgatum τε cum Castal. correxit Zeune. De fontibus Tigridis est infra cap. 4, 3. Euphratis cap. 5, 2.

οὗ τὸ στενόν] Vulgatum οὕτω στενὸν ita correxit Stephanus probante Hutchinsono. Leoncl. ὅπου τι στενὸν malebat. Abreschii in Dilucidat. Thucyd. p. 640. conjecturam καὶ ἔστιν οὕτως ἔχον recepit cum Zeunio Weiske, præeunte Larchero. Mihi vulgata nihil vitii habere videbatur, nisi quod τὸ στενὸν dicitur singulari numero, cum infra cap. 4. sect. 18. sit de eo loco ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους ἐν τοῖς στενοῖς, et cap. 5. τὰ στενὰ iterum dicantur, sed paulo post τὸ ἄκρον, quo superato juxta Euphraten proficiscebantur Græci, eumque demum transgrediebantur, ubi non procul esse ejus fontes dicebantur. στενὸν χωρίον est cap. 2, 24. Ad ἔστιν intellige ἡ πηγὴ, nisi pro εἰσὶν dictum malueris.

5. ἀπὸ παραγγέλσεως] Imperio per manus tradito, ergo tacite. Ita ad h. l. Weiske et ante eum Budæus. Idem est παρεγγυᾷν. Cf. nostri Hipparchicum iv. 3. et 9. et ii. 6. et 7. iv. 9.

δένα ἔχων γυμνῆτα· οὐδεὶς γὰρ ἐδόκει κίνδυνος εἶναι, μή
τις ἄνω πορευομένων ἐκ τοῦ ὄπισθεν ἐπίσποιτο. Καὶ 7
ἐπὶ μὲν τὸ ἄκρον ἀναβαίνει Χειρίσοφος, πρίν τινα αἰσθέ-
σθαι τῶν πολεμίων· ἔπειτα δὲ ὑφηγεῖτο· ἐφείπετο δὲ
ἀεὶ τὸ ὑπερβάλλον τοῦ στρατεύματος εἰς τὰς κώμας τὰς
ἐν τοῖς ἄγκεσί τε καὶ μυχοῖς τῶν ὀρέων.

Ἔνθα δὴ οἱ μὲν Καρδοῦχοι, ἐκλιπόντες τὰς οἰκίας, 8
ἔχοντες καὶ γυναῖκας, καὶ παῖδας, ἔφευγον ἐπὶ τὰ ὄρη·
τὰ δ' ἐπιτήδεια πολλὰ ἦν λαμβάνειν· ἦσαν δὲ καὶ χαλ-
κώμασι παμπόλλοις κατεσκευασμέναι αἱ οἰκίαι, ὧν
οὐδὲν ἔφερον οἱ Ἕλληνες· οὐδὲ τοὺς ἀνθρώπους ἐδίωκον,
ὑποφειδόμενοι, εἴ πως ἐθελήσειαν οἱ Καρδοῦχοι διϊέναι
αὐτοὺς ὡς διὰ φιλίας τῆς χώρας, ἐπείπερ βασιλεῖ πο-
λέμιοι ἦσαν. Τὰ μέντοι ἐπιτήδεια, ὅτῳ τις ἐπιτυγχά- 9
νοι, ἐλάμβανον· ἀνάγκη γὰρ ἦν. Οἱ δὲ Καρδοῦχοι οὔτε

6. *γυμνῆτα*] Margo Steph. cum libro Paris. et Eton. *γυμνήτην* dant, quod recte cum Zeunio sprevit Weiske; iidem tamen paulo antea *γυμνήτας* dederunt, ut supra i. 2, 3. et *γυμνητῶν* iii. 4, 26. At *γυμνῆτας* sine varietate est v. 2. 12. contra *γυμνητῶν* editur vi. 3, 15. Cf. infra iv. 6, 17, et 20. In Hellenicis ii. 4, 25. est *γυμνῆτες*. In Cyrop. vii. 5, 5. *οἱ γυμνῆται* sunt in libro Bodleiano et Guelf. rectius *γυμνῆτες*. Diodorus *γυμνῆτα βίον* habet iii. 8. sed *βίοτον γυμνήτην* habet Epigramma Analectorum ii. p. 28. Suidas formam *γυμνήτης* ex hoc ipso Xenophontis loco affert, in quo copulam *καὶ* omisit et *κίνδυνος ἐδόκει εἶναι* scripsit.

7. *πρίν τινα*] MS. Paris. *τινὰς* habet, et deinde *ἐκεῖ* pro *ἀεὶ* dat cum margine Steph.

ὑφηγεῖτο] Leoncl. vertit *modice præibat*. Sed in Agesilao i. 31. *δρόμῳ ὑφηγεῖσθαι* est *præcurrere*, et in Cyrop. ii. 4, 27. *ὅπῃ ἂν τὰ θηρία ὑφηγῆται*, est simpliciter *anteire et viam quasi monstrare*.

ἀεὶ τὸ ὑπερβάλλον] Intellige *μέρος*. Inepte enim hæc interpretatur Hutchinson *τὸ ἄκρον* intelligens. Leoncl. male adverbium *ἀεὶ semper* interpretatur. Recte Zeune: *ut quæque subinde agminis pars jugum superabat.*

8. *ἔφευγον*] Male omisit verbum liber Eton.

εἴ πως ἂν ἐθελήσειαν] Ita vulgabatur, nec varietatem Codicis Eton. annotavit Zeune, ubi recte *ἂν* omittitur. Thucyd. iv. 11. *εἴ πως ὠσάμενοι ἕλοιεν τὸ τείχισμα*. Plura exempla vide apud Hoogeveen de Partic. p. 256. ed. Schütz. Statim sequitur sect. 21. *εἴ πως δυναίμην*. In Platonis Alcibiade sect. 17. *οὔκουν εἰ μὲν βουλοίμεθ' ἂν ποιῆσαί τινα περὶ αὐτῶν εἰδέναι* editur, sed recte Codex Venetus *βουλοίμεθα* scriptum habet. In libro de Vectig. vi. 2. editur: *εἰ λῷον καὶ ἄμεινον εἴη ἂν τῇ πόλει*. sed etiam ibi *ἂν* delendum censeo. In Andocide Oratore p. 20. l. 26. est: *εἰ ἀνθρωπίνως περὶ ἐμοῦ γιγνώσκοιτε ἄν, εἴητε ἄνδρες εὐδαιμονέστεροι*. ubi *ἂν* pariter suspectum mihi est.

9. *ὅτῳ τις*] Editi libri cum Eton. *ὅτι τις*, quod monente Stephano correxerunt Welsius et Hutchinson.

καλούντων ὑπήκουον, οὔτε ἄλλο τι φιλικὸν οὐδὲν ἐποίουν.
10 Ὅτε δὲ οἱ τελευταῖοι τῶν Ἑλλήνων κατέβαινον εἰς τὰς κώμας ἀπὸ τοῦ ἄκρου ἤδη σκοταῖοι, (διὰ γὰρ τὸ στενὴν εἶναι τὴν ὁδὸν, ὅλην τὴν ἡμέραν ἡ ἀνάβασις αὐτοῖς ἐγένετο καὶ κατάβασις εἰς τὰς κώμας,) τότε δὴ συλλεγέντες τινὲς τῶν Καρδούχων τοῖς τελευταίοις ἐπέθεντο, καὶ ἀπέκτεινάν τινας, καὶ λίθοις καὶ τοξεύμασι κατέτρωσαν, ὀλίγοι τινὲς ὄντες· ἐξ ἀπροσδοκήτου γὰρ αὐτοῖς ἐπέ-
11 πεσε τὸ Ἑλληνικόν. Εἰ μέντοι τότε πλείους συνελέγησαν, ἐκινδύνευσεν ἂν διαφθαρῆναι πολὺ τοῦ στρατεύματος. Καὶ ταύτην μὲν τὴν νύκτα οὕτως ἐν ταῖς κώμαις ηὐλίσθησαν· οἱ δὲ Καρδοῦχοι κύκλῳ πυρὰ πολλὰ ἔκαιον ἐπὶ τῶν ὀρέων, καὶ συνεώρων ἀλλήλους.

12 Ἅμα δὲ τῇ ἡμέρᾳ συνελθοῦσι τοῖς στρατηγοῖς καὶ λοχαγοῖς τῶν Ἑλλήνων ἔδοξε, τῶν τε ὑποζυγίων τὰ ἀναγκαῖα καὶ τὰ δυνατώτατα πορεύεσθαι ἔχοντας, καταλιπόντας τὰ ἄλλα, καὶ ὁπόσα ἦν νεωστὶ αἰχμάλωτα
13 ἀνδράποδα ἐν τῇ στρατιᾷ, πάντα ἀφιέναι. Σχολαίαν γὰρ ἐποίουν τὴν πορείαν πολλὰ ὄντα τὰ ὑποζύγια καὶ τὰ αἰχμάλωτα· καὶ πολλοὶ δὴ αὐτῶν, οἱ ἐπὶ τούτοις ὄντες,

ἄλλο τι] Ex Eton. libro τι inserui.

10. Ὅτε δὲ] MS. Paris. ἐπεὶ δὲ habet.

διὰ γὰρ] Liber Eton. γὰρ omisit, et deinceps verba εἰς τὰς κώμας.

ἐπετίθεντο] Margo Steph. cum libro Paris. et Eton. ἐπέθεντο καὶ ἀπέκτειναν dant.

ὀλίγοι τινὲς] Eton. liber τινὲς omisit.

ἐπέπεσε] Weiske ἐνέπεσε malebat, cum vulgatum *invaserant* interpretaretur.

11. πολὺ τοῦ] Ex margine Steph. libris Brodæi, Paris. et Eton. vulgato πολλὰ prætulit hoc Zeune; idem sequens πολλὰ ex iisdem libris restituit.

12. ὑποζυγίων] In libro Eton. excidit vocabulum, idem deinde habet ὅσα. Postea ἀφιέναι Juntina cum Guelf. pro vulgato ἀφεῖναι dedit.

13. ἐποίουν] Ita recte MS. Paris. et Eton. Vulgatum ἐποιοῦντο inepte defendit Zeune, hoc enim est *proficiscebantur, ingrediebantur*, ἐποίουν contra est *iter exercitus impediebant et retardabant.*

πολλοὶ δὴ αὐτῶν] Mihi postremum vocabulum suspectum est; non enim habet quo referatur, et ordinem verborum turbat. Igitur scribendum censeo πολλοὶ δὴ οἱ ἐπὶ τούτοις ὄντες ἀπόμ. ἦσαν. Ceterum articulum τὰ ante ἐπιτήδεια omittit Eton.

ἀπόμαχοι ἦσαν· διπλάσιά τε τὰ ἐπιτήδεια ἔδει πορίζε-
σθαι καὶ φέρεσθαι, πολλῶν τῶν ἀνθρώπων ὄντων.
Δόξαν δὲ ταῦτα, ἐκήρυξαν οὕτω ποιεῖν.

Ἐπειδὴ δὲ ἀριστήσαντες ἐπορεύοντο, ὑποστάντες ἐν 14
στενῷ οἱ στρατηγοὶ, εἴ τι εὑρίσκοιεν τῶν εἰρημένων μὴ
ἀφιέμενον, ἀφῃροῦντο· οἱ δ' ἐπείθοντο, πλὴν εἴ τίς τι
ἔκλεψεν, οἷον ἢ παιδὸς ἐπιθυμήσας ἢ γυναικὸς τῶν εὐ-
πρεπῶν. Καὶ ταύτην μὲν τὴν ἡμέραν οὕτως ἐπορεύθη-
σαν, τὰ μέν τι μαχόμενοι, τὰ δὲ καὶ ἀναπαυόμενοι.
Εἰς δὲ τὴν ὑστεραίαν χειμὼν γίνεται πολὺς, ἀναγκαῖον 15
δ' ἦν πορεύεσθαι· οὐ γὰρ ἦν ἱκανὰ τὰ ἐπιτήδεια. Καὶ
ἡγεῖτο μὲν Χειρίσοφος, ὠπισθοφυλάκει δὲ Ξενοφῶν.
Καὶ οἱ πολέμιοι ἰσχυρῶς ἐπετίθεντο, καὶ, στενῶν ὄντων 16
τῶν χωρίων, ἐγγὺς προσιόντες ἐτόξευον καὶ ἐσφενδόνων·
ὥστε ἠναγκάζοντο οἱ Ἕλληνες ἐπιδιώκοντες καὶ πάλιν
ἀναχάζοντες σχολῇ πορεύεσθαι· καὶ θαμινὰ παρήγγει-
λεν ὁ Ξενοφῶν ὑπομένειν, ὅτε οἱ πολέμιοι ἰσχυρῶς ἐπι-
κέοιντο. Ἔνθα ὁ Χειρίσοφος ἄλλοτε μὲν, ὅτε παρεγ- 17
γυῷτο, ὑπέμενε, τότε δὲ οὐχ ὑπέμενεν, ἀλλ' ἦγε ταχέως,
καὶ παρηγγύα ἕπεσθαι· ὥστε δῆλον ἦν, ὅτι πρᾶγμά τι
εἴη· σχολὴ δὲ οὐκ ἦν ἰδεῖν παρελθόντι τὸ αἴτιον τῆς
σπουδῆς· ὥστε ἡ πορεία ὁμοία φυγῆς ἐγίνετο τοῖς ὀπι-
σθοφύλαξι. Καὶ ἐνταῦθα ἀποθνήσκει ἀνὴρ ἀγαθὸς 18
Λακωνικὸς Κλεώνυμος, τοξευθεὶς διὰ τῆς ἀσπίδος καὶ

δόξαν δὲ ταῦτα] Platonis locum in Protagora p. 95. ed. Bip. δόξαν ἡμῖν ταῦτα, ἐπορευόμεθα comparavit Hutchinson. Male igitur margo Steph. δόξαντα habet.

14. Ἐπειδὴ δὲ] Eton. liber ἐπεὶ δὲ habet, deinde ἐπιστήσαντες, Paris. ὑποστήσαντες.

εἴ τι εὑρίσκοιεν] Hoc vulgato ἐπεὶ εὑρ. ex margine Steph. libro Brodæi, Paris. et Eton. substituit Welsius et Hutchinson.

ἐπείθοντο] Aldina ἐπίθοντο. Sequens οἷον ante ἢ ex libro Paris. et Eton. inserui.

τὰ μέν τι] Castalio τὰ μέντοι edidit. Deinde τὰ δὲ ἀναπ. Guelf.

16. καὶ πάλιν] Eton. πάλιν omittit. Deinde Paris. θαμεινὰ et ἐπιχέοιντο dat.

17. Ἔνθα] Eton. ἐνταῦθα dat.

18. Κλεώνυμος] Paris. Cod. Λεώνυμος, margo Villois. ἀλευώνυμος dat.

τῆς στολάδος εἰς τὰς πλευρὰς, καὶ Βασίας Ἀρκὰς,
19 διαμπερὲς εἰς τὴν κεφαλήν. Ἐπεὶ δὲ ἀφίκοντο ἐπὶ
σταθμὸν, εὐθὺς ὥσπερ εἶχεν ὁ Ξενοφῶν ἐλθὼν πρὸς τὸν
Χειρίσοφον, ᾐτιᾶτο αὐτὸν, ὅτι οὐχ ὑπέμεινεν, ἀλλ' ἠναγ-
κάζοντο φεύγοντες ἅμα μάχεσθαι. Καὶ νῦν δύο καλώ
τε κἀγαθὼ ἄνδρε τεθνάτην, καὶ οὔτε ἀνελέσθαι, οὔτε
20 θάψαι αὐτὼ ἐδυνάμεθα. Ἀποκρίνεται πρὸς ταῦτα ὁ
Χειρίσοφος· Βλέψον, ἔφη, εἰς τὰ ὄρη, καὶ ἴδε, ὡς ἄβατα
πάντα ἐστί. Μία δὲ αὕτη ὁδὸς, ἣν ὁρᾷς, ὀρθία· καὶ
ἐπὶ ταύτῃ ὁρᾷν ἀνθρώπων ἔξεστί σοι ὄχλον τοσοῦτον, οἳ
21 κατειληφότες φυλάττουσι τὴν ἔκβασιν. Ταῦτα ἐγὼ
ἔσπευδον, καὶ διὰ τοῦτό σε οὐχ ὑπέμενον, εἴ πως δυναί-
μην φθάσαι, πρὶν κατειλῆφθαι τὴν ὑπερβολήν· οἱ δὲ
22 ἡγεμόνες, οὓς ἔχομεν, οὔ φασιν εἶναι ἄλλην ὁδόν. Ὁ δὲ
Ξενοφῶν λέγει· Ἀλλ' ἐγὼ ἔχω δύο ἄνδρας. Ἐπεὶ γὰρ
ἡμῖν πράγματα παρεῖχον, ἐνηδρεύσαμεν, (ὅπερ ἡμᾶς καὶ
ἀναπνεῦσαι ἐποίησε,) καὶ ἀπεκτείναμεν τινὰς αὐτῶν, καὶ
ζῶντας προυθυμήθημεν λαβεῖν, αὐτοῦ τούτου ἕνεκεν,
ὅπως ἡγεμόσιν εἰδόσι τὴν χώραν χρησαίμεθα.

στολάδος] Codex Paris. πολάδος. Voluit σπολάδος dare. Cf. ad iii. 3, 20.

κεφαλὴν] Repete τοξευθείς. Eton. εἰς omisit. quem haud scio an sequar. Infra vii. 8, 14. καὶ ἐπάταξεν ἔνδοθεν βουπόρῳ τις ὀβελίσκῳ διαμπερὲς τὸν μηρὸν τοῦ ἐγγυτάτω. Arrianus Anab. iv. 4, 7. εἷς δὲ δὴ διὰ τοῦ γέῤῥου τε καὶ τοῦ θώρακος διαμπὰξ πληγεὶς πίπτει ἀπὸ τοῦ ἵππου. Idem ii. 27, 3. βάλλεται καταπέλτῃ διὰ τῆς ἀσπίδος διαμπὰξ καὶ τοῦ θώρακος ἐς τὸν ὦμον. et iv. 23, 5. ὁ γὰρ θώραξ ἔσχε τὸ μὴ οὐ διαμπὰξ διὰ τοῦ ὤμου ἐλθεῖν τὸ βέλος. Unde suspicor, vocabulum διαμπερὲς retrahendum esse et post σπολάδος inserendum.

19. ἐπεὶ—σταθμὸν] Hanc scripturam dant Steph. libri Brodæi, Paris. et Eton. vulgatæ et Guelf. ἐπειδὴ δέ ποτε ἀφικνοῦντο σπείσασθαι. Mihi ἐπὶ σταθμὸν omisso articulo τὸν insolens videtur. Post id vocabulum incisum posui, quod vulgo est post εὐθύς.

αὐτὼ] Omisit liber Eton.

20. πρὸς ταῦτα] Iterum omisit hæc liber Eton.

αὕτη] Guelf. ταύτῃ habet, et deinceps cum Edd. vett. ὀρειαία.

ἐπὶ ταύτῃ] Ita cum libro Brodæi et Paris. Zeune; vulgatum ταύτην revocavit Weiske.

22. τινὰς αὐτῶν] Vulgo insertum μὲν ante τινὰς auctore Eton. libro seclusit Zeune; in ἀποκτεῖναι μέν τινας αὐτῶν καὶ ζῶντας δέ τινας mutari locum totum maluit Weiske.

χρησαίμεθα] Vulgatum χρησώμεθα mutavi ex libro Eton. qui additum αὐτοῖς habet. Attici utebantur fu-

Καὶ εὐθὺς ἀγαγόντες τοὺς ἀνθρώπους, ἤλεγχον δια- 23
λαβόντες, εἴ τινα εἰδεῖεν ἄλλην ὁδὸν, ἢ τὴν φανεράν. Ὁ
μὲν οὖν ἕτερος οὐκ ἔφη, καὶ μάλα πολλῶν φόβων προσ-
αγομένων· ἐπειδὴ δὲ οὐδὲν ὠφέλιμον ἔλεγεν, ὁρῶντος τοῦ
ἑτέρου κατεσφάγη. Ὁ δὲ λοιπὸς ἔλεξεν, ὅτι οὗτος μὲν 24
διὰ ταῦτα οὐ φαίη εἰδέναι, ὅτι αὐτῷ τυγχάνει θυγάτηρ
ἐκεῖ παρ' ἀνδρὶ ἐκδεδομένη· αὐτὸς δ' ἔφη ἡγήσεσθαι
δυνατὴν καὶ ὑποζυγίοις πορεύεσθαι ὁδόν. Ἐρωτώμενος 25
δ', εἰ εἴη τι ἐν αὐτῇ δυσπάριτον χωρίον, ἔφη, εἶναι ἄκρον,
ὃ εἰ μή τις προκαταλήψοιτο, ἀδύνατον ἔσεσθαι παρελ-
θεῖν. Ἐνταῦθα ἐδόκει, συγκαλέσαντας λοχαγοὺς καὶ 26
πελταστὰς καὶ τῶν ὁπλιτῶν, λέγειν τε τὰ παρόντα, καὶ
ἐρωτᾷν, εἴ τις αὐτῶν ἐστιν, ὅστις ἀνὴρ ἀγαθὸς ἐθέλοι γε-
νέσθαι, καὶ ὑποστὰς ἐθελοντὴς πορεύεσθαι. Ὑφίσταν- 27
ται τῶν μὲν ὁπλιτῶν Ἀριστώνυμος Μεθυδριεὺς Ἀρκὰς,
καὶ Ἀγασίας Στυμφάλιος Ἀρκάς. Ἀντεστασίαζεν δὲ

turi indicativo, ubi futurum tempus copulabant cum ὅπως.

23. ἀγαγόντες] Liber Eton. ἂν ἀγαγόντες, unde ἀναγαγόντες efficiebat Zeune.

ἐπειδὴ δὲ] Eton. ἐπεὶ δὲ habet.

24. ὅτι οὗτος] Eton. ὅτι omisit. Deinde ἐτύγχανε dat Paris. liber.

ἡγήσεσθαι] Castalio cum Suida in voc. δυνατὴν habet ἡγήσασθαι. Ceterum idem Suidas sequens καὶ omisit; δυνατὸν dant Edd. vett.

25. δυσπάριτον] Hoc Suidas cum Etymol. M. dat pro vulgato δύσβατον. In libro Eton. est δυσπόριστον, quod ex glossa ortum videtur. Suidas enim nostrum interpretatur δυσπόρευτον. Mecum sentit Porson.

ἔφη, εἶναι—ὃ εἰ] Edd. vett. cum Guelf. ἔφησε καὶ ἄκρον, καὶ εἰ μή τις αὐτὸ καταλήψοιτο. Juntina tamen αὐτῷ habet. Postea δυνατὸν dat Codex Paris. Deinde εἶναι pro ἔσεσθαι dant Edd. vett. cum Guelf.

26. συγκαλέσαντας] Paris. Codex συγκαλέσασθαι dat. Sequentia male vulgo interpretantur ita, ut ad τῶν ὁπλιτῶν intelligant τινάς. Contra Weiske monuit, λοχαγοὺς πελταστὰς dici pro λ. τῶν πελταστῶν, quod vidit etiam Gallicus interpres Ablancourt.

ἐρωτᾷν] Suidas in ἐθελοντὴς ex h. l. habet διερωτᾷν, cum Edd. vett. Guelf. et Eton. αὐτῶν omittit, et dat ἐθέλει ἂν γενέσθαι ὑποστάς. Sed αὐτῶν est in Steph. libro Brodæi et Paris.

27. Ὑφίστανται] Ex Suida in voc. ὑποστὰς Zeune δὲ inseruit. Eton. liber ὑφίσταται habet, et nomen Aristonymi omittit. Μεθυδρεὺς male scriptum est in Cod. Paris.

ἀντεστασίαζεν δὲ αὐτοὶς] Vulgo legebatur: ἀντεστασίαζον δὲ ἑαυτοῖς Κ. Π. Ἀρ. καὶ Ἀγασίας Στυμφάλιος Ἀρκάς· καὶ οὗτος. Sed margo Steph. cum Codice Paris. et Eton. dant ἀντιστασιάζων δὲ αὐτοῖς (ἑαυτοῖς Eton.) Καλλ. Π. Ἀρ. καὶ οὗτος ἔφη omissis reliquis, quam ipsam scripturam prætulit Muretus. Equidem vulgatum pluralem numerum in singularem mutavi, in ceteris auctoritatem Codicum secutus. Non est de rixa

αὐτοῖς Καλλίμαχος Παῤῥάσιος Ἀρκὰς, καὶ οὗτος ἔφη ἐθέλειν πορεύεσθαι, προσλαβὼν ἐθελοντὰς ἐκ παντὸς τοῦ στρατεύματος· εὖ γὰρ οἶδα, ἔφη, ὅτι ἕψονται πολλοὶ
28 τῶν νέων ἐμοῦ ἡγουμένου. Ἐκ τούτου ἐρωτῶσιν, εἴ τις καὶ τῶν γυμνήτων ἢ ταξιαρχῶν ἐθέλοι συμπορεύεσθαι. Ὑφίσταται Ἀριστέας Χῖος, ὃς πολλαχοῦ πολλοῦ ἄξιος τῇ στρατιᾷ εἰς τὰ τοιαῦτα ἐγένετο.

CAP. II.

ΚΑΙ ἦν μὲν δείλη ἤδη, οἱ δ' ἐκέλευον αὐτοὺς ἐμφαγόντας πορεύεσθαι· καὶ τὸν ἡγεμόνα δήσαντες παραδιδόασιν αὐτοῖς· καὶ συντίθενται, τὴν μὲν νύκτα, ἢν λάβωσι τὸ ἄκρον, τὸ χωρίον φυλάττειν· ἅμα δὲ τῇ ἡμέρᾳ τῇ σάλπιγγι σημαίνειν· καὶ τοὺς μὲν ἄνω ὄντας ἰέναι ἐπὶ τοὺς κατέχοντας τὴν φανερὰν ἔκβασιν· αὐτοὶ δὲ συμβοηθήσειν ἐκβαίνοντες ὡς ἂν δύνωνται τάχιστα.

et contentione de illa re oborta sermo, ut putabat Zeune, vulgatam scripturam inepte defendens, sed de studio et æmulatione virtutis, quod inter Callimachum, Aristonymum et Agasiam, patria etiam diversos, obtinebat, quodque non solum hic ostendunt, sed etiam infra iv. 7, 9, et 10. Rem declarat locus vi. 2, 11. ἦσαν γὰρ οἱ λοχαγοὶ πλησίον ἀλλήλων, οἳ πάντα τὸν χρόνον ἀλλήλοις περὶ ἀνδραγαθίας ἀντεποιοῦντο. Deinde sect. 15. Agasias Stymphalius cum Philoxeno Pellenensi nominatur. Verba προσλαβὼν—στρατεύματος Suidas in voc. ἐθελοντὴς excerpsit.

οἶδα, ἔφη] Cod. Paris. ἔφη, οἶδα. Eton. ἐγὼ γὰρ, ἔφη, οἶδα.

28. γυμνήτων ἢ ταξιαρχῶν] Vulgatam hanc scripturam ex libro Paris. correxi deleta particula ἢ. sed in Codice est γυμνιτῶν scriptum, vulgo autem γυμνητῶν. Pro Aristea Edd. vett. cum libro Eton. et Guelf. nominant Ἀρίσταρχον. Scripturam Stephani firmat Codex Paris. et narratio infra cap. 6, 20. ubi est: ἐὰν μή τινες ἐθελούσιοι φαίνωνται. Ἐκ τούτου Ἀριστώνυμος Μεθυδριεὺς ἔρχεται (ἐθελούσιος nempe) ὁπλίτας ἔχων, καὶ Ἀριστέας Χῖος γυμνῆτας, καὶ Νικόμαχος Οἰταῖος γυμνῆτας. Non opus est igitur Weiskii ἢ τοξοτῶν. Mecum sentire video Halbkartum.

εἰς τὰ τοιαῦτα] Hoc pro vulgato εἰς ταῦτα ex Cod. Paris adscivi.

1. δείλη ἤδη, οἱ δ' ἐκέλευον] Vulgatam scripturam δείλη, ἤδη δ' ἐκέλευον ex Etonensi et Paris. ubi est οἱ δ' ἐκέλευον, ita corrigendum esse conjecerat Hutchinson.

συντίθενται] Edd. vett. cum Guelf. συντίθεται.

συμβοηθήσειν] Mureti hanc conjecturam post Hutchinsonum receperunt Zeune et Weiske in locum vulgati αὐτοὶ συμβουληθεῖσιν ἐκβαίνοντες, quod est etiam in Codd. Guelf. et Eton. nisi quod βαίνοντες habet Eton. αὐτοὶ δὲ συμβουλῆς ἕνεκεν βαίνοντες est in margine Steph. et Cod. Paris. quod ipsum, mutato βαίνοντες in ἐκβαίνοντες, edidit Welsius. Leonclavius geminam conjecturam propo-

Ταῦτα συνθέμενοι, οἱ μὲν ἐπορεύοντο, πλῆθος ὡς δισχί- 2
λιοι· (καὶ ὕδωρ πολὺ ἦν ἐξ οὐρανοῦ) Ξενοφῶν δὲ, ἔχων
τοὺς ὀπισθοφύλακας, ἡγεῖτο πρὸς τὴν φανερὰν ἔκβασιν,
ὅπως ταύτῃ τῇ ὁδῷ οἱ πολέμιοι προσέχοιεν τὸν νοῦν, καὶ
ὡς μάλιστα λάθοιεν οἱ περιϊόντες. Ἐπεὶ δὲ ἦσαν ἐπὶ 3
χαράδραν οἱ ὀπισθοφύλακες, ἣν ἔδει διαβάντας πρὸς τὸ
ὄρθιον ἐκβαίνειν, τηνικαῦτα ἐκυλίνδουν οἱ βάρβαροι ὁλοι-
τρόχους ἁμαξιαίους, καὶ μείζους καὶ ἐλάττους λίθους,
οἱ φερόμενοι πταίοντες πρὸς τὰς πέτρας διεσφενδονῶντο·
καὶ παντάπασιν οὐδὲ πελάσαι οἷόν τ' ἦν τῇ ὁδῷ. Ἔνιοι 4
δὲ τῶν λοχαγῶν, εἰ μὴ ταύτῃ δύναιντο, ἄλλῃ ἐπειρῶντο·
καὶ ταῦτα ἐποίουν, μέχρι σκότος ἐγένετο. Ἐπεὶ δὲ ᾤοντο
ἀφανεῖς εἶναι ἀπιόντες, τότε ἀπῆλθον ἐπὶ τὸ δεῖπνον·
ἐτύγχανον δὲ καὶ ἀνάριστοι ὄντες αὐτῶν οἱ ὀπισθοφυλα-
κήσαντες. Οἱ μέντοι πολέμιοι, φοβούμενοι δηλονότι,

suit: *αὐτοὶ δὲ συμβληθεῖεν ἐκβαίνοντες*; alteram: *αὐτοὶ δὲ συμβολῆς ἕνεκεν ἴοιεν ἐκβαίνοντες.* interpretatus hanc: *ipsi ad conjungendum se pergerent adscendendo.* Vetustam versionem Gallicam laudat Stephanus, ubi est: *et les autres, qui alloient en bas, cependant monteroient par les vallées.* Mureti correctionem adjuvat similis locus infra sect. 26. *Ξενοφῶν ὄπισθεν ἐκβαίνων πρὸς τὰ ὄρη ἔλυε τὴν ἀπόφραξιν —Χειρίσοφος ἐκβαίνων—καὶ ἀεὶ οὕτως ἐβοήθουν ἀλλήλοις.* Sed in eo peccavit Muretus eumque secuti Hutchinson, Zeune et Weiske, quod solœcum *αὐτοὺς—ἐκβαίνοντας* induxerunt contra librorum scriptorum auctoritatem.

2. *συνθέμενοι*] Edd. vett. cum Eton. *συμβαίνοντες· οἱ μὲν οὖν.* Leonclavii scripturam habet Cod. Paris. et margo Steph. item vetus versio Gallica et in margine Villois. liber 2. probavit eandem Muretus.

οἱ περιϊόντες] Ita cum libro Brodæi scripsi pro vulgato *παριόντες*. Paris. *περιϊδόντες* dat. Ita sect. 5. est: *οἱ δ' ἔχοντες τὸν ἡγεμόνα κυκλῷ περιϊόντες καταλαμβάνουσι τοὺς φύλακας.*

3. *χαράδραν οἱ*] Cod. Paris. *ἐπιχαραδραῖοι ὀπ.* dat. Sequens *ὁλοιτρόχους* ex Suida adscivi in locum vulgati *ὁλοτρόχους*. In libro Paris. est *ὁλοιτρόχους* testante etiam Valckenario ad Herodotum p. 420. Præterea Suidas *λίθους ὁλοιτ.* dat, et sequens *λίθους* liber Eton. cum Paris. omittit. De vocabulo *ὁλοίτροχος* dictum in Lexico Gr. et ad Orphica Argon. v. 957.

πταίοντες] Miror vulgatum *παίοντες* tam diu tolerasse Interpretes et Editores, quod ab hoc loco abhorret.

τῇ ὁδῷ] Scripturam Eton. libri repertam in Paris. *εἰσόδῳ* probavit Stephanus.

4. *ἀπιόντες*] Edd. vett. cum Guelf. *ἀπιόντας* habent.

φοβούμενοι δηλονότι] Hæc verba ex libro Paris. et Eton. inserui, quæ ex interpolatione orta censebat Zeune: deinceps vulgatum *οὐδ' ἀνεπαύσαντο* correxi ex Paris. *οὐδὲν ἐπαύσαντο* est in Eton. Cum participio copulatum *ἀναπαύεσθαι* nuspiam reperies, ubique vero simplex verbum. Sequens *δι'* ex Paris. inserui.

οὐδ' ἐπαύσαντο δι' ὅλης τῆς νυκτὸς κυλινδοῦντες τοὺς λί-
5 θους· τεκμήρασθαι δ' ἦν τῷ ψόφῳ. Οἱ δὲ ἔχοντες τὸν ἡγεμόνα, κύκλῳ περιϊόντες, καταλαμβάνουσι τοὺς φύλακας ἀμφὶ πῦρ καθημένους· καὶ τοὺς μὲν ἀποκτείναντες τοὺς δὲ καταδιώξαντες αὐτοὶ ἐνταῦθα ἔμενον, ὡς
6 κατέχοντες τὸ ἄκρον. Οἱ δ' οὐ κατεῖχον, ἀλλὰ μαστὸς ἦν ὑπὲρ αὐτῶν, παρ' ὃν ἦν ἡ στενὴ αὕτη ὁδὸς, ἐφ' ᾗ ἐκάθηντο οἱ φύλακες. Ἔφοδος μέντοι αὐτόθεν ἐπὶ τοὺς πολεμίους ἦν, οἳ ἐπὶ τῇ φανερᾷ ὁδῷ ἐκάθηντο.

7 Καὶ τὴν μὲν νύκτα ἐνταῦθα διήγαγον. Ἐπεὶ δὲ ἡμέρα ὑπέφαινεν, ἐπορεύοντο σιγῇ συντεταγμένοι ἐπὶ τοὺς πολεμίους· καὶ γὰρ ὁμίχλη ἐγένετο· ὥστε ἔλαθον ἐγγὺς προσελθόντες. Ἐπεὶ δὲ εἶδον ἀλλήλους, ἥ τε σάλπιγξ ἐφθέγξατο, καὶ ἀλαλάξαντες οἱ Ἕλληνες ἵεντο εἰς τοὺς ἀνθρώπους· οἱ δ' οὐκ ἐδέξαντο, ἀλλὰ καταλιπόντες τὴν ὁδὸν, φεύγοντες ὀλίγοι ἀπέθνησκον· εὔζωνοι γὰρ
8 ἦσαν. Οἱ δ' ἀμφὶ Χειρίσοφον, ἀκούσαντες τῆς σάλπιγγος, εὐθὺς ἵεντο ἄνω κατὰ τὴν φανερὰν ὁδόν· ἄλλοι δὲ τῶν στρατηγῶν κατὰ ἀτριβεῖς ὁδοὺς ἐπορεύοντο, ᾗ ἔτυχον ἕκαστοι ὄντες, καὶ ἀναβάντες ὡς ἐδύναντο, ἀνίμων
9 ἀλλήλους τοῖς δόρασι. Καὶ οὗτοι πρῶτοι συνέμιξαν τοῖς προκαταλαβοῦσι τὸ χωρίον. Ξενοφῶν δὲ, ἔχων τῶν ὀπισθοφυλάκων τοὺς ἡμίσεις, ἐπορεύετο, ᾗπερ οἱ τὸν ἡγεμόνα ἔχοντες· (εὐοδωτάτη γὰρ ἦν τοῖς ὑποζυγίοις) τοὺς δ'

5. κύκλῳ περιϊόντες] Vulgo anteposita verba καὶ τὰ cum Codice Paris. et Eton. omisi. Cf. sect. 2.

ἀποκτείναντες] Cod. Paris. Eton. et Suidas in κατακαίνειν habent κατακαίνοντες, sed tempus aliud sequens καταδιώξαντες postulare videtur.

6. αὕτη] Suidas in v. μαστὸς omisit.

7. ὑπέφαινεν] Eton. liber ἐτύγχανε dat, deinde ἐπεφθέγξατο; postea verba οἱ Ἕλληνες omittit. Rectius vero ἐπὶ τοὺς ἀνθρώπους habere videtur idem liber.

καταλιπόντες] Guelf. λιπόντες habet.

8. ἀναβάντες] Edd. vett. cum Guelf. ἐκβάντες habent. Deinde ἀνείμων Suidas cum libro Paris.

9. καὶ οὗτοι πρῶτοι] Vulgatum οὗτοι μόνοι πρῶτοι ex libro Eton. et versione Amasæi correxit Hutchinson. οὕτω μὲν οἱ πρῶτοι malebat Porson.

ἡμίσεις ὄπισθεν τῶν ὑποζυγίων ἔταξε. Πορευόμενοι δ' 10
ἐντυγχάνουσι λόφῳ ὑπὲρ τῆς ὁδοῦ, κατειλημμένῳ ὑπὸ τῶν πολεμίων, οὓς ἢ ἀποκόψαι ἦν ἀνάγκη, ἢ διεζεῦχθαι ἀπὸ τῶν ἄλλων Ἑλλήνων. Καὶ αὐτοὶ μὲν ἂν ἐπορεύθησαν, ᾗπερ οἱ ἄλλοι· τὰ δ' ὑποζύγια οὐκ ἦν ἄλλῃ ἢ
ταύτῃ ἐκβῆναι. Ἔνθα δὴ παρακελευσάμενοι ἀλλήλοις, 11
προσβάλλουσι πρὸς τὸν λόφον ὀρθίοις τοῖς λόχοις, οὐ κύκλῳ, ἀλλὰ καταλιπόντες ἄφοδον τοῖς πολεμίοις, εἰ
βούλοιντο φεύγειν. Καὶ τέως μὲν αὐτοὺς ἀναβαίνοντας, 12
ὅπῃ ἐδύναντο ἕκαστος, οἱ βάρβαροι ἐτόξευον καὶ ἔβαλλον, ἐγγὺς δ' οὐ προσίεντο, ἀλλὰ φυγῇ λείπουσι τὸ χωρίον. Καὶ τοῦτόν τε παρεληλύθεισαν οἱ Ἕλληνες, καὶ ἕτερον ὁρῶσιν ἔμπροσθεν λόφον κατεχόμενον· ἐπὶ τοῦτον αὖθις
ἐδόκει πορεύεσθαι. Ἐννοήσας δ' ὁ Ξενοφῶν, μή, εἰ 13
ἔρημον καταλείποι τὸν ἡλωκότα λόφον, καὶ πάλιν λα-

10. λόφῳ] Is erat μαστὸς sect. 6. nominatus; sed si compares sect. 14. diversus. Sequens ἦν omisit Eton. liber.

11. ὀρθίοις τοῖς λόχοις] *Ita ut lochi singuli procederent, non latam frontem facerent, kolonnenweise.* Ita Weiske. Cf. iv. 8, 10. seqq.

ἄφοδον] Leonclavii conjecturam vulgato ἄμφοδον prætulit Welsius et Hutchinson.

12. καὶ τέως μὲν] Vulgatam scripturam, quæ etiam est in Guelf. καὶ ὁρῶντες αὐτοὺς ἀναβαίνοντας, ὅπῃ — οἱ βάρβαροι οὔτε ἐτόξευον οὔτε ἔβαλλον, ἐγγὺς ὁδοῦ προσιόντας, sensum plane frigidum et a natura barbarorum abhorrentem fundere censuit Zeune et ex Codice Brodæi, Paris. et Eton. mutavit. Contra eum vim verborum non assecutum affirmat Weiske, qui verba οὔτε ἐτόξευον ad Græcos adhuc longius remotos refert, illa vero ἐγγὺς ὁδοῦ προσιόντας interpretatur *prope accedentes.* Esse enim pleonasmum, ut πανταχοῦ γῆς, *huc viciniæ* et similia. Quam sententiam ut cuiquam docto probet, vereor. Nuspiam similis pleonasmus vocabuli ὁδὸς repertus est, nec, si unquam fuisset frequentatus, commode eo poterat uti Xenophon in loco, qui ambiguus ita futurus erat. Sed male Zeune ait opponi sibi τέως et ἐγγὺς hic et infra v. 4, 16. Utrobique enim τέως cum participio copulandum est. Index Zeunianus male ibi *ab initio* interpretatur. Cum participio est in Agesilao ii. 10.

καὶ ἕτερον ὁρῶσιν] Edd. vett. cum Guelf. et Eton. καὶ ἕτερον ὁρῶντες, sed copulam καὶ omittit Guelf. Ceterum ὁρῶσιν cum Hutchinsono Zeune interpretatus dativum participii punctum post κατεχόμενον positum sustulit, ut ἐδόκει referretur ad ὁρῶσι. Cum Stephano punctum posuit Weiske. Equidem verterim: *vixdum hunc collem præterierant Græci, cum alterum conspicerent.*

αὖθις] Amasæus *sine ulla cunctatione* interpretatus εὐθὺς legisse videtur Hutchinsono. Pro τοῦτον margo Villois. dat τούτους.

13. καταλείποι] Eton. λείπει. Sequens καὶ omissum malim.

βόντες οἱ πολέμιοι ἐπιθοῖντο τοῖς ὑποζυγίοις παριοῦσιν, (ἐπὶ πολὺ δὲ ἦν τὰ ὑποζύγια, ἅτε διὰ στενῆς τῆς ὁδοῦ πορευόμενα) καταλείπει ἐπὶ τοῦ λόφου λοχαγοὺς Κηφισόδωρον Κηφισοφῶντος, Ἀθηναῖον, καὶ Ἀμφικράτην Ἀμφιδήμου, Ἀθηναῖον, καὶ Ἀρχαγόραν Ἀργεῖον φυγάδα· αὐτὸς δὲ σὺν τοῖς λοιποῖς ἐπορεύετο ἐπὶ τὸν δεύτερον λόφον, καὶ τῷ αὐτῷ τρόπῳ καὶ τοῦτον αἱροῦσιν.
14 Ἔτι δ' αὐτοῖς τρίτος μαστὸς λοιπὸς ἦν πολὺ ὀρθιώτατος, ὁ ὑπὲρ τῆς ἐπὶ τῷ πυρὶ καταληφθείσης φυλακῆς τῆς
15 νυκτὸς ὑπὸ τῶν προελθόντων. Ἐπεὶ δ' ἐγγὺς ἦγον οἱ Ἕλληνες, λείπουσιν οἱ βάρβαροι ἀμαχητὶ τὸν μαστόν· ὥστε θαυμαστὸν γενέσθαι πᾶσι, καὶ ὑπώπτευον, δείσαντας αὐτοὺς, μὴ κυκλωθέντες πολιορκοῖντο, ἀπολιπεῖν. Οἱ δὲ ἄρα ἀπὸ τοῦ ἄκρου καθορῶντες τὰ ὄπισθεν γιγνόμενα, πάντες ἐπὶ τοὺς ὀπισθοφύλακας ἐχώρουν.

16 Καὶ Ξενοφῶν μὲν σὺν τοῖς νεωτάτοις ἀνέβαινεν ἐπὶ τὸ ἄκρον, τοὺς δ' ἄλλους ἐκέλευσεν ὑπάγειν, ὅπως οἱ

ἐπὶ πολὺ] Per longum spatium procedebant. Sequens Κηφισοφῶντος pro vulgato Κηφισιφῶντος ex Guelf. et Paris. recepi. Posterior tamen liber Κηφεισοφ. habet.

καὶ Ἀμφικράτην — Ἀθηναῖον] Hæc verba ex libro Paris. et Eton. restituit Zeune. Compara sect. 17.

14. λοιπὸς ἦν πολὺ] Ex Guelf. ἦν λοιπὸς καὶ πολὺ edidit Zeune, ὀρθιώτερος ἢ ὁ ὑπὲρ malebat Stephanus. Male deinceps καταλειφθείσης Paris. Pro προελθόντων in Juntina, Guelf. Paris. Eton. est ἐθελόντων, quod Brodæus in ἐθελοντῶν mutabat. In Guelf. a secunda manu ἐλθόντων scriptum est.

15. ἐγγὺς ἦγον] Margo Steph. cum libro Brodæi, Paris. Eton. ἐγένοντο dat.

ἀπολιπεῖν] Ita liber Paris. Vulgo est ἀπολείπειν.

οἱ δὲ ἄρα ἀπὸ τοῦ ἄκρου] Weiske hæc ita copulanda censet verba, ut οἱ ἀπὸ τοῦ ἄκρου sint *ii qui jugum reliquerant, barbari.* Rationem hanc edit: *Nam non dicitur* καθεωρακότες, *sed* καθορῶντες. Sed acumine majore non erat opus ad perspiciendum, ἐχώρουν non esse *iverant*, sed *ibant*; cui tempori si perfectum καθεωρακότες junxisset Xenophon, inepte fecisset.

τὰ ὄπισθεν γιγνόμενα] Weiske affirmat non esse *quæ a tergo gererentur*, sed *quæ a tergo essent*, jumenta scilicet cum extremo agmine. De jumentis barbari non cogitabant, sed ex colle dejicere volebant Græcos, uti docet sect. 17. et 18.

16. ὑπάγειν, ὅπως] Amasæus vertit *alios pedetentim usque eo consequi jussit:* quasi ἕως scriptum legisset. Index Zeunianus item *pedetentim sequi* vertit, sed iii. 4, 48. *procedere* vel προάγειν interpretatur. Debebat *præcedere.* Hoc ipsum h. l. significat sequens προελθόντας. Ceterum ἕως etiam ipse scriptum mallem.

τελευταῖοι λόχοι προσμίξειαν· καὶ προελθόντας κατὰ
τὴν ὁδὸν ἐν τῷ ὁμαλῷ θέσθαι τὰ ὅπλα εἶπεν. Καὶ ἐν 17
τούτῳ τῷ χρόνῳ ἦλθεν Ἀρχαγόρας ὁ Ἀργεῖος πεφευγὼς,
καὶ λέγει, ὡς ἀπεκόπησαν ἀπὸ τοῦ πρώτου λόφου, καὶ
ὅτι τεθνᾶσι Κηφισόδωρος καὶ Ἀμφικράτης, καὶ ἄλλοι,
ὅσοι μὴ ἁλλόμενοι κατὰ τῆς πέτρας πρὸς τοὺς ὀπισθο-
φύλακας ἀφίκοντο. Ταῦτα δὲ διαπραξάμενοι οἱ βάρ- 18
βαροι, ἧκον ἐπ' ἀντίπορον λόφον τῷ μαστῷ· καὶ ὁ Ξενο-
φῶν διελέγετο αὐτοῖς δι' ἑρμηνέως περὶ σπονδῶν, καὶ
τοὺς νεκροὺς ἀπῄτει. Οἱ δ' ἔφασαν ἀποδώσειν, ἐφ' ᾧ 19
μὴ καίειν τὰς κώμας. Συνωμολόγει ταῦτα ὁ Ξενοφῶν.
Ἐν ᾧ δὲ τὸ μὲν ἄλλο στράτευμα παρῄει, οἱ δὲ ταῦτα
διελέγοντο, πάντες, οἳ ἐκ τούτου τοῦ τόπου συνεῤῥύησαν,
ἐνταῦθα ἵσταντο οἱ πολέμιοι. Καὶ ἐπεὶ ἤρξαντο κατα- 20
βαίνειν ἀπὸ τοῦ μαστοῦ πρὸς τοὺς ἄλλους, ἔνθα τὰ
ὅπλα ἔκειντο, ἵεντο δὴ οἱ πολέμιοι πολλῷ πλήθει καὶ
θορύβῳ· καὶ ἐπεὶ ἐγένοντο ἐπὶ τῆς κορυφῆς τοῦ μαστοῦ,
ἀφ' οὗ Ξενοφῶν κατέβαινεν, ἐκυλίνδουν πέτρας· καὶ ἑνὸς

τελευταῖοι λόχοι] Ita margo Steph. cum Codice Paris. et Eton. pro *λοχαγοὶ* habent scriptum: deinceps *προμίξειαν* Paris.

προελθόντας] Ita recte Eton. liber pro *προσελθόντας*, quod damnavit etiam Halbkart.

θέσθαι τὰ ὅπλα] Est h. l. *consistere in armis et instructos.* Hinc sect. 20. *ὅπου τὰ ὅπλα ἔκειντο* dicitur locus, ubi constiterant.

17. *πρώτου*] Omittit Cod. Paris et Eton. hinc seclusit Zeune. Suidas *ἀπεκόπησαν* interpretatur *ἀνεβλήθησαν.*

Κηφισόδωρος] Recte vulgatum *Κηφισίδωρος* correxit Welsius et Hutchinson ex sect. 13. Veram scripturam habet Guelf. *Κηφεισίδωρος* Paris. Deinceps *Ἰφικράτης* dat Eton.

18. *ἀντίπορον*] Brodæi conjecturam *ἀντίπρωρον* probant Zeune et Weiske, non ego. Secundum et medium collem intelligit Weiske. Equidem *ἐπὶ τὸν ἀντιπέρας λόφον τοῦ μαστοῦ* malebam; sed retinuit manum Arriani Anab. i. 27, 9. ubi est *ἀντίπορον ὄρος.* Contra libro iv. 27, 4. *γήλοφος, ὃς ἦν ἀντίῤῥοπος τοῦ τῶν Μακεδόνων στρατοπέδου* videtur in *ἀντίπορος τῷ— στρατοπέδῳ* mutandus esse. Ceterum est collis, de quo sect. 12.

καὶ ὁ Ξενοφῶν] Articulum ex Eton. adscivit Zeune.

19. *πάντες, οἳ*] Vulgatum *πάντες οἱ ἐκ τούτου τοῦ τόπου συνεῤῥύησαν. Ἐνταῦθα ἵσταντο οἱ πολέμιοι, καὶ ἐπεὶ* Muretus ita corrigebat: *πάντες, οἳ ἐκ τ. τ. τ. συνεῤῥύησαν, ἐνταῦθα ἵσταντο, καὶ ἐπεὶ* ad Græcos referens. Zeunium sequimur cum Weiskio. Liber Eton. *τούτου* omittit, non inepte!

20. *ἐπεὶ ἤρξαντο*] Græci cum Xenophonte. De loco, ubi *ὅπλα ἔκειντο*, vide sectionem 16. *οἱ συντεταγμένοι* sunt sect. 21.

μὲν κατέαξαν τὸ σκέλος, Ξενοφῶντα δὲ ὁ ὑπασπιστὴς,
21 ἔχων τὴν ἀσπίδα, ἀπέλιπεν· Εὐρύλοχος δὲ Λουσιεὺς
Ἀρκὰς προσέδραμεν αὐτῷ ὁπλίτης, καὶ πρὸ ἀμφοῖν προ-
βεβλημένος ἀπεχώρει, καὶ οἱ ἄλλοι πρὸς τοὺς συντεταγ-
μένους ἀπῆλθον.
22 Ἐκ δὲ τούτου πᾶν ὁμοῦ ἐγένετο τὸ Ἑλληνικὸν, καὶ
ἐσκήνησαν αὐτοῦ ἐν πολλαῖς καὶ καλαῖς οἰκίαις, καὶ
ἐπιτηδείοις δαψιλέσι· καὶ γὰρ οἶνος πολὺς ἦν, ὃν ἐν
23 λάκκοις κονιατοῖς εἶχον. Ξενοφῶν δὲ καὶ Χειρίσοφος
διεπράξαντο, ὥστε λαβόντες τοὺς νεκροὺς ἀποδοῦναι τὸν
ἡγεμόνα· καὶ πάντα ἐποίησαν τοῖς ἀποθανοῦσιν ἐκ τῶν
24 δυνατῶν, ὥσπερ νομίζεται ἀνδράσιν ἀγαθοῖς. Τῇ δ'
ὑστεραίᾳ, ἄνευ ἡγεμόνος ἐπορεύοντο· μαχόμενοι δ' οἱ πο-
λέμιοι, καὶ ὅπη εἴη στενὸν χωρίον προκαταλαμβάνοντες,
25 ἐκώλυον τὰς παρόδους. Ὁπότε μὲν οὖν τοὺς πρώτους
κωλύοιεν, Ξενοφῶν ὄπισθεν ἐκβαίνων πρὸς τὰ ὄρη, ἔλυε
τὴν ἀπόφραξιν τῆς παρόδου τοῖς πρώτοις, ἀνωτέρω πειρώ-
26 μενος γίγνεσθαι τῶν κωλυόντων· ὁπότε δὲ τοῖς ὄπισθεν
ἐπιθοῖντο, Χειρίσοφος ἐκβαίνων, καὶ πειρώμενος ἀνωτέρω
γίγνεσθαι τῶν κωλυόντων, ἔλυε τὴν ἀπόφραξιν τῆς παρ-

κατέαξαν] Cod. Paris. κατέαξε. Sequens ἀπέλιπεν videtur esse, *non consecutus erat* propter celeritatem itineris.

21. προσέδραμεν] Edd. vett. cum Guelf. παρέδραμεν dant. Deinceps βεβλημένος simplex est in libro Paris. et Eton.

22. οἰκίαις] Vocabulum deest in Edd. vett. Guelf. ex libro Brodæi, Paris. et Eton. inseruit Stephanus. Deinde ἐπιτηδείαις Edd. vett. cum Guelf.

ὃν ἐν λάκκοις] Vulgatum ὥστε ἐν ex Suida in κεκονιμένος et Castal. correxi. Brodæus ὅν τ' malebat. De λάκκοις (lacubus vinariis) ita Scholia ad Aristophanis Eccles. vers. 154. exscripta a Suida: Ἀθηναῖοι καὶ οἱ ἄλλοι τῶν Ἑλλήνων ὀρύγματα ὑπὸ τὴν γῆν ποιοῦντες εὐρύχωρα καὶ στρογγύλα καὶ τετράγωνα καὶ ταῦτα κονιῶντες οἶνον ὑπεδέχοντο καὶ ἔλαιον εἰς αὐτά· καὶ ταῦτα λάκκους ἐκάλουν.

23. ὥστε λαβόντες] Insolentius dictum pro ἀποδόντες τὸν ἡγεμόνα (ducem itineris Carduchum) λαβεῖν τοὺς νεκροὺς censet Weiske. Codex Paris. et Eton. dant ἀπέδοσαν, unde locum lacunosum esse suspicor. Nimis enim breviter defungitur narratione rei Xenophon, quam Græcis cordi fuisse valde apparet.

νομίζεται] Male Edd. vett. excepta Castál. cum Guelf. νομίζεσθαι.

25. παρόδου] Margo Steph. cum Eton. ὁδοῦ dat.

26. ὁπότε δὲ—κωλυόντων] Locus hic excidit in libro Eton. propter geminatum κωλυόντων.

ὁδοῦ τοῖς ὄπισθεν. Καὶ ἀεὶ οὕτως ἐβοήθουν ἀλλήλοις,
καὶ ἰσχυρῶς ἀλλήλων ἐπεμελοῦντο. Ἦν δὲ ὁπότε καὶ 27
αὐτοῖς τοῖς ἀναβᾶσι πολλὰ πράγματα παρεῖχον οἱ
βάρβαροι πάλιν καταβαίνουσιν· ἐλαφροὶ γὰρ ἦσαν,
ὥστε καὶ ἐγγύθεν φεύγοντες ἀποφεύγειν· οὐδὲν γὰρ
ἄλλο εἶχον ἢ τόξα καὶ σφενδόνας. Ἄριστοι δὲ τοξόται 28
ἦσαν· εἶχον δὲ τόξα ἐγγὺς τριπήχη, τὰ δὲ τοξεύματα
πλέον ἢ διπήχη· εἷλκον δὲ τὰς νευρὰς, ὁπότε τοξεύοιεν,
πρὸς τὸ κάτω τοῦ τόξου τῷ ἀριστερῷ ποδὶ προσβαίνοντες.

οὕτως] Ita versio Amasæi, margo Steph. Cod. Paris. Eton. pro *οὗτοι*, quod sprevit Zeune. Deinceps *ἐπεμέλοντο* liber Paris.

28. *πλέον ἢ*] Eton. *πλέον ἢν* habet. Diodorus xiv. 27. *οἱ δὲ Ἕλληνες ἐφ' ἑπτὰ μὲν ἡμέρας διεπορεύοντο τὰ τῶν Καρδούχων ὄρη, πολλὰ κακὰ πάσχοντες ὑπὸ τῶν ἐγχωρίων ἀλκίμων τε ὄντων καὶ τῆς χώρας ἐμπείρων. ἦσαν δὲ οὗτοι πολέμιοι μὲν τοῦ βασιλέως, ἐλεύθεροι δὲ καὶ τὰ κατὰ πόλεμον ἀσκοῦντες, μάλιστα δ' ἐκπονοῦντες σφενδόναις ὡς μεγίστους λίθους ἐμβάλλειν, καὶ τοξεύμασιν ὑπερμεγέθεσι χρῆσθαι, δι' ὧν τοὺς Ἕλληνας κατατιτρώσκοντες ἐξ ὑπερδεξίων τόπων πολλοὺς μὲν ἀνεῖλον, οὐκ ὀλίγους δὲ κακῶς διέθεσαν. τὰ γὰρ βέλη μείζω καθεστῶτα δυοῖν πηχῶν ἔδυνε διά τε τῶν ἀσπίδων καὶ θωράκων, ὥστε μηδὲν τῶν ὅπλων ἰσχύειν τὴν βίαν αὐτῶν ὑπομένειν· οὕτω γὰρ φασι μεγάλοις κεχρῆσθαι οἰστοῖς, ὥστε τοὺς Ἕλληνας ἐναγκυλοῦντας τὰ ῥιπτόμενα βέλη, τούτοις σαυνίοις χρωμένους ἐξακοντίζειν.*

πρὸς τὸ κάτω—προσβαίνοντες] Ita recte vulgatum *προβαίνοντες* correxit Weiske. Leonclavius *προσβάλλοντες* malebat, interpretatus: *pedem sinistrum applicantes.* Amasæus *applicato ad imum arcum lævo pede.* Brodæus pejus: *lævo pede ad imum arcum prætenso,* quasi *προτείνοντες* scriptum legisset, quod præferebat Hutchinson. Brodæus tamen recte de ratione arcum tendendi locum interpretatur. Contra Larcherus cum Toupio Emendat. p. 205. ed. Lips. de statu sagittarii interpretatur; sed male Toupius comparat Homericum *ὑπασπίδια προποδίζειν* Iliadis xiii. versu 807. quod non est de funditore. Statum funditoris pingere poetæ erat, non historici, ut recte admonuit Weiske, laudans Wesselingium ad Diodorum iii. 8. ubi est de Æthiopibus: *ἐνίοτε δὲ (καθοπλίζονται) ξυλίνοις τόξοις τετραπήχεσιν, οἷς τοξεύουσι μὲν τῷ ποδὶ προσβαίνοντες.* ubi Wesseling annotavit hæc: *Pede in arcum, ut majore cum robore tendant, imposito. Agatharchides de Rubro mari* p. 40. *ὁ μὲν εἷς κατέχει τόξον τῷ ποδὶ προσβεβηκώς. Atque ita Strabo* xvi. p. 1117. *τῶν μὲν κατεχόντων τὸ τόξον καὶ προσβεβηκότων τοῖς ποσί. quanquam nunc prave ibi προβεβ. editum legitur. Nec aliter, puto, accipi debent Xenophontis verba,* (hæc ipsa) *ubi potius προσβαίνοντες scribendum, ut hic. Utebantur barbari isti arcubus ternum fere cubitorum, quos ut intenderent, humi collocabant, pedeque admoto sinistro, nervum summis viribus adducebant.* Toupius locum Arriani Indic. 16. posuit hunc: *οἱ πεζοὶ τόξον τε ἔχουσιν ἰσόμηκες τῷ φορέοντι τὸ τόξον, καὶ τοῦτο κάτω ἐπὶ τὴν γῆν θέντες καὶ τῷ ποδὶ τῷ ἀριστερῷ ἀντιβάντες, οὕτως ἐκτοξεύουσι τὴν νευρὴν ἐπὶ μέγα ὀπίσω ἀναγαγόντες· ὁ γὰρ ὀϊστὸς αὐτοῖσιν ὀλίγον ἀποδέων τριπήχεος.* Weiske addidit locum Anonymi apud Suidam in *Ἄραβες* hunc: *οἱ δὲ Ἀράβιοι—οἳ βέλεσιν ἀνδρομήκεσι χρώμενοι, ἀντὶ τῶν χειρῶν τῷ ποδὶ ἐμβαίνοντες ἐς τὴν νευρὰν, κυκλοῦσι τὸ τόξον.* Sed hic modus tendendi arcum plane est diversus a priore. Pede enim imposito sinistro in nervum arcus curvatur, et nervus ipse deductus tenditur. Contra ibi pes impositus lævus arcum imum retinet, dum manus dextra adjuvante

Τὰ δὲ τοξεύματα ἐχώρει διὰ τῶν ἀσπίδων καὶ διὰ τῶν θωράκων· ἐχρῶντο δὲ αὐτοῖς οἱ Ἕλληνες, ἐπεὶ λάβοιεν, ἀκοντίοις, ἐναγκυλῶντες. Ἐν τούτοις τοῖς χωρίοις οἱ Κρῆτες χρησιμώτατοι ἐγένοντο· ἦρχε δὲ αὐτῶν Στρατοκλῆς Κρής.

CAP. III.

ΤΑΥΤΗΝ δ' αὖ τὴν ἡμέραν ηὐλίσθησαν ἐν ταῖς κώ-
μαις ταῖς ὑπὲρ τοῦ πεδίου τοῦ παρὰ τὸν Κεντρίτην ποτα-
μόν, εὖρος ὡς δίπλεθρον, ὃς ὁρίζει τὴν Ἀρμενίαν καὶ τὴν
τῶν Καρδούχων χώραν· καὶ οἱ Ἕλληνες ἐνταῦθα ἀνε-
2 παύσαντο ἄσμενοι ἰδόντες πεδίον· ἀπεῖχε δὲ τῶν ὀρέων ὁ
ποταμὸς ὡς ἓξ ἢ ἑπτὰ στάδια τῶν Καρδούχων. Τότε
μὲν οὖν ηὐλίσθησαν μάλα ἡδέως, καὶ τὰ ἐπιτήδεια
ἔχοντες, καὶ πολλὰ τῶν παρεληλυθότων πόνων μνημο-

sinistra nervum tendit. Utramque rationem confundere visus Weiske hæc annotavit: *Non dextra manu sed sinistro pede Carduchi arcus suos tendebant. Sed etiamnum aliquid difficultatis videtur in Xenophontis loco remanere. Opinor,* πρὸς τὸ κάτω *esse* ad terram; *ut deinde incisum ponatur,* τοῦ τόξου *autem excludatur, ut ineptum glossema. Ita in* προσβαίνοντες *intelligamus* ταῖς νευραῖς. *Sed hæc extrema ut incertiora doctis lectoribus dijudicanda transmittimus. Non absurdum est inferiorem arcus partem, id est, cornua cum nervo poni, cum nervus solus intelligendus sit.* Difficultatem omnem facile explicabis, si mecum et cum interprete germanico, Halbkart, statuas arcum affixum fuisse fusti canaliculato, qualem medium ævum arcubalistam vocabat, unde Gallicum *arbalête* originem duxit, quod telum *Armbrust* appellare solemus. Retinaculum retinet nervum summa cum vi tensum; impulsum vero manu ejaculatur telum canali impositum. Ita apparet, quomodo nervus summa cum vi, pede sinistro arcui imo imposito, adductus, retineri potuerit in arcu sublato: nec opus est conjecturis Weiskii. Ceterum qui locum de statu sagittarii interpretantur, male post τόξου comma posuerant. Male Guelf. liber πρὸς τῷ κάτω habet scriptum.

ἐπεὶ λάβοιεν] Liber Brodæi et Paris. hoc dedit pro vulgato ἐπιλαβόμενοι, quod Zeunianus Index *nacti* interpretatur.

1. τοῦ παρὰ] Liber Brodæi τοῦ κατὰ habet. Centriten fluvium alibi nominatum nondum reperi; sed hodie *Kabouhr* vocari tradit *Heeren, Ideen über die Politik* ii. p. 172. secutus Danvillium cum Mannerto Geogr. v. p. 236.

ἄσμενοι ἰδόντες πεδίον] Hæc ex Codice Brodæi, Paris. et Eton. adscivi, quæ Zeune ex simili loco iii. 4, 24. ficta et inserta esse conjiciebat.

ὡς ἓξ] Paris. et Eton. liber omittit ὡς. Ceterum τῶν ὀρέων τῶν Καρδούχων conjungenda sunt, quæ disjunxit scriptor numeri causa et ut ὁμοιοτέλευτα vitaret, ut monet Zeune et Weiske.

νεύοντες. Ἑπτὰ γὰρ ἡμέρας, ὅσασπερ ἐπορεύθησαν διὰ τῶν Καρδούχων, πάσας μαχόμενοι διετέλεσαν, καὶ ἔπαθον κακὰ, ὅσα οὐδὲ τὰ σύμπαντα ὑπὸ βασιλέως καὶ Τισσαφέρνους. Ὡς οὖν ἀπηλλαγμένοι τούτων, ἡδέως ἐκοιμήθησαν.

Ἅμα δὲ τῇ ἡμέρᾳ ὁρῶσιν ἱππέας που πέραν τοῦ πο- 3
ταμοῦ ἐξωπλισμένους, ὡς κωλύσοντας διαβαίνειν· πε-
ζοὺς δ' ἐπὶ ταῖς ὄχθαις παρατεταγμένους ἄνω τῶν ἱπ-
πέων, ὡς κωλύσοντας εἰς τὴν Ἀρμενίαν ἐκβαίνειν. Ἦ- 4
σαν δὲ οὗτοι Ὀρόντου καὶ Ἀρτούχου, Ἀρμένιοι καὶ Μαρ-
δόνιοι καὶ Χαλδαῖοι μισθοφόροι. Ἐλέγοντο δὲ οἱ Χαλ-
δαῖοι ἐλεύθεροι καὶ ἄλκιμοι εἶναι· ὅπλα δ' εἶχον γέῤῥα

2. ἑπτὰ γὰρ ἡμέρας] Diodorus xiv. 27. eundem numerum posuit, et subjungit: διελθόντες οὖν τὴν προειρημένην χώραν ἐπιπόνως παρεγενήθησαν πρὸς τὸν Κεντρίτην ποταμὸν, ὃν διαβάντες εἰσέβαλον εἰς τὴν Ἀρμενίαν. ταύτης δ' ἦν σατράπης Τηρίβαζος. πρὸς ὃν σπεισάμενοι διεπορεύοντο τὴν χώραν ὡς φίλοι.

ὅσα οὐδὲ] Ita margo Steph. cum Paris. et Eton. libro dant pro οἷα.

3. ἱππέας που] Ex libro Eton. που inserui.

4, Ὀρόντου] Supra iii. 5, 17. de Armenia: ἧς Ὀρόντας ἦρχεν πολλῆς καὶ εὐδαίμονος. Cyri disciplina v. 3, 38. Ἀρτούχαν Hyrcaniorum ducem nominat, ubi tamen Brodæi libri Ἀρτόμαν dant.

Μυγδόνιοι] Codex Brodæi, Guelf. Paris. Eton. cum margine Villois. dant Μαρδόνιοι. et Stephanus Byzantinus: Μυγδονία—καὶ ἑτέρα Φρυγίας τῆς μεγάλης—Τινὲς δὲ Μάρδους αὐτούς φασι. Idem Μάρδοι, ἔθνος Ὑρκανῶν.—λῃσταὶ δὲ οὗτοι καὶ τοξόται. Eosdem nominat Herodotus ix. 125. Dionysius Perieg. versu 732. Ptolemæus vi. c. 2. Arrianus Anab. iii. 11, 6. οἱ Μάρδοι τοξόται. item cap. 13, 1. Regionem montuosam et Mardos pauperes nominat cap. 24, 1—7. sed situm non definit. Libro tamen iv. 6, 12. fluvium Epardum nominat, ὃς ῥέει διὰ Μάρδων τῆς χώρας. Tapuris vicinos fuisse arguit locus iv. 18, 2. Strabo libro ix. κύκλῳ δὲ περὶ τὴν θάλατταν μετὰ τοὺς Ὑρκανοὺς Ἀμάρδους τε. quem locum respexit Stephanus Byz. in Ἀμαρδοὶ, ἔνθος Ὑρκανῶν ἐγγὺς—εἰσὶ δὲ καὶ Περσῶν Μαρδοὶ δίχα τοῦ α. Ex Nearcho Strabo tradit Mardos Persis finitimos esse et prædando vivere. Plura de Mardis Gallus doctissimus de Ste. Croix, Examen Critique des Historiens p. 212. qui tamen locum Xenophontis non tetigit, in quo librorum optimorum scripturam (in Guelf. tamen vulgata Μυγδόνιοι suprascripta est) restitui, cum ex Artuchæ mentione comparata cum loco Cyropædiæ apparere videatur, Artucham Hyrcaniorum ducem intelligi, quibus Mardi vel Mardonii vicini erant. Mardonios tamen qui præter Xenophontem nominavit, nondum reperi. Mygdonios Mesopotamiæ septentrionalis incolas primum a Macedonibus victoribus nomen accepisse, translatum a Mygdonibus Thraciæ, statuit Strabo xvi. p. 1083, cui frustra hunc Xenophontis locum opposuit Mannert Geogr. v. p. 260. varietatis scripturæ oblitus.

Χαλδαῖοι] Eadem de Chaldæis traduntur in Cyrop. iii. 2, 7.

5 μακρὰ καὶ λόγχας. Αἱ δὲ ὄχθαι αὗται, ἐφ' ὧν
παρατεταγμένοι οὗτοι ἦσαν, τρία ἢ τέτταρα πλέθρα ἀπὸ
τοῦ ποταμοῦ ἀπεῖχον· ὁδὸς δὲ μία ἡ ὁρωμένη ἦν ἄγουσα
ἄνω, ὥσπερ χειροποίητος· ταύτῃ ἐπειρῶντο διαβαίνειν οἱ
6 Ἕλληνες. Ἐπεὶ δὲ πειρωμένοις τό τε ὕδωρ ὑπὲρ τῶν
μαστῶν ἐφαίνετο, καὶ τραχὺς ἦν ὁ ποταμὸς μεγάλοις
λίθοις καὶ ὀλισθηροῖς, καὶ οὔτε ἐν τῷ ὕδατι τὰ ὅπλα ἦν
ἔχειν· εἰ δὲ μή, ἥρπαζεν ὁ ποταμός· ἐπί τε τῆς κεφαλῆς
τὰ ὅπλα εἴ τις φέροι, γυμνοὶ ἐγίγνοντο πρὸς τὰ τοξεύ-
ματα καὶ τὰ ἄλλα βέλη· ἀνεχώρησαν οὖν, καὶ αὐτοῦ
ἐστρατοπεδεύσαντο παρὰ τὸν ποταμόν.

7 Ἔνθα δὲ αὐτοὶ τὴν πρόσθεν νύκτα ἦσαν, ἐπὶ τοῦ ὄρους
ἑώρων τοὺς Καρδούχους πολλοὺς συνειλεγμένους σὺν τοῖς
ὅπλοις. Ἐνταῦθα δὴ πολλὴ ἀθυμία ἦν τοῖς Ἕλλησιν,
ὁρῶσι μὲν τοῦ ποταμοῦ τὴν δυσπορίαν, ὁρῶσι δὲ τοὺς δια-
βαίνειν κωλύσοντας, ὁρῶσι δὲ τοῖς διαβαίνουσιν ἐπικεισο-
8 μένους τοὺς Καρδούχους ὄπισθεν. Ταύτην μὲν οὖν τὴν
ἡμέραν καὶ τὴν νύκτα ἔμενον ἐν πολλῇ ἀπορίᾳ ὄντες.
Ξενοφῶν δὲ ὄναρ εἶδεν· ἔδοξεν ἐν πέδαις δεδέσθαι, αὗται

5. αἱ δὲ ὄχθαι] Iterum sect. 23. προσηκούσας ἐπὶ τὸν ποταμὸν ὄχθας vocat, quæ sect. 11. dicuntur πέτραι· καθήκουσαι ἐπ' αὐτὸν τὸν ποταμόν. et sect. 23. eædem vocantur τὰ ὑπὲρ τοῦ ποταμοῦ ἄκρα. Igitur colles. In libro de re equestri 3, 7. est ἐπ' ὄχθους ἀνορούειν, ἀπ' ὄχθων καθάλλεσθαι.

ἡ ὁρωμένη] Eton. liber articulum omittit. Idem deinceps cum Paris. et margine Steph. ταύτην dat. Cf. sect. 20,

6. τραχὺς] Male Edd. vett. cum Guelf. habent ταχύς.

εἰ δὲ μὴ] Similis Arriani locus Anab. iv. 4, 17. ἐπὶ τῷδε ἡ δίωξις οὐκ ἐπὶ πάντων Σκυθῶν ἐγένετο· εἰ δὲ μή, δοκοῦσιν ἄν μοι καὶ πάντες διαφθαρῆναι ἐν τῇ φυγῇ. ubi ineptissime nuperus Editor ἐγένετο. Οἱ δὲ μὴν scripsit, hic tamen optimum librum non secutus, ex quo Arrianum innumeris in locis corrupit.

γυμνοὶ ἐγίγνοντο] Vulgatum ἐφέροντο ex libro Brodæi, margine Steph. libro Paris. et Eton. mutavi.

ἀνεχώρησαν οὖν] Particulam οὖν, quæ post interposita verba quædam repetere solet sententiam, omisit Stephanus, casu, ut puto. Habent eam Edd. vett. cum Guelf. et Eton.

7. πρόσθεν] Eton. πρώτην omissis verbis ἐπὶ τοῦ ὄρους, post quæ male vulgo positum comma sustulit Weiske. Sequens σὺν deest in Edd. vett. recentiore manu additum in Guelf. ἐν τοῖς ὅπλοις dant Cod. Paris. et margo Steph.

8. ἔμενον] Cod. Paris. ἔμειναν.

αὗται δὲ] Intellige ἔδοξαν repeten-

δὲ αὐτῷ αὐτόματοι περιῤῥυῆναι, ὥστε λυθῆναι καὶ δια-
βαίνειν, ὁπόσον ἐβούλετο. Ἐπεὶ δὲ ὄρθρος ἦν, ἔρχεται
πρὸς τὸν Χειρίσοφον, καὶ λέγει, ὅτι ἐλπίδας ἔχει καλῶς
ἔσεσθαι· καὶ διηγεῖται αὐτῷ τὸ ὄναρ. Ὁ δὲ ἥδετό 9
τε, καὶ ὡς τάχιστα ἕως ὑπέφαινεν, ἐθύοντο πάντες παρ-
όντες οἱ στρατηγοί· καὶ τὰ ἱερὰ καλὰ ἦν εὐθὺς ἐπὶ τοῦ
πρώτου. Καὶ ἀπιόντες ἀπὸ τῶν ἱερῶν οἱ στρατηγοὶ καὶ
λοχαγοὶ παρήγγελλον τῇ στρατιᾷ ἀριστοποιεῖσθαι.
Ἀριστῶντι δὲ τῷ Ξενοφῶντι προσέτρεχον δύο νεανίσκω· 10
ᾔδεσαν γὰρ πάντες, ὅτι ἐξείη αὐτῷ καὶ ἀριστῶντι καὶ
δειπνοῦντι προσελθεῖν, καὶ, εἰ καθεύδοι, ἐπεγείραντα εἰ-
πεῖν, εἴ τί τις ἔχοι τῶν πρὸς τὸν πόλεμον. Καὶ τότε 11
ἔλεγον, ὅτι τυγχάνοιεν φρύγανα συλλέγοντες ὡς ἐπὶ πῦρ,
κἄπειτα κατίδοιεν ἐν τῷ πέραν ἐν πέτραις καθηκούσαις
ἐπ' αὐτὸν τὸν ποταμὸν γέροντά τε καὶ γυναῖκα, καὶ παι-
δίσκας, ὥσπερ μαρσίπους ἱματίων κατατιθεμένους ἐν

dum ex ἔδοξεν. Sequens περιῤῥυῆναι ex Paris. et Eton. libro adscivi in locum vulgati περιῤῥαγῆναι, quod nimis violentum est pro significatione somnii. αὐτόμαται etiam dat Paris.

καὶ διαβαίνειν] Copulam omittit Juntina cum Guelf. Sequentia inepte tentavit Hutchinson ὅποι ἂν βούλοιτο conjiciens, ineptius etiam Zeune defendens interpretatur ita: *Intellige κατὰ, quocunque vellet.* Recte de pedibus diductis, divaricatis dici verbum monet Weiske. Est igitur *gradi, ingredi.*

9. ὡς τάχιστα ἕως ὑπέφαινεν] Ita hæc distinguenda esse, recte monuit Porson. Vulgo ineptissime post τάχιστα comma positum reperitur.

ἀπὸ τοῦ πρώτου] Inepte Hutchinson χρόνου intelligebat. Infra vi. 5, 2. καὶ γίγνεται τὰ ἱερὰ ἐπὶ τοῦ πρώτου ἱερείου. et sect. 8. καὶ ἐγένετο ἐπὶ τοῦ πρώτου καλὰ τὰ σφάγια. Quare h. l. ἐπὶ scripsi.

10. Ἀριστῶντι] Liber Eton. Καὶ ἀριστῶντι τῷ Ξενοφῶντι προσέτρεχον. Etiam Paris. cum margine Steph· προσέτρεχον dat, Edd. vett. cum Guelf. προτρέχετον. Equidem vulgatum προστρέχετον repudiavi tanquam ab hoc loco alienum, cum sequatur καὶ τότε ἔλεγον. Interjecta etiam sunt verba multa, quæ narrationem morantur. Figura contra illa, quæ præsens adhibet, celeritatem solet significare. Deinceps δύω dedit Castal.

καθεύδοι] Suidas in ἐξείη dedit καθεύδει, deinde εἴ τίς τι ἔχοι πρὸς πολ. Guelf. εἴ τίς τι ἔχοι τῶν πρὸς πολ.

11. Καὶ τότε ἔλεγον] Vitiosum locum esse recte suspicatus Weiske καὶ οἵδε οὖν τότε ἔλ. malebat scriptum.

ἐν πέτραις] Cum libro Eton. omisi ταῖς ante πέτραις; quod si probaveris, tum addendum iterum ταῖς ante καθηκούσαις.

τὸν ποταμὸν] Suidas in καθηκούσαις habet τόπον.

γυναῖκα] Liber Eton. γυναῖκας. Pro μαρσίππους ex Edd. vett. Polluce 7, 79. 10, 138. et Suida restitui μαρσίπους.

12 πέτρα ἀντρώδει. Ἰδοῦσι δέ σφισι δόξαι, ἀσφαλὲς εἶναι
διαβαίνειν· οὐδὲ γὰρ τοῖς πολεμίοις ἱππεῦσι πρόσβατον
εἶναι κατὰ τοῦτο. Ἐκδύντες δὲ, ἔφασαν ἔχοντες τὰ ἐγ-
χειρίδια γυμνοὶ ὡς νευσούμενοι διαβαίνειν· πορευόμενοι
δὲ, πρόσθεν διαβαίνειν, πρὶν βρέξαι τὰ αἰδοῖα· καὶ δια-
βάντες, καὶ λαβόντες τὰ ἱμάτια, πάλιν ἥκειν.
13 Εὐθὺς οὖν ὁ Ξενοφῶν αὐτός τε ἔσπενδε, καὶ τοῖς νεανί-
σκοις ἐγχεῖν ἐκέλευσε, καὶ εὔχεσθαι τοῖς φήνασι θεοῖς
τά τε ὀνείρατα καὶ τὸν πόρον καὶ τὰ λοιπὰ ἀγαθὰ ἐπι-
τελέσαι. Σπείσας δὲ εὐθὺς ἦγε τοὺς νεανίσκους παρὰ
14 τὸν Χειρίσοφον καὶ διηγοῦνται ταὐτά. Ἀκούσας δὲ καὶ
ὁ Χειρίσοφος σπονδὰς ἐποίει. Σπείσαντες δὲ, τοῖς μὲν
ἄλλοις παρήγγελλον συσκευάζεσθαι, αὐτοὶ δὲ, συγκα-
λέσαντες τοὺς στρατηγοὺς, ἐβουλεύοντο, ὅπως ἂν κάλλι-
στα διαβαῖεν, καὶ τούς τε ἔμπροσθεν νικῷεν καὶ ὑπὸ τῶν
15 ὄπισθεν μηδὲν κακὸν πάσχοιεν. Καὶ ἔδοξεν αὐτοῖς,
Χειρίσοφον μὲν ἡγεῖσθαι, καὶ διαβαίνειν, ἔχοντα τὸ ἥμισυ
τοῦ στρατεύματος, τὸ δὲ ἥμισυ ὑπομένειν σὺν Ξενοφῶντι·
τὰ δὲ ὑποζύγια καὶ τὸν ὄχλον ἐν μέσῳ τούτων διαβαίνειν.
16 Ἐπεὶ δὲ καλῶς ταῦτα εἶχεν, ἐπορεύοντο· ἡγοῦντο δὲ οἱ

12. διαβαίνειν] Hoc ex Eton. dedi pro διαβῆναι. Compara sect. 15. Sequens ἔφασαν Suidas in νευσούμενοι omittens ἐπειρῶντο posuit ante διαβαίνειν.

νευσούμενοι] Ita cum Suida Edd. vett. σπευσόμενοι margo Steph. cum libro Eton. et Paris. Pro γυμνοὶ, quod ex Suida, margine Steph. Paris. et Eton. recepit Zeune, vulgabatur γυμνά.

πρόσθεν διαβαίνειν] Iterum ex Eton. hoc pro διαβῆναι recepi. Idem tamen liber male πρὶν omisit.

13. ἔσπενδε] Vitiose Guelf. cum libro Paris. et margine Villois. ἔσπευδε.

[ἔσπενδε—ἐγχεῖν ἐκέλευσε] Hunc locum excerpsit Suidas sub verbo ἐγχεῖν. unde vulgata lectio confirmatur. *Ex Epistola.*]

καὶ τὰ λοιπὰ] Hæc copulanda sunt cum εὔχεσθαι τοῖς φ. θεοῖς.

εὐθὺς ἦγε] Interpositum vulgo μὲν cum Junt. Guelf. et Eton. omisi. Deinceps parva mutatione ταὐτὰ dedi pro ταῦτα.

14. καὶ ὁ Χειρίσοφος] Copulam, ad σπονδὰς ἐπ. pertinentem, ex Guelf. et Eton. adjecit Zeune.

ἐβουλεύοντο] Ita cum Paris. libro vulgatum ἐβουλεύσαντο correxi. Sequens ἔμπροσθεν in locum vulgati πρόσθεν ex Paris. et Eton. adscivi.

15. ἥμισυ] Margo Steph. cum Paris. et Eton. ἔτι addunt.

16. καλῶς ταῦτα] Guelf. ταῦτα

νεανίσκοι, ἐν ἀριστερᾷ ἔχοντες τὸν ποταμόν· ὁδὸς δὲ ἦν
ἐπὶ τὴν διάβασιν ὡς τέτταρα στάδια.

Πορευομένων δ' αὐτῶν ἀντιπαρῄεσαν αἱ τάξεις τῶν 17
ἱππέων. Ἐπεὶ δ' ἦσαν κατὰ τὴν διάβασιν καὶ τὰς
ὄχθας τοῦ ποταμοῦ, ἔθεντο τὰ ὅπλα, καὶ αὐτὸς πρῶτος
Χειρίσοφος στεφανωσάμενος καὶ ἀποδὺς ἐλάμβανε τὰ
ὅπλα, καὶ τοῖς ἄλλοις πᾶσι παρήγγελλε· καὶ τοὺς
λοχαγοὺς ἐκέλευεν ἄγειν τοὺς λόχους ὀρθίους, τοὺς μὲν
ἐν ἀριστερᾷ τοὺς δὲ ἐν δεξιᾷ ἑαυτοῦ. Καὶ οἱ μὲν μάν- 18
τεις ἐσφαγιάζοντο εἰς τὸν ποταμόν· οἱ δὲ πολέμιοι ἐτό-
ξευόν τε καὶ ἐσφενδόνων· ἀλλ' οὔπω ἐξικνοῦντο. Ἐπεὶ 19
δὲ καλὰ ἦν τὰ σφάγια, ἐπαιάνιζον πάντες οἱ στρατιῶ-
ται καὶ ἀνηλάλαζον, συνωλόλυζον δὲ καὶ αἱ γυναῖκες
ἅπασαι. Πολλαὶ γὰρ ἦσαν ἑταῖραι ἐν τῷ στρατεύ-
ματι.

Καὶ Χειρίσοφος μὲν ἐνέβαινε καὶ οἱ σὺν αὐτῷ· ὁ δὲ 20
Ξενοφῶν, λαβὼν τῶν ὀπισθοφυλάκων τοὺς εὐζωνοτάτους,

καλῶς habet. Deinceps τέτταρες στάδιοι dant margo Steph. Paris. et Eton. Codex.

17. ἀντιπαρῄεσαν] In opposita ripa sequebantur equites, de quibus sect. 3. 4.

ἐπεὶ δὲ] Eton. ἐπειδὴ δὲ habet.

στεφανωσάμενος] Hoc tempus narratio et sequens ἀποδὺς postulabat; igitur ex margine Steph. libro Paris. et Eton. recepi pro ἐστεφανωμένος. Ceterum Cherisophus facit ex more Lacedæmoniorum, quem narrat noster de Republ. Lacedæmoniorum xiii. 8. Hellenic. iv. 2, 12. et Plutarchus Lycurgi c. 22.

παρήγγελλε] Intellige στεφανοῦσθαι καὶ ἀποδύεσθαι.

18. εἰς τὸν ποταμὸν] Sacrificio diis fluvium habitantibus oblato, ut in medio Hellesponto taurum Neptuno et Nereidibus mactabat Alexander Arriani i. 11. Cf. vi. 3. ubi est: αὐτὸς δὲ ἔθυε τοῖς θεοῖς, ὡς νόμος, καὶ τῷ ποταμῷ τῷ Ὑδάσπῃ,—καὶ ἐπιβὰς τῆς νεὼς ἀπὸ τῆς πρώρας ἐκ χρυσῆς φιάλης ἔσπενδεν ἐς τὸν ποταμὸν, τόν τ' Ἀκεσίνην ξυνεπικαλούμενος τῷ Ὑδάσπῃ—καὶ τὸν Ἰνδόν. Idem narrat Indicorum cap. 18, 11. Hæc recte annotavit Hutchinson.

20. σὺν αὐτῷ] Liber Paris. et Eton. σὺν ἐκείνῳ dant: deinceps ὀπισθοφυλακούντων. Eton.

τοὺς εὐζωνοτάτους] Polyænus i. 49, 4. Ξενοφῶν ποταμὸν πειρώμενος διαβαίνειν, ὑπὸ τῶν βαρβάρων ἀντικαθημένων κωλυόμενος, τῶν Ἑλλήνων χιλίους ἐπιλέξας ἔπεμψε καθ' ἑτέραν διάβασιν, αὐτὸς δὲ κατὰ στόμα προάγων διαβαίνειν ἐβιάζετο. τῶν πεμφθέντων διαβάντων ἐπὶ τοὺς ἀντικαθισταμένους, καὶ γενομένων ὑπὲρ κεφαλῆς, πολλάς τε πληγὰς ἐμβαλόντων αὐτοῖς, οἱ μετὰ Ξενοφῶντος ἀκινδύνως διέβησαν. Qui videtur h. l. additum numerum χιλίους legisse in libro suo; ceterum sensu Xenophonteæ narrationis plane aberravit.

ἔθει ἀνὰ κράτος πάλιν ἐπὶ τὸν πόρον τὸν κατὰ τὴν ἔκβα-
σιν τὴν εἰς τὰ τῶν Ἀρμενίων ὄρη· προσποιούμενος ταύτῃ
διαβὰς ἀποκλείσειν τοὺς παρὰ τὸν ποταμὸν ἱππέας.
21 Οἱ δὲ πολέμιοι, ὁρῶντες μὲν τοὺς ἀμφὶ Χειρίσοφον εὐπε-
τῶς τὸ ὕδωρ περῶντας, ὁρῶντες δὲ τοὺς ἀμφὶ Ξενοφῶντα
θέοντας εἰς τοὔμπαλιν, δείσαντες, μὴ ἀποκλεισθείησαν,
φεύγουσιν ἀνὰ κράτος ὡς πρὸς τὴν ἀπὸ τοῦ ποταμοῦ ἔκ-
βασιν ἄνω. Ἐπεὶ δὲ κατὰ τὴν ὁδὸν ἐγένοντο, ἔτεινον
22 ἄνω πρὸς τὸ ὄρος. Λύκιος δὲ, ὁ τὴν τάξιν ἔχων τῶν ἱπ-
πέων, καὶ Αἰσχίνης, ὁ τὴν τάξιν ἔχων τῶν πελταστῶν
τῶν ἀμφὶ Χειρίσοφον, ἐπεὶ ἑώρων ἀνὰ κράτος φεύγοντας,
εἵποντο· οἱ δὲ στρατιῶται ἐβόων μὴ ἀπολείπεσθαι, ἀλλὰ
23 συνεκβαίνειν ἐπὶ τὸ ὄρος. Χειρίσοφος δ᾽ αὖ, ἐπεὶ διέβη,
τοὺς μὲν ἱππέας οὐκ ἐδίωκεν, εὐθὺς δὲ κατὰ τὰς προση-
κούσας ὄχθας ἐπὶ τὸν ποταμὸν ἐξέβαινεν ἐπὶ τοὺς ἄνω
πολεμίους. Οἱ δὲ ἄνω, ὁρῶντες μὲν τοὺς ἑαυτῶν ἱππέας
φεύγοντας, ὁρῶντες δὲ ὁπλίτας ἐπιόντας σφίσιν, ἐκλεί-
πουσι τὰ ὑπὲρ τοῦ ποταμοῦ ἄκρα.
24 Ξενοφῶν δὲ, ἐπεὶ τὰ πέραν ἑώρα καλῶς γιγνόμενα,
ἀπεχώρει τὴν ταχίστην πρὸς τὸ διαβαῖνον στράτευμα.
(Καὶ γὰρ οἱ Καρδοῦχοι φανεροὶ ἤδη ἦσαν εἰς τὸ πεδίον

πάλιν] *Retro.* πόρος est via illa, ὁδὸς μία ἡ ἄγουσα ἄνω sect. 5. Sequens ταύτῃ in ταύτην mutant margo Steph. Paris. Eton. ut sect. 5. denique ἀποκλείσασθαι dant Paris. et Eton.

ἱππέας] Vulgatum ἱππεῖς ex more Xenophonteo correxit Zeune.

21. περῶντας] Hoc ex Eton. pro διαπερῶντας recepi. Ingressi enim erant Cherisophus cum suis fluvium, necdum evaserant ad ripam oppositam, cum fugerent equites hostium. Cf. sect. 23.

εἰς τοὔμπαλιν] Edd. vett. cum Guelf. εἰς omittunt. Cf. sect. 32. Sequens ὡς πρὸς τὴν ἀπὸ τοῦ π. dedi ex Eton. addito ὡς, quod vulgo deest; sed idem liber cum Paris. ἀπὸ male omittit.

22. ἔχων] Liber Paris. omittit. Ceterum hic Lycius Atheniensis intelligendus, de quo iii. 3, 20. alter erat Syracusanus i. 10, 14. Æschines erat Acarnan, infra cap. 8, 18.

ἐβόων μὴ ἀπολείπεσθαι] *Se non remansuros esse* interpretatur Weiske. Equidem deesse verba aliquot suspicor.

23. προσηκούσας ὄχθας] Sunt, quæ supra sect. 11. πέτραι καθήκουσαι ἐπ᾽ αὐτὸν τὸν ποταμὸν dicuntur et paulo post τὰ ἄκρα τὰ ὑπὲρ τοῦ ποταμοῦ.

τοὺς ἄνω] Equites hostium in collibus collocatos, ut supra sect. 3.

καταβαίνοντες, ὡς ἐπιθησόμενοι τοῖς τελευταίοις.) Καὶ 25
Χειρίσοφος μὲν τὰ ἄνω κατεῖχε, Λύκιος δὲ σὺν ὀλί-
γοις ἐπιχειρήσας ἐπιδιῶξαι, ἔλαβε τῶν σκευοφόρων τὰ
ὑπολειπόμενα, καὶ μετὰ τούτων ἐσθῆτά τε καλὴν καὶ
ἐκπώματα. Καὶ τὰ μὲν σκευοφόρα τῶν Ἑλλήνων καὶ 26
ὁ ὄχλος ἀκμὴν διέβαινε· Ξενοφῶν δὲ στρέψας πρὸς τοὺς
Καρδούχους ἀντία τὰ ὅπλα ἔθετο· καὶ παρήγγειλε τοῖς
λοχαγοῖς, κατ᾽ ἐνωμοτίας ποιήσασθαι ἕκαστον τὸν ἑαυ-
τοῦ λόχον, παρ᾽ ἀσπίδας παραγαγόντας τὴν ἐνωμοτίαν
ἐπὶ φάλαγγος· καὶ τοὺς μὲν λοχαγοὺς καὶ τοὺς ἐνωμο-
τάρχας πρὸς τῶν Καρδούχων ἰέναι, οὐραγοὺς δὲ καταστή-
σασθαι πρὸς τοῦ ποταμοῦ.

Οἱ δὲ Καρδοῦχοι, ὡς ἑώρων τοὺς ὀπισθοφύλακας τοῦ 27
ὄχλου ψιλουμένους, καὶ ὀλίγους ἤδη φαινομένους, θᾶτ-
τον δὴ ἐπῄεσαν, ᾠδάς τινας ᾄδοντες. Ὁ δὲ Χειρίσοφος,
ἐπεὶ τὰ παρ᾽ αὐτῷ ἀσφαλῶς εἶχε, πέμπει παρὰ Ξενο-
φῶντα τοὺς πελταστὰς καὶ σφενδονήτας καὶ τοξότας,
καὶ κελεύει ποιεῖν, ὅ τι ἂν παραγγέλλῃ. Ἰδὼν δὲ αὐ- 28
τοὺς καταβαίνοντας ὁ Ξενοφῶν, πέμψας ἄγγελον κε-
λεύει, αὐτοῦ μεῖναι ἐπὶ τοῦ ποταμοῦ μὴ διαβάντας· ὅταν
δ᾽ ἄρξωνται αὐτοὶ διαβαίνειν, ἐναντίους ἔνθεν καὶ ἔνθεν
σφῶν ἐμβαίνειν ὡς διαβησομένους, διηγκυλισμένους τοὺς

26. ἀκμὴν] Pro ἔτι dictum a solo Xenophonte tradit Mœris.

πρὸς τοὺς] Stephanus casu edidit καὶ pro πρός.

ἐνωμοτίας ποιήσασθαι] Quid sit, intelligitur ex libri iii. 4, 21. seqq. ubi est παράγειν ἔξωθεν τῶν κεράτων. Locum Arriani in Tacticis p. 21. posuit Hutchinson, ubi est: Ξενοφῶν δὲ, πόστον μὲν μέρος τοῦ λόχου ἡ ἐνωμοτία ἐστὶν, οὐ διασαφεῖ· ὅτι δὲ μεῖον καὶ πάντως τε τῷ ἡμίσει, δηλοῖ ἐν ᾧ λέγει, ὅτι οἱ λοχαγοὶ κατ᾽ ἐνωμοτίας ἕκαστος ἐποιήσαντο τὸν αὐτοῦ λόχον.

27. παραγγέλλῃ] Paris. liber παραγγέλῃ, Eton. παραγγέλλοι.

28. καταβαίνοντας] Ita cum vett. Edd. Guelf. Eton. διαβαίνοντας Stephanus edidit.

μὴ διαβάντας] Negationem addendam viderat Brodæus, eamque ex Paris. libro et Regiis A et B. inseruit Zeune. Margo Steph. διαβαίνοντας habet.

ἐμβαίνειν] Hoc pro ἐκβαίνειν ex Paris. libro recepit Zeune. Illud tamen revocavit Weiske.

διηγκυλισμένους] Margo Steph. Eton. et Paris. Codex dant διηγκυλωμένους. Vulgatam tuetur Hesychianum διηγκυλίσθαι, τὸ ἐνεῖραι τοὺς δακτύλους τῇ ἀγκύλῃ τοῦ ἀκοντίου, et Sui-

ἀκοντιστὰς, καὶ ἐπιβεβλημένους τοὺς τοξότας· μὴ πρόσω
29 δὲ τοῦ ποταμοῦ προβαίνειν. Τοῖς δὲ παρ' ἑαυτῷ παρήγγειλεν, ἐπειδὰν σφενδόνη ἐξικνῆται, καὶ ἀσπὶς ψοφῇ, παιανίσαντας θεῖν ἀεὶ ἐς τοὺς πολεμίους· ἐπειδὰν δὲ ἀναστρέψωσιν οἱ πολέμιοι, καὶ ἐκ τοῦ ποταμοῦ ὁ σαλπιγκτὴς σημήνῃ τὸ πολεμικὸν, ἀναστρέψαντας ἐπὶ δόρυ ἡγεῖσθαι μὲν τοὺς οὐραγοὺς, θεῖν δὲ πάντας ὅτιτάχιστα, καὶ διαβαίνειν, ᾗ ἕκαστος τὴν τάξιν εἶχεν, ὡς μὴ ἐμποδίζειν ἀλλήλους· ὅτι οὗτος ἄριστος ἔσοιτο, ὃς ἂν πρῶτος ἐν τῷ πέραν γένηται.

30 Οἱ δὲ Καρδοῦχοι, ὁρῶντες ὀλίγους ἤδη τοὺς λοιποὺς, (πολλοὶ γὰρ καὶ τῶν μένειν τεταγμένων ᾤχοντο ἐπιμελησόμενοι οἱ μὲν ὑποζυγίων, οἱ δὲ σκευῶν, οἱ δὲ ἑταιρῶν) ἐνταῦθα δὴ ἐπέκειντο θρασέως, καὶ ἤρχοντο σφενδονᾷν
31 καὶ τοξεύειν. Οἱ δὲ Ἕλληνες παιανίσαντες ὥρμησαν δρόμῳ ἐπ' αὐτούς· οἱ δ' οὐκ ἐδέξαντο· καὶ γὰρ ἦσαν ὡπλισμένοι, ὡς μὲν ἐν τοῖς ὄρεσιν, ἱκανῶς πρὸς τὸ ἐπιδραμεῖν καὶ φεύγειν, πρὸς δὲ τὸ εἰς χεῖρας δέχεσθαι
32 οὐχ ἱκανῶς. Ἐν τούτῳ σημαίνει ὁ σαλπιγκτής· καὶ οἱ μὲν πολέμιοι ἔφευγον πολὺ ἔτι θᾶττον· οἱ δ' Ἕλληνες

das, qui habet: *διηγκυλημένον· τὸ ἀκόντιον μεταχειριζόμενον· ἀντὶ τοῦ ἐν μασχάλῃ κρατῶν τὸ δόρυ*, ubi deinde laudat locum nostri v. 2, 12. ubi Eton. pariter dat *διηγκυλωμένους*.

προβαίνειν] Ita Eton. liber pro *προδιαβαίνειν*. Sect. 34. de iisdem est: *προσωτέρω τοῦ καιροῦ προϊόντες*. In Arriani Anab. vi. 26, 2. *τὸ δὲ ἦν πρόσθεν τῆς ὁδοῦ* dederant librarii, ubi Arrianus *πρόσω* scripsisse mihi videtur.

29. *ἀσπὶς ψοφῇ*] Ab ictu telorum. Male Weiske cum Zeunio ad pulsatos a militibus clypeos refert, ut monuit etiam Halbkart.

ἐς τοὺς πολεμίους] Liber Eton. *ἐπὶ τ. πολ.* dat.

ἀναστρέψαντας] Male Edd. vett. cum Guelf. *ἀναστρέψαντες* habent. Hellenic. vi. 5, 18. *τὰ ὅπλα πρὸς τοὺς πολεμίους φαίνων, ἀναστρέψαντας ἐκέλευε τοὺς ἀπ' οὐρᾶς εἰς δόρυ ὄπισθεν τῆς φάλαγγος ἡγεῖσθαι πρὸς αὐτόν.*

30. *τοὺς λοιποὺς*] Intelligit *τοὺς ὀπισθοφύλακας* sect. 27. Male *οὐραγοὺς* eosdem cum *ὀπισθοφύλαξι* esse censebat Halbkart. Deinde *ἐπιμελόμενοι* dat Eton. liber cum Paris. Postea *σκευῶν* Paris. recepi in locum vulgati *σκευοφόρων*.

ἑταιρῶν] Vulgatum *ἑταίρων* ita mutavit Zeune. Scripturam marginis Steph. Paris. Eton. Regii B. *ἑτέρων* vertit Leonclavius *res alias*.

ἤρχοντο] Vulgatum *ἤρξαντο* ex Paris. et Eton. correxi.

τὰ ἐναντία στρέψαντες, ἔφευγον διὰ τοῦ ποταμοῦ ὅτιτά-
χιστα. Τῶν δὲ πολεμίων οἱ μέν τινες αἰσθόμενοι, πά- 33
λιν ἔδραμον ἐπὶ τὸν ποταμὸν, καὶ τοξεύοντες ὀλίγους
ἔτρωσαν· οἱ δὲ πολλοὶ, καὶ πέραν ὄντων τῶν Ἑλλήνων,
ἔτι φανεροὶ ἦσαν φεύγοντες. Οἱ δὲ ὑπαντήσαντες ἀν- 34
δριζόμενοι, καὶ προσωτέρω τοῦ καιροῦ προϊόντες, ὕστερον
τῶν μετὰ Ξενοφῶντος διέβησαν πάλιν· καὶ ἐτρώθησάν
τινες καὶ τούτων.

CAP. IV.

ΕΠΕΙ δὲ διέβησαν ἀμφὶ μέσον ἡμέρας, συνταξάμενοι
ἐπορεύθησαν διὰ τῆς Ἀρμενίας πεδίον ἅπαν καὶ λείους
γηλόφους, οὐ μεῖον ἢ πέντε παρασάγγας· οὐ γὰρ ἦσαν
ἐγγὺς τοῦ ποταμοῦ κῶμαι, διὰ τοὺς πολέμους τοὺς πρὸς
Καρδούχους. Εἰς δὲ ἣν ἀφίκοντο κώμην, μεγάλη τε ἦν, 2
καὶ βασίλειόν τε εἶχε τῷ σατράπῃ, καὶ ἐπὶ ταῖς πλεί-
σταις οἰκίαις τύρσεις ἐπῆσαν· ἐπιτήδεια δ' ἦν δαψιλῆ.
Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς δύο παρασάγγας 3
δέκα, μέχρις ὑπερῆλθον τὰς πηγὰς τοῦ Τίγρητος ποτα-

32. τὰ ἐναντία] Hutchinson ἐς τὰ ἐναντία scribendum censebat, ut supra sect. 21. εἰς τοὔμπαλιν, ubi tamen Edd. vett. cum Guelf. εἰς omittunt.

33. αἰσθόμενοι] Ita liber Paris. Vulgo αἰσθανόμενοι. Pro ὀλίγους Edd. vett. cum Guelf. ἀλλήλους habent.

34. ὑπαντήσαντες] Sunt milites a Cherisopho submissi sect. 27. et 28.

1. λείους] Vel arboribus non obsitos, vel minime asperos. Λεῖος opponitur δασὺς de Republ. Athen. ii. 12. sed alteram notionem recte præfert h. l. Weiske.

ἐγγὺς] Eton. liber πλησίον dat. deinde πρὸς τοὺς Καρδούχους Guelf.

2. τῷ σατράπῃ] Τηρίβαζον nominat σατράπην Ἀρμενίας Diodorus xiv. 27. at noster sect. 4. ὕπαρχον Ἀρμενίας τῆς πρὸς ἑσπέραν. Iterum libri viii. cap. 8. extremo Φασιανῶν καὶ Ἑσπεριτῶν Τηρίβαζος ἄρχων dicitur. Armenia vero non commemoratur. Σατράπης idem videtur esse cum ὑπάρχῳ. Sed noster supra iii. 5, 17. εἰς Ἀρμενίαν ἥξειν, ἧς Ὀρόντας ἦρχε, πολλῆς καὶ εὐδαίμονος. Igitur statuere oportet geminos præfectos Armeniam habuisse, Orontam satrapam et Teribazum ὕπαρχον. Apud Arrianum Anab. iii. 8, 9. Ἀρμενίων in exercitu Alexandri Ὀρόντης καὶ Μιθραύστης ἦρχεν.

τύρσεις ἐπῆσαν] Edd. vett. ἐπήεσαν, Guelf. ἐποίησαν.

3. παρασάγγας δέκα] Male Edd. vett. cum Guelf. et Eton. τρεῖς habent.

πηγὰς τοῦ Τίγρητος] Plinius: *Oritur Tigris in regione Armeniæ majoris fonte conspicuo.* Amasæi versio Πίγρητος reddidit.

μοῦ. Ἐντεῦθεν δ᾽ ἐπορεύθησαν σταθμοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Τηλεβόαν ποταμόν. Οὗτος δ᾽ ἦν μέγας μὲν οὔ, καλὸς δέ· κῶμαι δὲ πολλαὶ
4 περὶ τὸν ποταμὸν ἦσαν. Ὁ δὲ τόπος οὗτος Ἀρμενία ἐκαλεῖτο ἡ πρὸς ἑσπέραν. Ὕπαρχος δ᾽ αὐτῆς ἦν Τηρίβαζος, ὁ καὶ βασιλεῖ φίλος γενόμενος· καὶ ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλλεν.
5 Οὗτος προσήλασεν ἱππέας ἔχων, καὶ προπέμψας ἑρμηνέα, εἶπεν, ὅτι βούλοιτο διαλεχθῆναι τοῖς ἄρχουσι. Τοῖς δὲ στρατηγοῖς ἔδοξεν ἀκοῦσαι· καὶ προσελθόντες εἰς
6 ἐπήκοον, ἠρώτων, τί θέλοι. Ὁ δὲ ἔλεγεν, ὅτι σπείσασθαι βούλοιτο, ἐφ᾽ ᾧ μήτ᾽ αὐτὸς τοὺς Ἕλληνας ἀδικεῖν, μήτ᾽ ἐκείνους καίειν τὰς οἰκίας, λαμβάνειν τε τὰ ἐπιτήδεια, ὅσων δέοιντο. Ἔδοξε ταῦτα τοῖς στρατηγοῖς, καὶ ἐσπείσαντο ἐπὶ τούτοις.

7 Ἐντεῦθεν ἐπορεύθησαν σταθμοὺς τρεῖς, διὰ τοῦ πεδίου, παρασάγγας πεντεκαίδεκα· καὶ Τηρίβαζος παρηκολούθει, ἔχων τὴν ἑαυτοῦ δύναμιν, ἀπέχων ὡς δέκα σταδίους· καὶ ἀφίκοντο εἰς βασίλεια καὶ κώμας πέριξ
8 πολλάς, πολλῶν τῶν ἐπιτηδείων μεστάς. Στρατοπεδευομένων δ᾽ αὐτῶν γίνεται τῆς νυκτὸς χιὼν πολλή· καὶ

μέγας μὲν οὔ, καλὸς δέ] Vulgatum ordinem καλὸς μὲν, μέγας δ᾽ οὔ ex Demetrio Phalereo sect. 6. et 121. primus mutari jussit Muretus, cui cum Hutchinsono paruerant ceteri Editores. Compara cap. 8, 2. Symposii 2, 19. Valckenaer ad Herodotum viii. p. 646.

4. φίλος γενόμενος] De eo compara Plutarchi Artaxerxen cap. 24. 27. 28. 29. ubi ab Artaxerxe occisus narratur homo levis et inconstans.

ἀνέβαλλεν] Suidas in h. v. laudat h. l. sed in παρείη explicatio ejus ἀνεβίβαζεν occupat locum verbi ἀνέβαλλεν. Verbo utitur noster in Cyrop. vii. 1, 38. Utroque utitur de Re equestri vi. 12. ubi additur τὸν Περσικὸν τρόπον, de quo Hipparchici i. 17. repetit. Hinc ἀναβολεὺς Plutarcho et Appiano Punicorum 106.

6. ὁ δὲ ἔλεγεν] Eton. ὁ δὲ εἶπεν dat.

7. διὰ τοῦ πεδίου] Eton. articulum omittit, recte, puto, ut cap. 5. sect. 3. et alibi. Sequentia βασίλεια videntur Teribazi ὑπάρχου fuisse, ut supra sect. 2. erat βασίλειον τῷ σατράπῃ, Orontæ, credo.

8. χιὼν πολλή] Diodorus xiv. 28. Ὁδοιποροῦντες δὲ διὰ τῶν Ἀρμενίων ὀρῶν ἐλήφθησαν ὑπὸ χιόνος πολλῆς καὶ παρεκινδύνευσαν ἀπολέσθαι πάντες. Τοῦ γὰρ ἀέρος τεταραγμένου τὸ μὲν πρῶτον κατ᾽ ὀλίγον ἤρξατο χιὼν πίπτειν ἐκ τοῦ περιέ-

ἕωθεν ἔδοξε διασκηνῆσαι τὰς τάξεις καὶ τοὺς στρατηγοὺς
κατὰ τὰς κώμας· οὐ γὰρ ἑώρων πολέμιον οὐδένα, καὶ
ἀσφαλὲς ἐδόκει εἶναι, διὰ τὸ πλῆθος τῆς χιόνος. Ἐν- 9
ταῦθα εἶχον πάντα τὰ ἐπιτήδεια, ὅσα ἐστὶν ἀγαθὰ,
ἱερεῖα, σῖτον, οἴνους παλαιοὺς εὐώδεις, ἀσταφίδας, ὄσπρια
παντοδαπά. Τῶν δὲ ἀποσκεδαννυμένων τινὲς ἀπὸ τοῦ
στρατοπέδου ἔλεγον, ὅτι κατίδοιεν στράτευμα, καὶ νύκτωρ
πολλὰ πυρὰ φαίνοιτο. Ἐδόκει δὴ τοῖς στρατηγοῖς οὐκ 10

χοντος, ὥστε τοὺς ὁδοιποροῦντας μηδὲν ἐμποδίζεσθαι τῆς εἰς τοὔμπροσθεν πορείας· μετὰ δὲ ταῦτα πνεύματος ἐπιγενομένου μᾶλλον ἀεὶ κατεῤῥίπτετο καὶ τὴν χώραν ἐπεκάλυπτεν, ὥστε μηκέτι δύνασθαι μήτε τὰς ὁδοὺς μήτε ὁλοσχερῶς τὰς ἰδιότητας τῶν τόπων θεωρεῖσθαι. Διόπερ ἀθυμία τὸ στρατόπεδον ὑπεδύετο καὶ δέος, ἀνακάμπτειν μὲν εἰς ἀπώλειαν οὐ βουλομένων, προάγειν δὲ διὰ τὸ πλῆθος τῶν χιόνων οὐ δυναμένων.

κατὰ τὰς κώμας] Liber Paris. et Eton. *κ. τ. χώρας* habet.

9. *πάντα*] Iidem libri omittunt; deinceps *ἱερεῖον* dant Edd. vett. cum Guelf. postea *σταφίδας* Eton. *σταφίδα* Paris.

10. *ἐδόκει δὴ*] Castalio *δὲ* dedit et *οὖν* post *πάλιν* inseruit, quod recepit Zeune.

διαιθριάζειν] Liber Paris. cum Eton. *συναιθριάζειν* dedit, quod recipiendum judicavi, quoniam vulgatum ex analogia verbi *διασκηνοῦν* significabit *sub dio separatim agere*, cum h. l. duces copias dispersas cogere et confertas sub dio habere paratas ad hostem excipiendum vellent.

[*Ἐδόκει δὴ τοῖς στρατηγοῖς οὐκ ἀσφαλὲς εἶναι διασκηνοῦν, ἀλλὰ συναγαγεῖν τὸ στράτευμα. Πάλιν ἐντεῦθεν συνῆλθον, καὶ γὰρ ἐδόκει συναιθριάζειν*] Pudet me, Buttmanne, erroris sane non levis, quem mihi obtulit Index Zeunianus, dum vulgatum *διαιθριάζειν* interpretatur cum aliis *sub dio agere*; quo nihil poterat magis alienum a sententia loci excogitari. Rectam interpretationem ipse antea fueram secutus in Lexico græco; sed dum Codicum duorum Paris. et Eton. cetera præstantissimorum lectionem diversam nimis cupide persequor, ipse in gravem incidi errorem. Restituendum igitur est vetus verbum *διαιθριάζειν*, quod *disserenare* interpretatus est in Thesauro H. Stephanus; addit tamen ibidem alios exponere *sub dio agere*. Quæ quidem notio huic composito tribui non potest, etiamsi simplex *αἰθριάζειν* significare videatur *in sereno cælo versari* in loco Gregorii Nazianzeni posito a Stephano: *νῦν μάρτυρες αἰθριάζουσι καὶ πομπεύουσι*. Xenophon uti dispersarum per vicos copiarum rationem duplicem ediderat antea: *οὐ γὰρ ἑώρων πολέμιον οὐδένα, καὶ ἀσφαλὲς ἐδόκει εἶναι διὰ τὸ πλῆθος τῆς χιόνος·* ita nunc pariter contractarum et in unum locum congregatarum copiarum sub dio rationem pariter geminam reddit. Hostium enim in vicinia degentium ignes nocturni conspecti fuerant, et cœlum disserenari visum promittebat Græcis iter per montes non adeo incommodum nec erroribus obnoxium. Sed spem eorum fefellit cœlum, unde proxima nocte copiosa iterum nix decidit. Verbum *διαιθριάζω* igitur h. l. usurpatur simili ratione, ut in *αἰθριάζω*, *ἀπαιθριάζω*, *ἐξαιθριάζω*. Aliud compositi exemplum adhuc desidero. Vocabuli *δίαιθρος* pro *διαφανὴς* positi exemplum ex Hippocrate posui in Lexico, unde derivatum *διαιθρόω* restitui Heraclito de Allegoriis in eodem Lexico sub voc. *ἐπαχλύω*; nunc video Synesium de Insomniis p. 139. verbo *ἀπαιθρόω* uti, quod in vulgatis editionibus *ἀπαιθερόω* scriptum legitur. Ceterum in hoc ipso loco, quem Castalio inserta particula *οὖν* post *πάλιν* interpolaverat, superest tamen adhuc mendum, quod ipsum Castalioni occa-

ἀσφαλὲς εἶναι διασκηνοῦν, ἀλλὰ συναγαγεῖν τὸ στρά-
τευμα. Πάλιν ἐντεῦθεν συνῆλθον· καὶ γὰρ ἐδόκει συν-
11 αιθριάζειν. Νυκτερευόντων δ' αὐτῶν ἐνταῦθα, ἐπι-
πίπτει χιὼν ἄπλετος, ὥστε ἀπέκρυψε καὶ τὰ ὅπλα καὶ
τοὺς ἀνθρώπους κατακειμένους, καὶ τὰ ὑποζύγια συνε-
πέδησεν ἡ χιών· καὶ πολὺς ὄκνος ἦν ἀνίστασθαι· κατα-
κειμένων γὰρ ἀλεεινὸν ἦν ἡ χιὼν ἐπιπεπτωκυῖα, ὅτῳ μὴ
12 παραῤῥυείη. Ἐπεὶ δὲ Ξενοφῶν ἐτόλμησε γυμνὸς ὢν
ἀναστὰς σχίζειν ξύλα, τάχα ἀναστάς τις καὶ ἄλλος
ἐκείνου ἀφελόμενος ἔσχισεν. Ἐκ δὲ τούτου καὶ οἱ ἄλ-
13 λοι ἀναστάντες πῦρ ἔκαιον καὶ ἐχρίοντο· πολὺ γὰρ ἐν-
ταῦθα εὑρίσκετο χρίσμα, ᾧ ἐχρῶντο ἀντ' ἐλαίου, σύειον
καὶ σησάμινον καὶ ἀμυγδάλινον, ἐκ τῶν πικρῶν, καὶ

sionem emendationis non necessariæ præbuisse videtur. Verborum scilicet series aliter distinguenda est et scribendum: Ἐδόκει δὴ—ἀλλὰ συναγαγεῖν τὸ στράτευμα πάλιν. Ἐντεῦθεν συνῆλθον· καὶ γὰρ &c. *Ex Epistola.*]

11. ἀλεεινὸν] Laudo Weiskium, qui ineptum ἐλεεινὸν correxerit. Liber Eton. γὰρ ἐλεεινὸν ἦν ἡ χιὼν dedit pro vulgatis δὲ ἐλεεινὸν ἦν χιών. Denique Suidas sub voc. ἀλεεινὸς ex h. l. laudat: χιόνος γὰρ πεπτωκυίας ὄκνος ἦν πολὺς ἀνίστασθαι· κατακειμένων δὲ ἀλεεινὸς ἦν ὁ χειμὼν, ὅτῳ μὴ παραῤῥυείη ἡ χιών. Suidæ locum annotavit etiam vir doctus in Editione Cantabr. 1785. sed de diversitate lectionis non judicavit.

12. γυμνὸς ὢν] Ex Eton. ὢν accessit: sequens τάχα idem liber retrahit et cum ἐπεὶ copulat post ὢν positum. Sed noster Cyrop. i. 6, 15. ἐπεὶ ἐν τῷ τέλει ἐγενόμην, εὐθὺς τούτου ἐπεμελήθην. et alibi ἐπειδὰν τάχιστα sequente εὐθὺς ponit, veluti de Laced. rep. ii. 1. deinceps Edd. vett. cum Guelf. σχίσειν et mox, σχίζειν dant.

13. εὑρίσκετο χρίσμα] Vulgatam scripturam ηὕρισκον τὸ χρίσμα ex libro Paris. et Eton. correxi. Margo Villois. εὑρίσκοντο dat. Zeune ex Guelf. εὕρισκον τὸ edidit. Articulus τὸ tolerari non poterat. Compara Theophrastum de Odoribus p. 444. ed. Heinsii: τῷ δὲ χρίσματι τῷ ἐκ τῶν πικρῶν ἀμυγδάλων. πολλὰ δὲ γίνεται περὶ Κιλικίαν, καὶ ποιοῦσιν ἐξ αὐτῶν χρίσμα, ubi non magis licebat scribere τὸ χρίσμα, nisi peculiare aliquod unguentum ita appellatum intelligi voluisset scriptor. Sequens μύρον pro μῦρον dedi admonente Porsono.

σύειον] Liber Paris. et Eton. συϊνὸν dant. Brodæus κίκινον, Muretus Var. Lect. 19, 5. σούσινον conjiciebat scribendum. Sed susinum μύρον, non χρίσμα, memorant scriptores veteres, quod ex oleo vulgari mistis floribus liliorum conficiebatur. Præterea idem Muretus θύειον conjecit. Weiske absonum et pæne ridiculum judicavit inter oleorum genera e plantis confecta primo loco adipem suillam commemorari, cum omnino ad unguenta nihil fere ex animalium corporibus admiscuerint. Sed unguenta sunt μύρα, Xenophon autem hic memorat χρίσματα. Deinceps Edd. vett. cum Guelf. dant σεσάμινον. Cf. Curtii vii. 4, 23. Pro πικρῶν est in iisdem libris πυρῶν, jam olim correctum a Turnebo ad locum Theophrasti supra laudatum p. 20.

τερεβίνθινον. Ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ μύρον εὑρί-
σκετο.
Μετὰ ταῦτα πάλιν ἐδόκει διασκηνητέον εἶναι κατὰ 14
τὰς κώμας εἰς στέγας. Ἔνθα δὴ οἱ στρατιῶται σὺν
πολλῇ κραυγῇ καὶ ἡδονῇ ἔθεον ἐπὶ τὰς στέγας καὶ τὰ
ἐπιτήδεια· ὅσοι δὲ, ὅτε τοπρότερον ἀπῄεσαν, τὰς οἰκίας
ἐνέπρησαν, ὑπὸ τῆς αἰθρίας δίκην ἐδίδοσαν κακῶς σκη-
νοῦντες. Ἐντεῦθεν ἔπεμψαν τῆς νυκτὸς Δημοκράτην 15
Τεμενίτην, ἄνδρας δόντες, ἐπὶ τὰ ὄρη, ἔνθα ἔφασαν οἱ
ἀποσκεδαννύμενοι καθορᾷν τὰ πυρά· οὗτος γὰρ ἐδόκει
καὶ πρότερον πολλὰ ἤδη ἀληθεῦσαι τοιαῦτα, τὰ ὄντα τε
ὡς ὄντα, καὶ τὰ μὴ ὄντα ὡς οὐκ ὄντα. Πορευθεὶς δὲ, 16
τὰ μὲν πυρὰ οὐκ ἔφη ἰδεῖν, ἄνδρα δὲ συλλαβὼν ἧκεν
ἄγων, ἔχοντα τόξον Περσικὸν, καὶ φαρέτραν, καὶ σάγα-
ριν, οἵανπερ καὶ αἱ Ἀμαζόνες ἔχουσιν. Ἐρωτώμενος δὲ 17
[τὸ] ποδαπὸς εἴη, Πέρσης μὲν ἔφη εἶναι, πορεύεσθαι δὲ
ἀπὸ τοῦ Τηριβάζου στρατεύματος, ὅπως ἐπιτήδεια λά-
βοι. Οἱ δ᾽ ἠρώτων αὐτὸν, τὸ στράτευμα ὁπόσον τε εἴη,

14. κατὰ τὰς κώμας] Præpositionem vulgo omissam ex comparatis locis sect. 8. et cap. 5. sect. 23. addidit cum Hutchinsono Weiske, quam commode intelligi posse censebat Zeune. Suidas in διασκηνητέον ex h. l. laudat εἰς τὰς κώμας, et in Guelf. manus recentior εἰς addidit.

κραυγῇ] Liber Eton. omisit, et pro ᾔεσαν vulgato dedit ἔθεον, tempus commodius.

ὑπὸ τῆς αἰθρίας] Cod. Paris. ὑπὸ ἀτασθαλίας. Suidas h. l. ita laudat: οἱ δὲ τὰς οἰκίας ἐμπρήσαντες δίκην ἔδοσαν ὑπὸ τῆς αἰθρίας κακῶς σκηνοῦντες. quem verborum ordinem Xenophonti restitui voluit Porson. Paulo antea Paris. habet ὅσοι πρότερον ἀπήεσαν καὶ τὰς οἰκίας.

15. Τεμενίτην] Hutchinson comparavit Stephani Byzantini locum: Τεμενεία πόλις Φρυγίας πρὸς τῇ Λυκαονίᾳ· τὸ ἐθνικὸν Τεμενεύς: alterumque: Τέμενος τόπος Σικελίας—ὁ οἰκήτωρ Τεμενίτης. Zeune ex Temenio urbe maritima Argolidis arcessit hominem; sed ita Τημενίτην scriptum oportuerat ex Strabonis libro viii. et Stephano. Quid si Τημνίτην, ex Temno, Æolidis urbe, oriundum, conjecero?

16. οἵανπερ καὶ αἱ] Copulam καὶ ex Eton. libro inserui. Suidas σάγαρι, οἵανπερ αἱ ex h. l. laudavit in h. v. de scriptura sine ς diserte monens.

17. [τὸ] ποδαπὸς] Articulum τὸ omittit liber Eton. cum Suida in v. ποδαπός. Paris. Codex dat ποταπός. Exemplum simile articuli post ἐρωτᾷν additi desidero, et loca in Editione Cantabrig. 1785. p. xx. allata, minime similia sunt. Quare seclusi.

πορεύεσθαι] Edd. vett. cum Guelf. στρατεύεσθαι dant.

18 καὶ ἐπὶ τίνι συνειλεγμένον. Ὁ δὲ εἶπεν, ὅτι Τηρίβαζος
εἴη ἔχων τήν τε ἑαυτοῦ δύναμιν, καὶ μισθοφόρους Χάλυ-
βας καὶ Ταόχους· παρεσκευάσθαι δὲ αὐτὸν ἔφη, ὡς ἐπὶ
τῇ ὑπερβολῇ τοῦ ὄρους ἐν τοῖς στενοῖς, ᾗπερ μοναχῇ εἴη
πορεία, ἐνταῦθα ἐπιθησόμενον τοῖς Ἕλλησιν.
19 Ἀκούσασι τοῖς στρατηγοῖς ταῦτα ἔδοξε τὸ στράτευμα
συναγαγεῖν· καὶ εὐθὺς, καταλιπόντες φύλακας καὶ
στρατηγὸν ἐπὶ τοῖς μένουσι Σοφαίνετον Στυμφάλιον, ἐπο-
20 ρεύοντο, ἔχοντες ἡγεμόνα τὸν ἁλόντα ἄνθρωπον. Ἐπειδὴ
δὲ ὑπερέβαλον τὰ ὄρη, οἱ πελτασταὶ προϊόντες καὶ κατι-
δόντες τὸ στρατόπεδον, οὐκ ἔμειναν τοὺς ὁπλίτας, ἀλλ᾽
21 ἀνακραγόντες ἔθεον ἐπὶ τὸ στρατόπεδον. Οἱ δὲ βάρβα-
ροι, ἀκούσαντες τὸν θόρυβον, οὐχ ὑπέμειναν, ἀλλ᾽ ἔφευ-
γον· ὅμως δὲ ἀπέθανόν τινες τῶν βαρβάρων· καὶ ἵπποι
ἥλωσαν ὡς εἴκοσι, καὶ ἡ σκηνὴ ἡ Τηριβάζου ἑάλω, καὶ ἐν
αὐτῇ κλίναι ἀργυρόποδες, καὶ ἐκπώματα, καὶ οἱ ἀρτο-
22 κόποι καὶ οἱ οἰνοχόοι φάσκοντες εἶναι. Ἐπεὶ δὲ ἐπύ-
θοντο ταῦτα οἱ τῶν ὁπλιτῶν στρατηγοὶ, δοκεῖ αὐτοῖς ἀπιέ-
ναι τὴν ταχίστην ἐπὶ τὸ στρατόπεδον, μή τις ἐπίθεσις
γένοιτο τοῖς καταλελειμμένοις. Καὶ εὐθὺς ἀνακαλε-

18. δὲ αὐτὸν—ᾗπερ μοναχῇ] Edd. vett. δ᾽ ἑαυτὸν, deinceps cum Guelf. εἴπερ habent. Sequens μοναχῇ pro vulgato μοναχὴ, frustra defenso a Salmasio Exercit. p. 824. adscivi ex Suida h. v. qui μοναχῶς interpretatur. Idem male ἐπιθησόμενοι ex h. l. retulit. Recte Weiske comparat Atticorum ἀλλαχῇ, πολλαχῇ, πανταχῇ, ἐνιαχῇ et similes formas; et ᾗ μοναχῇ interpretatur *quo uno loco*. In Platonis Symposio est μοναχοῦ ἐνταῦθα.

21. ὡς εἴκοσι] Liber Eton. εἰς εἴκοσι habet; idem articulum ἡ post σκηνὴ dedit, quem cum vulgatis libris neglexit Weiske.

ἀρτοκόποι] Ita margo Steph. cum libro Paris. et Eton. Ante Zeunium legebatur ἀρτοποιοί. Pollux ἀρτοκόπος vocabulum e Xenophonte memoravit vii. 21. Vulgatum legitur ἀρτοκόπος vocabulum Hellenicorum vii. 1, 26. Ante οἰνοχόοι articulus οἱ deest in Edd. vett. et Guelf.

22. Ἐπεὶ] Eton. ἐπειδή. Sequens ταῦτα pro vulgato πάντα ex eodem et Paris. libro adscivi. Ex reducibus peltastis audiverant facta.

δοκεῖ] Paris. liber ἐδοκεῖ scriptum habet. Sequens γένοιτο ex eodem et Eton. dedi pro γένηται.

καταλελειμμένοις] Aldina καταλελειμένοις, Eton. ἐπιλελειμένοις dat. Sunt, de quibus sect. 19. καταλιπόντες φύλακας καὶ στρατηγοὺς ἐπὶ τοῖς μένουσι. et græcum στρατόπεδον, non Persarum bis intelligendum est.

σάμενοι τῇ σάλπιγγι ἀπῄεσαν, καὶ ἀφίκοντο αὐθημερὸν
ἐπὶ τὸ στρατόπεδον.

CAP. V.

ΤΗ͂Ι δ' ὑστεραίᾳ ἐδόκει πορευτέον εἶναι, ᾗ δύναιντο
τάχιστα, πρὶν συλλεγῆναι τὸ στράτευμα πάλιν, καὶ
καταλαβεῖν τὰ στενά. Συσκευασάμενοι δ' εὐθὺς, ἐπο-
ρεύοντο διὰ χιόνος πολλῆς, ἡγεμόνας ἔχοντες πολλούς·
καὶ αὐθημερὸν ὑπερβαλόντες τὸ ἄκρον, ἐφ' ᾧ ἔμελλεν
ἐπιτίθεσθαι Τηρίβαζος, κατεστρατοπεδεύσαντο. Ἐν- 2
τεῦθεν ἐπορεύθησαν σταθμοὺς ἐρήμους τρεῖς παρασάγ-
γας πεντεκαίδεκα ἐπὶ τὸν Εὐφράτην ποταμὸν, καὶ διέ-
βαινον αὐτὸν βρεχόμενοι πρὸς τὸν ὀμφαλόν. Ἐλέγοντο
δὲ αὐτοῦ αἱ πηγαὶ οὐ πρόσω εἶναι. Ἐντεῦθεν ἐπορεύοντο 3
διὰ χιόνος πολλῆς καὶ πεδίου σταθμοὺς τρεῖς παρα-
σάγγας πεντεκαίδεκα. Ὁ δὲ τρίτος ἐγένετο χαλεπὸς,

ἀφίκοντο] Ita cum Paris. liber Eton. Vulgo erat *ἀφικνοῦνται*. Ceterum Weiske ita ad h. l. *Regressi non ad castra iter confecerunt, sed e montibus fortasse tuba excitarunt relictos, et cum his conjuncti ad castra peltastarum eodem die pervenerunt.* Quæ mihi plane falsa et a narratione Xenophontis abhorrens esse videtur annotatio. Recte etiam de errore viri docti monuit Halbkart, sed is *ἀνακαλεσάμενοι* item male ad peltastas retulit. Dispersos per montes milites et e castris egressos tuba convocant, quo celerius convenirent.

2. *τρεῖς, παρὰ*] Margo Steph. cum libro Brodæi, Paris. Eton. dant *τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Εὐφράτ.* Vulgo omissa erant verba *παρ. πεντ.* et *παρὰ τὸν Εὐφ.* legebatur. Equidem librorum præstantissimorum auctoritatem sequi non dubitavi, quanquam testimonium aliud adhibere non licet, quo Græcorum iter illustretur, quod secundum fluvium Euphratem hucusque factum fuerit per montes; non magis vero appareret aliunde, num recte Græci hucusque per montes remoti ab Euphrate profecti esse dicantur. Ceterum Euphratis orientis brachium meridionale intelligendum esse monet Mannert Geogr. v. p. 203.

3. *ὁ δὲ τρίτος*] Intellige *σταθμός*. Diodorus xiv. 28. post verba posita supra ad sect 8. ita pergit: *τοῦ δὲ χειμῶνος ἐπίτασιν λαμβάνοντος, ἐπεγενήθη πνευμάτων μέγεθος μετὰ πολλῆς χαλάζης, ὥστε, τοῦ συρμοῦ κατὰ πρόσωπον ὄντος, ἀναγκασθῆναι καθίσαι τὴν δύναμιν ἅπασαν· ἕκαστος γὰρ τὴν ἐκ τῆς ὁδοπορίας κακοπάθειαν ὑπομένειν ἀδυνατῶν, ὅπου ποτὲ τύχοι, μένειν ἠναγκάζετο. Ἀποροῦντες δὲ πάντες τῶν ἀναγκαίων, ἐκείνην μὲν τὴν ἡμέραν καὶ τὴν νύκτα διεκαρτέρουν ὑπαίθριοι πολλοῖς συνεχόμενοι κακοῖς· διὰ γὰρ τὸ πλῆθος τῆς κατὰ τὸ συνεχὲς ἐπιχεομένης χιόνος τά τε ὅπλα πάντα συνεκαλύφθη καὶ τὰ σώματα διὰ τὴν ἀπὸ τῆς αἰθρίας πάγον περιεψύχετο· διά τε τὴν ὑπερβολὴν τῶν κακῶν ὅλην τὴν νύκτα διηγρύπνουν. Καί τινες μὲν πῦρ ἐκκαύσαντες τῆς ἀπὸ τούτου βοηθείας ἐτύγ-*

καὶ ἄνεμος Βοῤῥᾶς ἐναντίος ἔπνει, παντάπασιν ἀποκαίων
4 πάντα, καὶ πηγνὺς τοὺς ἀνθρώπους. Ἔνθα δὴ τῶν
μάντεών τις εἶπε σφαγιάζεσθαι τῷ ἀνέμῳ· καὶ σφα-
γιάζεται· καὶ πᾶσι δὴ περιφανῶς ἔδοξε λῆξαι τὸ χαλε-
πὸν τοῦ πνεύματος. Ἦν δὲ τῆς χιόνος τὸ βάθος ὀργυιά·
ὥστε καὶ τῶν ὑποζυγίων καὶ τῶν ἀνδραπόδων πολλὰ
5 ἀπώλετο, καὶ τῶν στρατιωτῶν ὡς τριάκοντα. Διεγένοντο
δὲ τὴν νύκτα πῦρ καίοντες· ξύλα δ' ἦν ἐν τῷ σταθμῷ
πολλά· οἱ δὲ ὀψὲ προσιόντες ξύλα οὐκ εἶχον. Οἱ οὖν
πάλαι ἥκοντες καὶ πῦρ καίοντες οὐ προσίεσαν πρὸς τὸ
πῦρ τοὺς ὀψίζοντας, εἰ μὴ μεταδοῖεν αὐτοῖς πυροὺς, ἢ
6 ἄλλο τι ὧν ἔχοιεν βρωτῶν. Ἔνθα δὴ μετεδίδοσαν ἀλ-
λήλοις, ὧν εἶχον ἕκαστοι. Ἔνθα δὲ τὸ πῦρ ἐκαίετο,
διατηκομένης τῆς χιόνος βόθροι ἐγίγνοντο μεγάλοι ἔστε

χανον, τινὲς δὲ περικαταληφθέντες ὑπὸ τοῦ πάθους τὰ σώματα, πᾶσαν ἀπεγίνωσκον ἐπικουρίαν, τῶν ἀκρωτηρίων αὐτοῖς σχεδὸν ἁπάντων ἀπονεκρουμένων. Διόπερ ὡς ἡ νὺξ διῆλθε, τῶν θ' ὑποζυγίων τὰ πλεῖστα εὑρέθη διεφθαρμένα, καὶ τῶν ἀνδρῶν πολλοὶ μὲν τετελευτηκότες, οὐκ ὀλίγοι δὲ τὴν μὲν ψυχὴν ἔχοντες ἔμφρονα, τὸ δὲ σῶμα διὰ τὸν πάγον ἀκίνητον· ἔνιοι δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐτυφλώθησαν διά τε τὸ ψύχος καὶ τὴν ἀνταύγειαν τῆς χιόνος· καὶ τελείως ἂν ἅπαντες διεφθάρησαν, εἰ μὴ βραχὺ διελθόντες εὗρον κώμας γεμούσας τῶν ἐπιτηδείων. Ad quem locum scriptorum aliorum testimonia de Armeniæ situ et aere frigidissimo comparavit egregius Wesselingius. Diodorus sua partim ex Xenophonte, alia ex Themistogene duxisse videtur.

ἀποκαίων πάντα] Ex margine Steph. libro Paris. et Eton. πάντα adscivit Zeune. Latine *adurere* similiter de frigoris effectu dicunt, ut allatis locis Virgilii Georg. i. 92. Plinii xvii. 24. comparati cum Theophrasti h. pl. iv. 14. docet Hutchinson. πάντας malebat Halbkart.

4. σφαγιάζεσθαι] Ita Guelf. Vulgo erat σφαγιάσασθαι. Ad sequens σφαγιάζεται intellige ὁ μάντις. De cultu ventorum et Boreæ apud Græcos et barbaros compara Perizonium ad Æliani v. h. xii. 61. Spanheim ad Callim. in Delum versu 26. Meursii Græc. Feriat. in Βορεασμοὶ, laudatos ab Hutchinsono.

καὶ πᾶσι δὴ] Ex Eton. δὴ adscivi cum Zeunio.

5. Διεγένοντο] Eton. liber simplex ἐγένοντο habet, deinde Guelf. κάοντες.

προσιόντες] Hoc cum margine Villois. Paris. Eton. Regiis A. B. pro vulgato προϊόντες Zeune edidit.

καὶ πῦρ] Guelf. cum Eton. libro habet καὶ τὸ πῦρ. Deinceps προσήεσαν male habent Edd. vett. cum Guelf.

τοὺς ὀψίζοντας] Margo Villois. αὐτοῖς ὀψ. habet. Sequens μεταδοῖεν ex Paris. et Eton. recepi pro μεταδιδοῖεν. Castalio αὐτοῖς omisit. βρωτὸν est in Eton.

6. τὸ πῦρ ἐκαίετο] Ex Guelf. articulum adscivit Zeune ibi enim scriptum legitur: ἔνθα δὴ τὸ πῦρ ἐκάετο. Articulum addit etiam margo Villois.

ἐπὶ τὸ δάπεδον· οὗ δὴ παρῆν μετρεῖν τὸ βάθος τῆς
χιόνος.
Ἐντεῦθεν δὲ τὴν ἐπιοῦσαν ἡμέραν ὅλην ἐπορεύοντο διὰ 7
χιόνος, καὶ πολλοὶ τῶν ἀνθρώπων ἐβουλιμίασαν. Ξενοφῶν
δὲ ὀπισθοφυλακῶν, καὶ καταλαμβάνων τοὺς πίπτοντας
τῶν ἀνθρώπων, ἠγνόει, ὅ τι τὸ πάθος εἴη. Ἐπειδὴ δὲ 8
εἶπέ τις αὐτῷ τῶν ἐμπείρων, ὅτι σαφῶς βουλιμιῶσι, καὶ
ἐάν τι φάγωσιν, ἀναστήσονται, περιϊὼν ἐπὶ τὰ ὑποζύ-
για, εἴ που τι ὁρῴη βρωτὸν, ἐδίδου, καὶ διέπεμπε διδόν-
τας τοὺς δυναμένους παρατρέχειν τοῖς βουλιμιῶσιν.
Ἐπειδὴ δέ τι ἐμφάγοιεν, ἀνίσταντο καὶ ἐπορεύοντο. Πο- 9
ρευομένων δὲ, Χειρίσοφος μὲν ἀμφὶ κνέφας πρὸς κώμην
ἀφικνεῖται, καὶ ὑδροφορούσας ἐκ τῆς κώμης γυναῖκας
καὶ κόρας πρὸς τῇ κρήνῃ καταλαμβάνει ἔμπροσθεν τοῦ
ἐρύματος. Αὗται ἠρώτων αὐτοὺς, τίνες εἶεν. Ὁ δὲ ἑρ- 10
μηνεὺς εἶπε Περσιστὶ, ὅτι παρὰ βασιλέως πορεύοιντο
πρὸς τὸν σατράπην. Αἱ δὲ ἀπεκρίναντο, ὅτι οὐκ ἐνταῦ-
θα εἴη, ἀλλ' ἀπέχοι ὅσον παρασάγγην. Οἱ δ', ἐπεὶ
ὀψὲ ἦν, πρὸς τὸν κωμάρχην συνεισέρχονται εἰς τὸ ἔρυμα
σὺν ταῖς ὑδροφόροις. Χειρίσοφος μὲν οὖν καὶ ὅσοι ἐδυ- 11
νήθησαν τοῦ στρατεύματος ἐνταῦθα ἐστρατοπεδεύσαντο·
τῶν δ' ἄλλων στρατιωτῶν οἱ μὴ δυνάμενοι διατελέσαι

οὗ δὴ παρῆν] Margo Villois. ex Codice 2. 1. 3. laudat *παρήνων* et in Codice 3. deesse monet verba *μετρεῖν τό*. In Etonensi exciderunt verba *βόθροι —χιόνος*.

8. *περιϊὼν*] Vulgatum *παριὼν* cum Porsono correxi. Sed is etiam *περὶ* præferebat. Margo Steph. cum Paris. libro habet *περιὼν περί*. Eton. *περιὼν ἐπί*. Suidas vulgatum habet.

εἴ που τι] Vulgatum *εἴ που ποτὸν ἢ βρωτὸν ὁρῴη* ex margine Steph. libro Paris. et Suida, qui h. l. posuit in verbo *βουλιμιᾷν*, correxit Zeune. Edd. vett. cum Guelf. excepta Castalionis dant *ᾗ που ποτὸν ἢ βρ. ὁρῴη*. Eton. *ᾗ που τι ὁρῴη ἢ βρωτόν*. Porson malebat *εἴ τι που ὁρῴη*.

9. *γυναῖκας καὶ κόρας*] Edd. vett. cum Guelf. *καὶ* copulam omittunt. Zeune vulgatum interpretatur *mulieres easque puellas*.

10. *ἀπέχοι*] Ex Guelf. pro vulgato *ἀπέχει* dedi cum Zeunio.

11. *διατελέσαι τὴν ὁδὸν*] Ita margo Steph. liber Brodæi, Paris. Eton. Vulgatum *διατελέσαι, ἐν τῇ ὁδῷ* revocavit Weiske, qui opponi ita sibi invicem putabat *ἐνταῦθα* et *ἐν τῇ ὁδῷ*.

τὴν ὁδὸν, ἐνυκτέρευσαν ἄσιτοι καὶ ἄνευ πυρός· καὶ ἐνταῦ-
12 θά τινες ἀπώλοντο τῶν στρατιωτῶν. Ἐφείποντο δὲ τῶν
πολεμίων συνειλεγμένοι τινὲς, καὶ τὰ μὴ δυνάμενα τῶν
ὑποζυγίων ἥρπαζον, καὶ ἀλλήλοις ἐμάχοντο περὶ αὐτῶν.
Ἐλείποντο δὲ καὶ τῶν στρατιωτῶν οἵ τε διεφθαρμένοι
ὑπὸ τῆς χιόνος τοὺς ὀφθαλμοὺς, οἵ τε ὑπὸ τοῦ ψύχους
13 τοὺς δακτύλους τῶν ποδῶν ἀποσεσηπότες. Ἦν δὲ τοῖς
μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος, εἴ τις μέλαν τι
ἔχων πρὸ τῶν ὀφθαλμῶν πορεύοιτο· τῶν δὲ ποδῶν, εἴ τις
κινοῖτο, καὶ μηδέποτε ἡσυχίαν ἔχοι, καὶ εἰ τὴν νύκτα
14 ὑπολύοιτο. Ὅσοι δὲ ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο
εἰς τοὺς πόδας οἱ ἱμάντες, καὶ τὰ ὑποδήματα περιεπή-
γνυντο· καὶ γὰρ ἦσαν, ἐπειδὴ ἀπέλιπε τὰ ἀρχαῖα ὑπο-
δήματα, καρβάτιναι αὐτοῖς πεποιημέναι ἐκ τῶν νεοδάρ-
15 των βοῶν. Διὰ τὰς τοιαύτας οὖν ἀνάγκας ὑπελείποντό
τινες τῶν στρατιωτῶν· καὶ ἰδόντες μέλαν τι χωρίον, διὰ
τὸ ἐκλελοιπέναι αὐτόθι τὴν χιόνα, εἴκαζον τετηκέναι.
Καὶ ἐτετήκει διὰ κρήνην τινὰ, ἣ πλησίον ἦν ἀτμίζουσα ἐν
νάπῃ· ἐνταῦθα ἐκτραπόμενοι ἐκάθηντο, καὶ οὐκ ἔφασαν

13. ἐπικούρημα] Suidas sub voce χιὼν ex h. l. laudat ἐπικούφημα, deinde ἐπορεύετο—ἐς τοὺς πόδας. De ratione oculorum aciem defendendi a splendore nivis dixi in Annot. ad Eclogas Physicas p. 149.

ἔχων] Guelf. ἔχοι. deinceps πρὸς dant Edd. vett. Pro sequenti ἔχοι, quod est in Suida, Castal. Codice Paris. Eton. ἔχειν dant Edd. ceteræ ante Hutchinsonum.

καὶ εἰ τὴν νύκτα] Vulgatam hanc scripturam ideo mutavit Zeune in εἰς τὴν νύκτα ex Castal. Codice Paris. et Eton. quod εἰ propter præcedens εἰ sit prorsus supervacuum et frigidum. Mecum facit Wyttenbach: contra εἰ εἰς τὴν νύκτα dedit Weiske. Pro ὑπολύοιτο Suidæ Edd. veteres ἀπολύοιτο dabant, quod vitium ex Codice bono correxit Kuster.

14. περιεπήγνυντο] Suidas ἐπήγνυντο habet.

ἀπέλιπε] Suidas in καρβάτιναι habet ἀπέλειπε—καρβάτιναι αὐτοῖς ἦσαν πεπ. ἐκ τ. ν. β. unde αὐτοῖς recipiendum censuit Wyttenbach, nisi quis malit scribere ἦσαν—καρβατίνας πεποιημένοι. Vulgo αὐτοῖς deest. Præterea ἐπέλιπε malim.

15. Διὰ τὰς τοιαύτας] Margo Villois. dat Δι' ἄλλας τοιαύτας. deinceps ὑπελίποντο Edd. vett.

αὐτόθι] Ita pro αὐτόθεν margo Steph. Paris. Eton.

τετηκέναι] Addita vulgo verba τὴν χιόνα cum libro Paris. et Eton. recte omisit Weiske, ut suspecta notaverat jam olim Stephanus.

ἐν νάπῃ] Ita pro νάπει Paris. et Eton. et plures Xenophontis locos comparavit Zeune, ubi idem genus

πορεύεσθαι. Ὁ δὲ Ξενοφῶν, ἔχων ὀπισθοφύλακας, 16
ὡς ᾔσθετο, ἐδεῖτο αὐτῶν πάσῃ τέχνῃ καὶ μηχανῇ, μὴ
ἀπολείπεσθαι, λέγων, ὅτι ἕπονται πολλοὶ πολέμιοι
συνειλεγμένοι· καὶ τελευτῶν ἐχαλέπαινεν. Οἱ δὲ σφάτ-
τειν ἐκέλευον· οὐδὲ γὰρ ἂν δύνασθαι πορευθῆναι. Ἐν- 17
ταῦθα ἔδοξε κράτιστον εἶναι, τοὺς ἑπομένους πολεμίους
φοβῆσαι, εἴ τις δύναιτο, μὴ ἐπιπέσοιεν τοῖς κάμνουσι.
Καὶ ἦν μὲν ἤδη σκότος, οἱ δὲ προσῄεσαν πολλῷ θορύβῳ,
ἀμφὶ ὧν εἶχον διαφερόμενοι. Ἔνθα δὴ οἱ μὲν ὀπισθο- 18
φύλακες ἐξαναστάντες, ἅτε ὑγιαίνοντες, ἔδραμον εἰς τοὺς
πολεμίους· οἱ δὲ κάμνοντες, ἀνακραγόντες ὅσον ἐδύναντο
μέγιστον, τὰς ἀσπίδας πρὸς τὰ δόρατα ἔκρουσαν. Οἱ
δὲ πολέμιοι δείσαντες, ἧκαν ἑαυτοὺς κατὰ τῆς χιόνος εἰς
τὴν νάπην, καὶ οὐδεὶς ἔτι οὐδαμοῦ ἐφθέγξατο.

Καὶ Ξενοφῶν μὲν καὶ οἱ σὺν αὐτῷ, εἰπόντες τοῖς 19
ἀσθενοῦσιν, ὅτι τῇ ὑστεραίᾳ ἥξουσί τινες ἐπ' αὐτοὺς,
πορευόμενοι, πρὶν τέτταρα στάδια διελθεῖν, ἐντυγχάνου-
σιν ἐν τῇ ὁδῷ ἀναπαυομένοις ἐπὶ τῆς χιόνος τοῖς στρατιώ-
ταις ἐγκεκαλυμμένοις, καὶ οὐδὲ φυλακὴ οὐδεμία καθει-
στήκει· καὶ ἀνίστασαν αὐτούς. Οἱ δ' ἔλεγον, ὅτι οἱ 20
ἔμπροσθεν οὐχ ὑποχωροῖεν. Ὁ δὲ παριὼν, καὶ παρα-

adhibetur. Vide dicenda ad v. 2. 31.

πορεύεσθαι] Stephanus πορεύσεσθαι corrigebat.

16. σφάττειν] Paris. et Eton. dant σφάζειν.

17. φοβῆσαι] Verbum hoc ante εἴ τις δύναιτο Stephanus posuit. Deinde ἐπίοιεν Paris. dat.

ἦν μὲν ἤδη] Ex Paris. ἤδη adscivi.

προσῄεσαν] Ald. cum Guelf. προῄεσαν habent; deinde Castalio πολλῷ φόβῳ edidit; Eton. liber πολλῶν θορύβων habet. Postea ἀμφὶ τὰ dat margo Villois. ἀμφὶ ὧν ex margine Steph. Paris. Eton. dedi pro vulgato ἀμφὶ ἅ. Denique μαχόμενοι pro διαφερόμενοι est in Eton.

18. ὅσον ἐδύναντο] Edd. vett. cum Guelf. ἀνακραγόντες οἷον dant, Stephani scripturam firmat liber Paris. et Eton.

ἧκαν] Paris. ἧκον. Significatur verbo, si bene habet, modus aliquis ignotus, quo barbari se demiserunt super nives elapsi in silvas.

19. εἰπόντες] Edd. vett. Guelf. εἰπόν τε. unde Castalio in seqq. edidit τινες, ἐπ' αὐτοὺς πορευόμενοι· καὶ πρίν.

ἀνίστασαν] *Surgere jusserunt*, recte monente Weiskio.

20. παραπροπέμπων] Ita ex Juntina et Guelf. scripsit Zeune pro παραπέμπων, quod est etiam in margine Villois. Deinde ἐκέλευσε Guelf.

προπέμπων τῶν πελταστῶν τοὺς ἰσχυροτάτους, ἐκέλευε
σκέψασθαι, τί εἴη τὸ κωλύον. Οἱ δὲ ἀπήγγελλον,
21 ὅτι ὅλον οὕτως ἀναπαύοιτο τὸ στράτευμα. Ἐνταῦθα
καὶ οἱ περὶ Ξενοφῶντα ηὐλίσθησαν αὐτοῦ ἄνευ πυρὸς καὶ
ἄδειπνοι, φυλακὰς, οἵας ἐδύναντο, καταστησάμενοι.
Ἐπειδὴ δὲ πρὸς ἡμέραν ἦν, ὁ Ξενοφῶν, πέμψας πρὸς
τοὺς ἀσθενοῦντας τοὺς νεωτάτους, ἀναστήσοντας, ἐκέλευ-
22 σεν ἀναγκάζειν προϊέναι. Ἐν δὲ τούτῳ Χειρίσοφος πέμ-
πει τοὺς ἐκ τῆς κώμης σκεψομένους, πῶς ἔχοιεν οἱ
τελευταῖοι. Οἱ δὲ, ἄσμενοι ἰδόντες, τοὺς μὲν ἀσθενοῦν-
τας τούτοις παρέδοσαν κομίζειν ἐπὶ τὸ στρατόπεδον,
αὐτοὶ δὲ ἐπορεύοντο· καὶ πρὶν εἴκοσι στάδια διεληλυθέ-
23 ναι, ἦσαν πρὸς τῇ κώμῃ, ᾗ Χειρίσοφος ηὐλίζετο. Ἐπεὶ
δὲ συνεγένοντο ἀλλήλοις, ἔδοξε κατὰ τὰς κώμας ἀσφα-
λὲς εἶναι τὰς τάξεις σκηνοῦν. Καὶ Χειρίσοφος μὲν αὐτοῦ
ἔμεινεν, οἱ δὲ ἄλλοι, διαλαχόντες ἃς ἑώρων κώμας, ἐπο-
ρεύοντο, ἕκαστοι τὰς ἑαυτῶν ἔχοντες.
24 Ἔνθα δὴ Πολυκράτης Ἀθηναῖος λοχαγὸς ἐκέλευσεν
ἀφιέναι αὐτόν· καὶ λαβὼν τοὺς εὐζώνους, θέων ἐπὶ τὴν
κώμην, ἣν εἰλήχει Ξενοφῶν, καταλαμβάνει πάντας ἔνδον
τοὺς κωμήτας καὶ τὸν κωμάρχην· καὶ πώλους εἰς δασμὸν

21. οἱ περὶ] Margo Steph. οἱ ἀμφί. Deinde ἀναστήσαντας male Edd. vett. Guelf. Paris. Eton. habent.

22. τοὺς ἐκ τῆς κώμης] Qui in vico morabantur, sect. 11. deinde σκεψομένους ex Paris. et Eton. dedi pro πευσομένους.

ἐν τῇ κώμῃ] Paris. et Eton. πρὸς τῇ κώμῃ dederunt; pro ᾗ Eton. habet ἐν ᾗ, Paris. ἔνθα.

23. συνεγένοντο] Ita Paris. Vulgo συνεγίγνοντο legitur.

ἔμεινεν] Ita Paris Vulgatum ὑπέμεινεν diversum aliquid significat.

τὰς ἑαυτῶν ἔχοντες] Intelligo κώμας, vel signum et sortem vici, cum Larchero et Weiskio, non τάξεις cum Zeunio. Paris. liber τοὺς ἑαυτῶν.

24. Πολυκράτης] Margo Steph. Paris. Eton. Πολυβώτης habent, quem alibi nominatum non reperies. Contra Polycrates, copiarum Xenophontearum hic λοχαγὸς, ubique Xenophonti amicus et familiaris apparet.

λαβὼν] Adjectum vulgo αὐτοὺς cum Paris. et Eton. omisi. Elegantiæ assignabat Zeune pronomen post nomen ipsum positum!

πάντας ἔνδον] Suidas in δασμὸς videtur pro ἔνδον scriptum reperisse εὗρον, ut putat vir doctus, W. in Editione Cantabr. 1785, qui conjiciebat οὓς εὗρον κωμήτας. Eton. liber ἔνδον omisit. Pro εἰλήχει Edd. vett. cum Guelf. εἰλήφει habent.

εἰς δασμὸν] Toup. ad Suidam p.

βασιλεῖ τρεφομένους, ἑπτακαίδεκα· καὶ τὴν θυγατέρα τοῦ κωμάρχου, ἐννάτην ἡμέραν γεγαμημένην· ὁ δὲ ἀνὴρ αὐτῆς λαγὼς ᾤχετο θηράσων, καὶ οὐχ ἥλω ἐν ταῖς κώμαις.

25 Αἱ δ' οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα ὥσπερ φρέατος, κάτω δ' εὐρεῖαι· αἱ δ' εἴσοδοι τοῖς μὲν ὑποζυγίοις ὀρυκταὶ, οἱ δὲ ἄνθρωποι κατὰ κλίμακας κατέβαινον. Ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, ὄϊες, βόες, ὄρνιθες, καὶ τὰ ἔκγονα τούτων· τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφετο.

26 Ἦσαν δὲ καὶ πυροὶ καὶ κριθαὶ καὶ

74. Arriano Anab. i. 26, 5. *καὶ τοὺς ἵππους, οὓς δασμὸν βασιλεῖ ἔτρεφον*, de Aspendiis, ex h. l. restitui voluit *ἐς δασμόν*; contra Porson. auctore Arriano ex h. l. ejici voluit præpositionem, comparans sect. 34. *ἠρώτων, τίνι οἱ ἵπποι τρέφοιντο· ὁ δ' ἔλεγεν, ὅτι βασιλεῖ δασμός*. Sed illius loci ratio grammatica diversa est. Strabo xi. p. 365. de Nisæis equis in Armenia natis narrat addens: *καὶ ὁ σατράπης τῆς Ἀρμενίας τῷ Πέρσῃ κατ' ἔτος δισμυρίους πώλους τοῖς μιθρακίνοις ἔπεμπεν*. Quem locum forte in animo habebat Weiske, cum numerum Xenophontis suspectum haberet. Putabat enim plus centum pullos fuisse. Quomodo enim Xenophon omnibus imperatoribus et centurionibus pullum ex his ne septendecim quidem, sed paucis aliquot relictis donare potuisset? Ita ad h. l. argumentatur Weiske. Scilicet sect. 35. est de Xenophonte: *αὐτὸς δὲ τῶν πώλων λαμβάνει, καὶ τῶν ἄλλων στρατηγῶν καὶ λοχαγῶν ἔδωκεν ἑκάστῳ πῶλον*. Ad quem locum Hutchinson suspicatur *στρατηγοὺς* et *λοχαγοὺς* copiarum earum, quibus Xenophon præerat, intelligendos esse. Sed unde Weiske *paucos aliquot relictos* habuit? Unum sibi deduxerat Xenophon de septemdecim pullis.

ἐν ταῖς κώμαις] Cum Abreschio in Dilucid. Thucyd. p. 136. *in ullo vicorum* seu *in vicis usquam* interpretatur Zeune; ille tamen *ἐντὸς τῆς κώμης* scriptum malebat.

25. *κατάγειοι*] Diodorus xiv. 28. *αὗται δὲ (κῶμαι) τὰς μὲν τοῖς ὑποζυγίοις καταβάσεις εἶχον ὀρυκτὰς, τὰς δὲ τοῖς ἀνδράσι κατὰ κλιμάκων· ἐν δὲ ταῖς οἰκίαις τά τε βοσκήματα τρεφόμενα χόρτῳ, τοῖς δ' ἀνδράσι πολλὴν ἀφθονίαν πάντων τῶν πρὸς τὸ ζῆν ἀναγκαίων*. Margo Steph. cum libro Paris. et Eton. *ἐπὶ κλίμακος* exhibent in Xenophonte; Suidas vulgatum tuetur; sed is post *κατέβαινον* addit *εἰς τὰς καταγείους οἰκίας*. Ceterum subterraneæ domus frigus melius arcent quam sublimes.

[*ἦσαν αἶγες, ὄϊες, βόες, ὄρνιθες*] Breviter in Indice monui scribendum *οἶς* fuisse, ut Attica pronunciandi ratio observetur cum Ionica non permutanda, de qua jam olim admonuit Aristophanes Comicus in Pace versu 929. dativum *ὀΐ* ionicum testatus; ad quem locum scholion in exemplo posuit *τὴν οἶν, τὰς οἶς*. Ita *τοὺς φθοῖς* est in Aristophanis Pluto v. 675. quod exemplum posuit etiam auctor scholii ad Iliadis iii. 198. appositi in Etymol. M. p. 620. Scilicet Homericum *ὀΐων* Aristarchus in scripturam Atticam *οἰῶν* mutaverat, quod recte improbarunt alii Grammatici. Supersunt nunc *βόες* in *βοῦς* mutandi, cum aliquoties ex Codd. *βόας* in *βοῦς* mutaverim in hoc libro. De accusativo *βοῦς* disputat Etymologicum M. p. 203. De dativo *βοΐ* constat ex Aristophanis loco antea laudato, cujus rei rationem reddere voluisse videtur auctor scholii in Etymol. M. p. 203. sed posuit ineptam, uti comparatum *οἶ* pro *ὀΐ* docet. *Ex Epistola.*]

ἐτρέφετο] Eton. liber *ἐτρέφοντο* dat.

ὄσπρια καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν· ἐνῆσαν δὲ καὶ
αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς· καὶ κάλαμοι ἐνέκειντο, οἱ
27 μὲν μείζους, οἱ δὲ ἐλάττους, γόνατα οὐκ ἔχοντες. Τού-
τους δ' ἔδει, ὁπότε τις διψώη, λαβόντα εἰς τὸ στόμα
ἀμύζειν· καὶ πάνυ ἄκρατος ἦν, εἰ μή τις ὕδωρ ἐπιχέοι·
καὶ μάλα ἡδὺ πόμα συμμαθόντι ἦν.

26. κρίθινος ἐν κρατῆρσιν] Juntina, Guelf. et Eton. vocem κρίθινος omittunt; margo Villois. ex Codice 2. κρίθινος annotat, sed verba ἐν κρατῆρσι deesse monet. Polybius Athenæi l. c. 14. Iberi regis luxum describens addit: πλὴν τοῦ τοὺς κρατῆρας ἐν μέσῳ τῆς οἰκίας ἑστάναι πλήρεις οἴνου κριθίνου, ἀργυροῦς ὄντας καὶ χρυσοῦς.

καὶ αὐταὶ αἱ κριθαὶ] Quid sit, nemo Interpretum dixit. Præcesserunt enim cum πυροῖς et ὀσπρίοις nominatæ κριθαὶ, præcessit οἶνος κρίθινος. Vitium igitur in αὐταὶ hæsisse videtur. Vocabulum ἰσοχειλεῖς Suidas interpretatur μέχρι χείλους πεπληρωμένοι addens exemplum: ἦσαν δὲ κρατῆρες οἴνου ἰσοχειλεῖς, quod ex loco hoc depromtum, sed pro lubitu mutatum affirmat Toupius Emend. p. 184. Verius agnovit idem locum Xenophontis apud Suidam in hoc loco: Γόνατον. καὶ κάλαμοι ἐνέκειντο ἐν τοῖς κρατῆρσιν οὐκ ἔχοντες γόνατα. Sed idem paulo postea ita: γονύων, γονάτων. Ξενοφῶν· ἐνῆσαν δὲ καὶ κάλαμοι γόνατα οὐκ ἔχοντες. De scripturæ varietate in Suida non disputo; hoc tamen ex vocabulo ἰσοχειλεῖς apparet, κριθὰς voluisse scriptorem inditas fuisse crateribus. Quare Suidas verba ἐν τοῖς κρατῆρσι, nisi ipse de suo addidit, in Codice suo adjuncta legisse videtur; certe intelligi debent. Quid igitur sibi volunt hordea crateribus indita vel crateres hordeo repleti? Quid si voces ἐν κρατῆρσι, quæ in Codice 2. in margine Villois. annotato deerant, suo loco motæ sunt, et pertinent, ad κριθαί? Certe οἶνος κρίθινος crateribus infusus ad convivia tantum appositus fuisse potest videri. Ita credere cogimur, sub ipsum cœnæ tempus Græcos occupasse barbarorum vicos. Relinquuntur tamen etiam sic αὐταὶ αἱ κριθαὶ (ἐν κρατῆρσιν) ἰσοχειλεῖς, quarum conditionem et naturam ad potum aliquem efficiendum exquirere oportet. Si sana sunt verba, nihil aliud exputo, nisi vinum ex hordeo confectum grana hordei pro potu macerata permista habuisse, eaque in crateribus supernatasse. Vide etiam mox dicenda.

27. ὁπότε τις] Suidas in voc. μυζεῖ habet ex h. l. εἴ τις διψώη—μυζεῖν. Hesychius habet μύζει, θηλάζει, λείχει, πιέζει. Dio Chrysostomus Orat. vol. ii. p. 71. ed. Reiskii de planta Indica: καὶ μυζῶσι ταύτας τὰς ῥίζας.

ἄκρατος ἦν] Suidas in loco laudato et in ἄκρατος addit ὁ οἶνος, quod supplementum non spernendum censuit Porson. Videtur Xenophon adhuc loqui de vino illo in crateribus servato. Huic igitur indita fuisse videri possunt grana hordei cum calamis permista. Sed quid ita opus erat calamos separatim in os sumere sitientem et exsugere? Denique quod sequitur sect. 29. οἶνον ἔφρασεν, ἔνθα ἦν κατορωρυγμένος, videtur vini vitei abundantiam in his locis significare. Nam κατορωρυγμένον intelligo in cellis subterraneis servatum vinum. Videtur igitur h. l. vini vitei conditura aliqua peculiaris intelligi a barbaris inventa ad sitim sedandam. Sed ita ducimur ad eam opinionem, ut vocabulum κρίθινος cum Codice Guelf. Eton. et Juntina damnemus. Calamos nodis carentes equidem interpretari non ausim, nec qui tentaverit, alium reperi.

καὶ μάλα ἡδὺ] Suidas in v. συμμαθόντι, quod interpretatur, συνεθισθέντι, locum ita laudavit: καὶ πάνυ ἡδὺ ἦν συμμαθόντι τὸ πόμα τὸ ἐκ κριθῶν. Etiam Eton. dat πάνυ, sed idem cum Junt. et Guelf. συμπαθόντι, unde Brodæus συμποθέντι conjiciebat. Stephani συμμαθόντι confirmat etiam Paris. liber.

Ὁ δὲ Ξενοφῶν τὸν μὲν ἄρχοντα τῆς κώμης ταύτης 28
σύνδειπνον ἐποιήσατο, καὶ θαῤῥεῖν ἐκέλευεν αὐτὸν, λέγων,
ὅτι οὔτε τῶν τέκνων στερήσοιτο, τήν τε οἰκίαν αὐτοῦ ἀντ-
εμπλήσαντες τῶν ἐπιτηδείων ἀπίασιν, ἢν ἀγαθόν τι τῷ
στρατεύματι ἐξηγησάμενος φαίνηται, ἔστ' ἂν ἐν ἄλλῳ
ἔθνει γένωνται. Ὁ δὲ ταῦτα ὑπισχνεῖτο, καὶ φιλοφρο- 29
νούμενος οἶνον ἔφρασεν ἔνθα ἦν κατορωρυγμένος. Ταύτην
μὲν οὖν τὴν νύκτα διασκηνήσαντες οὕτως ἐκοιμήθησαν ἐν
πᾶσιν ἀφθόνοις πάντες οἱ στρατιῶται, ἐν φυλακῇ ἔχον-
τες τὸν κωμάρχην καὶ τὰ τέκνα αὐτοῦ ὁμοῦ ἐν ὀφθαλ-
μοῖς. Τῇ δ' ἐπιούσῃ ἡμέρᾳ Ξενοφῶν, λαβὼν τὸν κω- 30
μάρχην, πρὸς τὸν Χειρίσοφον ἐπορεύετο· ὅπου δὲ παρίοι
κώμην, ἐτρέπετο πρὸς τοὺς ἐν ταῖς κώμαις, καὶ κατε-
λάμβανε πανταχοῦ εὐωχουμένους καὶ εὐθυμουμένους,
καὶ οὐδαμόθεν ἀφίεσαν, πρὶν παραθεῖναι αὐτοῖς ἄρι-
στον· οὐκ ἦν δ' ὅπου οὐ παρετίθεσαν ἐπὶ τὴν αὐτὴν τρά- 31
πεζαν κρέα ἄρνεια, ἐρίφεια, χοίρεια, μόσχεια, ὀρνίθεια,
σὺν πολλοῖς ἄρτοις, τοῖς μὲν πυρίνοις τοῖς δὲ κριθίνοις.
Ὁπότε δέ τις φιλοφρονούμενός τῳ βούλοιτο προπιεῖν, 32
εἷλκεν ἐπὶ τὸν κρατῆρα· ἔνθεν ὑποκύψαντα ἔδει ῥοφοῦντα

28. ἀπίασιν] Pro futuro ἀπελεύσοιντο dictum monet Zeune.

ἐξηγησάμενος] Ita Stephanus cum Guelf. Ante Zeunium erat ἐξηγησόμενος. In libro Paris. et Eton. est ἀγαθόν τι τὸ στράτευμα πεζῇ ἡγησάμενος φ. plane ut in margine Villois. ex libris 2. et 6. annotatur.

29. οἶνον] Vinum viteum videtur significare voluisse, nisi antecedentem οἶνον κρίθινον respexit, cujus tamen gustus Græcis non tam gratus fuisse videtur. Vinum viteum in his ipsis locis provenisse propter frigus non videtur, sed Armeniæ minoris οἶνον Μοναρίτην ut græcorum vinorum nulli secundum laudat Strabo, Melitenen nominans, cujus locum exscripsit Eustathius ad Odysseam ix. p. 348. ed. Basil.

πάντες οἱ στρατιῶται] Ita Codex Paris. et Eton. Vulgatum ἐν πᾶσιν ἀφθόνοις ἀγαθοῖς οἱ στρατιῶται debetur inepto grammatico, qui ἐν πᾶσιν ἀφθόνοις explicare voluit. Elegantia narrationis et copiæ victus augentur forma hac orationis ἐν πᾶσιν ἀφθόνοις πάντες οἱ στρατιῶται.

30. τοὺς ἐν ταῖς κώμαις] Margo Villois. πρὸς κωμήτας annotat. Sequens αὐτοῖς pro vulgato αὐτῷ est ex libro Paris. Eton. et margine Villois. Præterea Paris. cum Eton. παραθεῖναι dedit pro παραθεῖεν. Male Eton. ἀπήεσαν habet.

32. βούλοιτο] Male Edd. vett. Guelf. Eton. εἰ βούλοιτο habent; recte εἰ cum Paris. libro delevit Stephanus.

ἔνθεν ὑποκύψαντα] Ita liber Eton.

πιεῖν ὥσπερ βοῦν. Καὶ τῷ κωμάρχῃ ἐδίδοσαν λαμβάνειν, ὅ τι βούλοιτο. Ὁ δὲ ἄλλο μὲν οὐδὲν ἐδέχετο· ὅπου δέ τινα τῶν συγγενῶν ἴδοι, πρὸς ἑαυτὸν ἀεὶ ἐλάμβανεν.

33 Ἐπεὶ δὲ ἦλθον πρὸς Χειρίσοφον, κατελάμβανον καὶ ἐκείνους σκηνοῦντας, ἐστεφανωμένους τοῦ ξηροῦ χιλοῦ στεφάνοις, καὶ διακονοῦντας Ἀρμενίους παῖδας σὺν ταῖς βαρβαρικαῖς στολαῖς· τοῖς δὲ παισὶν ἐδείκνυσαν ὥσπερ
34 ἐνεοῖς ὅ τι δέοι ποιεῖν. Ἐπεὶ δὲ ἀλλήλους ἐφιλοφρονήσαντο Χειρίσοφος καὶ Ξενοφῶν, κοινῇ δὴ ἀνηρώτων τὸν κωμάρχην διὰ τοῦ περσίζοντος ἑρμηνέως, τίς εἴη ἡ χώρα. Ὁ δ' ἔλεγεν, ὅτι Ἀρμενία. Καὶ πάλιν ἠρώτων, τίνι οἱ ἵπποι τρέφοιντο. Ὁ δ' ἔλεγεν, ὅτι βασιλεῖ δασμός· τὴν δὲ πλησίον χώραν ἔφη εἶναι Χάλυβας, καὶ τὴν ὁδὸν
35 ἔφραζεν, ᾗ εἴη. Καὶ αὐτὸν τότε μὲν ᾤχετο ἄγων ὁ Ξενοφῶν πρὸς τοὺς ἑαυτοῦ οἰκέτας, καὶ ἵππον, ὃν εἰλήφει, παλαιότερον δίδωσι τῷ κωμάρχῃ ἀναθρέψαντι καταθῦσαι, (ὅτι ἤκουσεν, αὐτὸν ἱερὸν εἶναι τοῦ Ἡλίου) δεδιώς, μὴ ἀποθάνῃ· ἐκεκάκωτο γὰρ ὑπὸ τῆς πορείας· αὐτὸς δὲ τῶν πώλων λαμβάνει, καὶ τῶν ἄλλων στρατηγῶν καὶ

Vulgo erat ἔνθα κύψαντα. Wyttenbach comparavit locum Philostrati in vita Apollonii ii. 28. εἰσφέρονται κρατῆρες ἀργυροῖ τε καὶ χρυσοῖ, δέκα συμπόταις ἀποχρῶν εἷς, ἀφ' ὧν πίνουσι κύψαντες ὥσπερ ποτιζόμενοι. Idem locum Hermogenis de Formis orationis ii. p. 505. annotavit hunc: Τοιοῦτος ὁ Ξενοφῶν κἂν τοῖς ἱστορικοῖς, οἷος κἂν τοῖς ἄλλοις, οἷον ὅτι χιλὸν ἐστέψαντο, ὅταν λέγῃ, καὶ ὅτι τοῖς παισὶν ὡς ἐνεοῖς διαλέγονται, (corrigit W. διελέγοντο,) καὶ ὅτι πίνειν ἀπὸ τοῦ κρατῆρος ἐπικύψαντα ἔδει καθάπερ βοῦν.

τῷ κωμάρχῃ] Juntina τὸν κωμάρχην dedit. Sequens στεφάνους omittunt Edd. vett. cum libro Eton. recentior manus in Guelf. adscripsit, liber Paris. in στεφάνοις mutat, tanquam glossam seclusit Zeune. χιλὸν ἐστέψαντο ex h. l. laudavit Hermogenes. Equidem στεφάνοις prætuli vulgato στεφάνοις.

33. διακονοῦντας] Liber Eton. διακοσμοῦντας dat. Deinceps ὡσπερεὶ νέοις dant Edd. vett. Guelf. Eton. et Amasæi versio. Verum ex Paris. libro dedit Stephanus, ὡς ἐνεοῖς habet Hermogenes, Suidas in voce ἐννεὸς exhibet ὥσπερ ἐννεοῖς. Postea δέοιτο Juntina cum Guelf. dat.

34. τίνι οἱ ἵπποι] Articulum οἱ de meo addidi, utpote necessarium. Significantur equi isti, de quibus est sect. 24.

35. ὁ Ξενοφῶν] Articulum ex libro Eton. addidit Zeune.

εἰλήφει] Confer sect. 24. quanquam ibi de equo nihil est. Deinde ἤκουεν dat liber Eton. Persas Soli equos immolasse tradit Cyrop. viii. 3, 12.

τῶν πώλων] Liber Paris. et Eton.

λοχαγῶν ἔδωκεν ἑκάστῳ πῶλον. Ἦσαν δ' οἱ ταύτῃ 36
ἵπποι μείονες μὲν τῶν Περσικῶν, θυμοειδέστεροι δὲ πολλῷ. Ἐνταῦθα δὴ καὶ διδάσκει ὁ κωμάρχης, περὶ τοὺς πόδας τῶν ἵππων καὶ τῶν ὑποζυγίων σακκία περιειλεῖν, ὅταν διὰ τῆς χιόνος ἄγωσιν· ἄνευ γὰρ τῶν σακκίων κατεδύοντο μέχρι τῆς γαστρός.

CAP. VI.

ΕΠΕΙ δὲ ἡμέρα ἦν ὀγδόη, τὸν μὲν ἡγεμόνα παραδίδωσι Χειρισόφῳ, τοὺς δ' οἰκέτας καταλείπει τῷ κωμάρχῃ, πλὴν τοῦ υἱοῦ ἄρτι ἡβάσκοντος. Τοῦτον δ' Ἐπισθένει Ἀμφιπολίτῃ παραδίδωσι φυλάττειν, ὅπως, εἰ καλῶς ἡγήσαιτο, ἔχων καὶ τοῦτον ἀπίοι. Καὶ εἰς τὴν οἰκίαν αὐτοῦ εἰσεφόρησαν ὡς ἐδύναντο πλεῖστα, καὶ ἀναζεύξαντες ἐπορεύοντο. Ἡγεῖτο δ' αὐτοῖς ὁ κωμάρχης 2

τὸν πῶλον. Ceterum Hutchinson recte videtur præfectos copiarum intelligere, quibus præerat ipse Xenophon; omnibus enim numerus pullorum editus sect. 24. non sufficiebat. Sed vide annotata ad eum locum.

36. *θυμοειδέστεροι*] Edd. vett. *θυμοθέστεροι*, Steph. et Guelf. *θυμωδέστεροι*, Zeune formam *θυμοειδ.* ex libro Paris. Eton. recepit, *θυμωδ.* Weiske. Vegetius libri vi. cap. 6. *Ad usum sellæ Persis provinciis omnibus meliores præstat equos, patrimoniorum censibus æstimatos, tam ad vehendum molles, et ipsius incessus nobilitate pretiosos. Sequuntur Armeni atque Saphareni.* Morem tondendorum equorum Armeniorum et Persicorum idem enarrat ii. 28, 35. Oppianus Cyneg. i. 277. de equis: *Ἀρμένιοι Πάρθοι τε βαθυπλόκαμοι τελέθουσι.*

περιειλεῖν] Ita pro *περιδεῖν*, quod habet etiam Suidas sub hoc verbo, scriptum habet liber Paris. et Eton. Hutchinson comparat Montefalconii Antiquit. illustr. tom. iv. p. i. p. 79. Strabo xi. p. 772. de Caucaso; *ὑποδούμενοι κεντρωτὰ ὠμοβόϊνα δίκην τυμπάνων πλατέα διὰ τὰς χιόνας καὶ τοὺς κρυστάλλους.* Arrianus Suidæ sub voc. *λύγος* ita narrat: *οἱ δὲ κύκλους ἐκ λύγων τοῖς ποσὶ περιαρμόσαντες αὐτοί τε ἀβλαβῶς ἐπήρχοντο κατὰ χιόνος πιεζομένης ὑπὸ τῶν κύκλων, καὶ τοῖς Ῥωμαίοις παρεῖχον οὐ χαλεπὴν τὴν πάροδον. ἦν δὲ ἡ χιὼν ὡς ισ'* (16) *πόδας πολλαχῇ τὸ βάθος.* Regio non nominatur, de qua Arrianus ista narraverit.

ἄνευ γὰρ] Edd. vett. *ἄνευ δὲ*, Guelf. *τῶν* omittit, Eton. *ἕως* dat pro *μέχρι*. Suidas brevius: *ἄγωσι διὰ τὸ μὴ καταδύεσθαι.* Stephanianum *ἄνευ γὰρ* habet etiam margo Villois.

1. *ὀγδόη*] Diodorus xiv. 29. *ἐμμείναντες δὲ ταῖς κώμαις ἡμέρας ὀκτὼ παρεγενήθησαν εἰς τὸν Φάσιν.*

παραδίδωσι] Cod. Eton. *δίδωσι*. Deinceps Paris. *ἡγήσοιτο*. Idem cum Eton. postea *ἀπίοι εἰς τὴν οἰκίαν αὐτοῦ, ἐν ᾗ εἰσεφόρησαν.*

2. *δ' αὐτοῖς*] Paris. Eton. *δ' οὗτος*. Deinceps *ἦν* pro *ἦσαν* positum censebat Hutchinson, *ἦν* ad *κωμάρχην* refert Zeune. Præterea Hutchinson aliam excogitavit rationem et *ἦν* de tempore dictum putat impersonaliter, uti i. 8, 1. probante Weiskio;

λελυμένος διὰ χιόνος· καὶ ἤδη τ' ἦν ἐν τῷ τρίτῳ σταθ-
μῷ, καὶ ὁ Χειρίσοφος αὐτῷ ἐχαλεπάνθη, ὅτι οὐκ εἰς
κώμας ἦγεν. Ὁ δ' ἔλεγεν, ὅτι οὐκ εἶεν ἐν τῷ τόπῳ
τούτῳ. Ὁ δὲ Χειρίσοφος αὐτὸν ἔπαισε μὲν, ἔδησε δ' οὔ.
3 Ἀπὸ δὲ τούτου ἐκεῖνος τῆς νυκτὸς ἀποδρὰς ᾤχετο, κατα-
λιπὼν τὸν υἱόν. Τοῦτό γε δὴ Χειρισόφῳ καὶ Ξενοφῶντι
μόνον διάφορον ἐν τῇ πορείᾳ ἐγένετο, ἡ τοῦ ἡγεμόνος κά-
κωσις καὶ ἀμέλεια. Ἐπισθένης δὲ ἠράσθη τε τοῦ παι-
δὸς καὶ οἴκαδε κομίσας πιστοτάτῳ ἐχρῆτο.
4 Μετὰ τοῦτο σταθμοὺς ἑπτὰ ἐπορεύθησαν, ἀνὰ πέντε
παρασάγγας τῆς ἡμέρας, παρὰ τὸν Φᾶσιν ποταμὸν,
5 εὖρος ὡς πλεθριαῖον. Ἐντεῦθεν ἐπορεύθησαν σταθ-
μοὺς δύο, παρασάγγας δέκα· ἐπὶ δὲ τῇ εἰς τὸ πεδίον
ὑπερβολῇ ἀπήντησαν αὐτοῖς Χάλυβες καὶ Τάοχοι καὶ
6 Φασιανοί. Χειρίσοφος δὲ, ἐπεὶ κατεῖδε τοὺς πολεμίους
ἐπὶ τῇ ὑπερβολῇ, ἐπαύσατο πορευόμενος, ἀπέχων ὡς
πεντήκοντα σταδίους, ἵνα μὴ κατὰ κέρας ἄγων πλη-
σιάσῃ τοῖς πολεμίοις· παρήγγειλε δὲ τοῖς ἄλλοις παρά-
γειν τοὺς λόχους, ὅπως ἐπὶ φάλαγγος γένοιτο τὸ στρά-

sed ibi est *καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν.* quæ nota temporis satis est nota.

ἦγεν] Eton. *ἤγαγεν.*

3. *Ἀπὸ δὲ τούτου*] Paris. Eton. *ἐκ δὲ τούτου.*

Τοῦτό γε δὴ] Stephani conjecturam vulgato *τοῦτό τε δὴ* cum Hutchinsono substituit Weiske. Castal. *καὶ τότε δεῖ* (voluit *δὴ*) dedit; scripturam Paris. Eton. et marginis Steph. *τότε δὴ* recepit Zeune, qui tamen *τόδε δὴ* scriptum malebat.

4. *παρὰ τὸν Φᾶσιν*] Diodorus xiv. 29. *ἐπεὶ δὲ τέτταρας ἡμέρας διανύσαντες διεπορεύοντο τὴν Χάων* (*Τάων* vel *Ταόχων*) *καὶ Φασιανῶν χώραν.* Araxem fluvium intelligi censent Interpretes, cum quibus facit Mannert Geogr. v. p. 212. sed hic Græcos Phasin transiisse falso posuit.

ὡς πλεθριαῖον] Particulam omittunt Paris. Eton.

6. *ὡς πεντήκοντα*] Stephanus et cum eo Weiske *τριάκοντα* dedit adstipulante libro Paris. qui cum Eton. *εἰς* pro *ὡς* dat. Vulgatum numerum tuentur libri Eton. Guelf. Edd. et versio Amasæi.

κατὰ κέρας ἄγων] Vide dicta ad Cyrop. vii. 1, 26.

δὲ τοῖς ἄλλοις] Eton. *δὲ καὶ τ. ἄλ.*

παράγειν] *Traducere ad frontem in latitudinem.* Hipparchici iv. 9. *καὶ τὸ μέτωπον δὲ ὅπως μηκύνοιεν ἂν τῆς τάξεως οἱ πεμπάδαρχοι παράγοντες.* Cyrop. ii. 3, 21. *ἄγοντα τὴν τάξιν ἐφ' ἑνὸς, καὶ παραγγέλλοντα τὸν ὕστερον λόχον παράγειν—εἰς μέτωπον.*

τευμα. Ἐπεὶ δὲ ἦλθον οἱ ὀπισθοφύλακες, συνεκάλεσε 7
τοὺς στρατηγοὺς καὶ λοχαγοὺς, καὶ ἔλεξεν ὧδε·
Οἱ μὲν πολέμιοι, ὡς ὁρᾶτε, κατέχουσι τὰς ὑπερβο-
λὰς τοῦ ὄρους· ὥρα δὲ βουλεύεσθαι, ὅπως ὡς κάλλιστα
ἀγωνιούμεθα. Ἐμοὶ μὲν οὖν δοκεῖ παραγγέλλειν μὲν 8
ἀριστοποιεῖσθαι τοῖς στρατιώταις, ἡμᾶς δὲ βουλεύε-
σθαι, εἴτε τήμερον εἴτε αὔριον δοκεῖ ὑπερβάλλειν τὸ ὄρος.
Ἐμοὶ δέ γε, ἔφη ὁ Κλεάνωρ, δοκεῖ, ἐπὰν ὡς τάχιστα 9
ἀριστήσωμεν, ἐξοπλισαμένους ὡς τάχιστα ἰέναι ἐπὶ τοὺς
ἄνδρας. Εἰ γὰρ διατρίψομεν τὴν τήμερον ἡμέραν, οἵ
τε νῦν ὁρῶντες ἡμᾶς πολέμιοι θαρσαλεώτεροι ἔσονται,
καὶ ἄλλους εἰκὸς, τούτων θαῤῥούντων, πλέους προσγενέ-
σθαι.

Μετὰ τοῦτον Ξενοφῶν εἶπεν· Ἐγὼ δ' οὕτω γινώσκω· 10
Εἰ μὲν ἀνάγκη ἐστὶ μάχεσθαι, τοῦτο δεῖ παρασκευά-
σασθαι, ὅπως ὡς κράτιστα μαχούμεθα· εἰ δὲ βουλό-
μεθα ὡς ῥᾷστα ὑπερβάλλειν, τοῦτό μοι δοκεῖ σκεπτέον
εἶναι, ὅπως ὡς ἐλάχιστα μὲν τραύματα λάβοιμεν, ὡς
ἐλάχιστα δὲ σώματα ἀνδρῶν ἀποβάλοιμεν. Τὸ μὲν οὖν 11
ὄρος ἐστὶ τὸ ὁρώμενον πλέον, ἢ ἐφ' ἑξήκοντα στάδια, ἄν-
δρες δ' οὐδαμῇ φυλάττοντες ἡμᾶς φανεροί εἰσιν, ἀλλ' ἢ
κατὰ ταύτην τὴν ὁδόν· πολὺ οὖν κρεῖττον, τοῦ ἐρήμου
ὄρους καὶ κλέψαι τι πειρᾶσθαι λαθόντας καὶ ἁρπάσαι
φθάσαντας, ἢν δυνώμεθα, μᾶλλον, ἢ πρὸς ἰσχυρὰ χω-

8. ὑπερβάλλειν] Eton. ὑπερβαλέσθαι.

9. διατρίψομεν] Guelf. τρίψωμεν—πλείους.

10. δεῖ παρασκευάσασθαι] Edd. vett. Guelf. Eton. δὴ παρασκευάσασθε.

ὡς ἐλάχιστα] Auctore Hutchinsono ὡς inserunt Zeune et Weiske.

λάβοιμεν—ἀποβάλοιμεν] Junt. Ald. λάβοιεν. Liber Eton. λάβωμεν—ἀποβάλωμεν. quam scripturam probabat G. Hermann Obs. Crit. ad Æschylum et Eurip. p. 23.

11. ἐφ' ἑξήκοντα] Præpositionem omittit Eton. Deinceps οὐδαμοῦ Castal. Etiam Eton. habet ἡμᾶς οὐδαμοῦ εἰσιν φανεροὶ, ἀλλὰ κατ' αὐτὴν τὴν ὁδόν.

λαθόντας] Junt. λαβόντας. Deinde Edd. vett. cum Guelf. δυνάμεθα, Eton. δυναίμεθα dant.

12 ρία καὶ ἄνδρας παρεσκευασμένους μάχεσθαι. Πολὺ
γὰρ ῥᾶον, ὄρθιον ἀμαχεὶ ἰέναι, ἢ ὁμαλὸν ἔνθεν καὶ ἔνθεν
πολεμίων ὄντων· καὶ νύκτωρ ἀμαχεὶ μᾶλλον ἂν τὰ πρὸ
ποδῶν ὁρῴη τις, ἢ μεθ' ἡμέραν μαχόμενος· καὶ ἡ τρα-
χεῖα τοῖς ποσὶν ἀμαχεὶ ἰοῦσιν εὐμενεστέρα, ἢ ὁμαλὴ τὰς
13 κεφαλὰς βαλλομένοις. Κλέψαι δὲ οὐκ ἀδύνατόν μοι
δοκεῖ εἶναι, ἐξὸν μὲν νυκτὸς ἰέναι, ὡς μὴ ὁρᾶσθαι· ἐξὸν
δὲ ἀπελθεῖν τοσοῦτον, ὡς μὴ αἴσθησιν παρέχειν. Δο-
κοῦμεν δ' ἄν μοι, ταύτῃ προσποιούμενοι προσβαλεῖν, ἐρη-
μοτέρῳ ἂν τῷ ἄλλῳ ὄρει χρῆσθαι· μένοιεν γὰρ αὐτοῦ
14 μᾶλλον ἀθρόοι οἱ πολέμιοι. Ἀτὰρ τί ἐγὼ περὶ κλοπῆς
συμβάλλομαι; Ὑμᾶς γὰρ ἔγωγε, ὦ Χειρίσοφε, ἀκούω,
τοὺς Λακεδαιμονίους, ὅσοι ἐστὲ τῶν ὁμοίων, εὐθὺς ἐκ
παίδων κλέπτειν μελετᾶν· καὶ οὐκ αἰσχρὸν εἶναι, ἀλλὰ
15 ἀναγκαῖον κλέπτειν, ὅσα μὴ κωλύει νόμος. Ὅπως δὲ
ὡς κράτιστα κλέπτητε καὶ πειρᾶσθε λανθάνειν, νόμιμον

12. *ὁμαλὸν*] Paris. Eton. margo Steph. *ὁμαλές*.

ἀμαχεὶ μᾶλλον] Ita cum Paris. Stephanus, deleto *ὡς*, quod inserunt Edd. vett. cum Guelf. et inepte defendit Zeune. *ὡς μόνον* malebat Brodæus. Sequens *μαχόμενος* male in *μαχομένοις* mutant Edd. vett. cum Guelf.

ἢ ὁμαλὴ] Mihi articulus deesse videtur, ut scribatur *ἢ ἡ ὁμαλὴ*, ut antea est *ἡ τραχεῖα*.

13. *Κλέψαι δὲ*] Eton. *καὶ κλέψαι δέ*. Deinceps *ἐξὸν γὰρ* Edd. vett. cum Guelf.

ὡς μὴ ὁρᾶσθαι] Vulgatum *ὡς μὴ δύνασθαι ὁρᾶσθαι* damnant Paris. Eton. quod ob membrorum convenientiam servandum censebat Weiske, quam equidem non perspicio.

τοσοῦτον] Weiske intelligit *μέρος στρατεύματος*, præfert tamen scriptum *τοσούτους*. Assentior viro docto. Vulgo de spatio interpretantur.

προσβαλεῖν] Paris. *προσβάλλειν*. Idem cum Eton. sequens *ἄλλῳ* omittit: postea *ἀθρόοι* deest in Eton.

14. *συμβάλλομαι*] Index Zeunianus ex h. l. interpretatur *in medium proferre*. Sed plenum *λόγους συμβάλλεσθαι* est in Cyrop. ii. 2, 21. quod imitatur auctor de Corrupta Eloquentia c. 42. *de his rursus conferemus* nempe sermonem.

ὁμοίων] Sunt qui in Cyropædia *ὁμότιμοι* dicuntur. Dixi de vocabulo in Lexico Gr. dixit Wolfius ad Leptineam p. 88. dixit Weiske ad Cyrop. ii. 1, 2. De Lacedæm. Rep. x. 7. xiii. 1. et 7. Vide dicenda ad sect. 16.

εὐθὺς] Eton. *εὐθύς τε*. De re ipsa compara librum de Laced. Rep. ii. 7. seqq. et ibi dicenda.

ἀναγκαῖον] Paris. Eton. margo Steph. *καλὸν* dant, quod equidem præfero. Ita enim rectius sequitur sect. 6. *καὶ μάλα ὄντος δεινοῦ τοῦ κινδύνου τῷ κλέπτοντι.*

15. *ὡς κράτιστα*] Paris. *ὡς τάχιστα κλέπτειν τε καὶ πειρᾶσθαι*. Deinde idem cum Eton. dat *νόμιμον μὲν γάρ*. Alienum est *μέν*; qui *γὰρ* dedit, separari voluit membra sic: *ὅπως*—

ἄρα ὑμῖν ἐστιν, ἐὰν ληφθῆτε κλέπτοντες, μαστιγοῦσθαι.
Νῦν οὖν μάλα σοι καιρός ἐστιν ἐπιδείξασθαι τὴν παι-
δείαν, καὶ φυλάξασθαι μέντοι, μὴ ληφθῶμεν κλέπτον-
τες τοῦ ὄρους, ὡς μὴ πολλὰς πληγὰς λάβωμεν.
Ἀλλὰ μέντοι, ἔφη ὁ Χειρίσοφος, καὶ ἐγὼ ὑμᾶς ἀκούω 16
τοὺς Ἀθηναίους δεινοὺς εἶναι κλέπτειν τὰ δημόσια, (καὶ
μάλα ὄντος δεινοῦ τοῦ κινδύνου τῷ κλέπτοντι) καὶ τοὺς
κρατίστους μέντοι μάλιστα, εἴπερ ὑμῖν οἱ κράτιστοι ἄρ-
χειν ἀξιῶνται· ὥστε ὥρα καὶ σοὶ ἐπιδείκνυσθαι τὴν παι-
δείαν. Ἐγὼ μὲν τοίνυν, ἔφη ὁ Ξενοφῶν, ἕτοιμός εἰμι, 17
τοὺς ὀπισθοφύλακας ἔχων, ἐπειδὰν δειπνήσωμεν, ἰέναι
καταληψόμενος τὸ ὄρος. Ἔχω δὲ καὶ ἡγεμόνας· οἱ
γὰρ γυμνῆτες τῶν ἐφεπομένων ἡμῖν κλωπῶν ἔλαβόν τινας
ἐνεδρεύσαντες· καὶ τούτων πυνθάνομαι, ὅτι οὐκ ἄβατόν
ἐστι τὸ ὄρος, ἀλλὰ νέμεται καὶ αἰξὶ καὶ βουσίν· ὥστε,
ἤνπερ ἅπαξ λάβωμέν τι τοῦ ὄρους, βατὰ καὶ τοῖς ὑπο-
ζυγίοις ἔσται. Ἐλπίζω μέντοι, οὐδὲ τοὺς πολεμίους 18
μενεῖν ἔτι, ἐπειδὰν ἴδωσιν ἡμᾶς ἐν τῷ ὁμοίῳ ἐπὶ τῶν
ἄκρων· οὐδὲ γὰρ νῦν ἐθέλουσι καταβαίνειν εἰς τὸ ἴσον
ἡμῖν. Ὁ δὲ Χειρίσοφος εἶπε· Καὶ τί δεῖ σε ἰέναι, καὶ 19

κλέπτητε, καὶ πειρᾶσθε λ. Sed in vulgata πειρᾶσθε est modus conjunctivus cum ὅπως copulatus per καί.

φυλάξασθαι μέντοι] Ita Paris. Eton. pro φυλάττεσθαι vulgato ante Zeunium. Mihi in verbis καὶ φ. μέντοι junctura dura esse videbatur.

τοῦ ὄρους] Scilicet τὶ vel μέρος. Sequens πολλὰς omittunt Paris. Eton.

16. τοὺς κρατίστους μέντοι] Et vero optimates optime, si quidem optimates apud vos sunt, qui magistratibus funguntur. Habes interpretationem ὁμοίων, qui Spartæ dicebantur.

17. γυμνῆτες] Suidas in voc. Κλὼψ cum Paris. et Eton. hoc pro vulgato γυμνῆται dant. Præterea Stephanus κλοπέων malebat scriptum, contra quem monuit Zeune genitivum κλωπῶν esse a recto κλὼψ, quo nomine dicuntur barbari agmen Græcorum spe prædæ clam insecuti. Sed κλωπῶν scribendum esse recte admonuit Porson comparato verbo κλωπεύειν infra vi. 1, 1. Postea ἑπόμενων est in Eton.

καὶ τούτων] Vulgatam scripturam ἐνεδρεύσαντες τούτων· καὶ vitiosam esse vidit primus Stephanus, quem secutus Hutchinson verba transposita duo rectius distinxit.

νέμεται] Juntina cum Eton. γέμεται. Sequens καὶ omittit Eton.

18. μέντοι] Eton. δὲ dat. Deinceps μένειν est in Edd. vett. et Guelf. ubi deest sequens ἐπί.

19. καὶ λείπειν] Ex lectione Edd. vett. et Guelf. καταλείπειν Castal. effecit καὶ καταλείπειν.

λείπειν τὴν ὀπισθοφυλακίαν; ἀλλ' ἄλλους πέμψον,
20 ἐὰν μή τινες ἐθελούσιοι φαίνωνται. Ἐκ τούτου Ἀρι-
στώνυμος Μεθυδριεὺς ἔρχεται, ὁπλίτας ἔχων, καὶ Ἀρι-
στέας Χῖος γυμνῆτας, καὶ Νικόμαχος Οἰταῖος γυμνῆ-
τας· καὶ σύνθημα ἐποιήσαντο, ὁπότε ἔχοιεν τὰ ἄκρα,
21 πυρὰ καίειν πολλά. Ταῦτα συνθέμενοι ἠρίστων· ἐκ δὲ
τοῦ ἀρίστου προήγαγεν ὁ Χειρίσοφος τὸ στράτευμα πᾶν
ὡς δέκα στάδια πρὸς τοὺς πολεμίους, ὅπως ὡς μάλιστα
δοκοίη ταύτῃ προσάξειν.

22 Ἐπεὶ δὲ ἐδείπνησαν, καὶ νὺξ ἐγένετο, οἱ μὲν ταχθέν-
τες ᾤχοντο, καὶ καταλαμβάνουσι τὸ ὄρος· οἱ δ' ἄλλοι
αὐτοῦ ἀνεπαύοντο. Οἱ δὲ πολέμιοι, ὡς ᾔσθοντο ἐχόμενον
τὸ ὄρος, ἐγρηγόρεσαν, καὶ ἔκαιον πυρὰ πολλὰ διὰ νυκτός.
23 Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, Χειρίσοφος μὲν θυσάμενος ἦγε
κατὰ τὴν ὁδόν· οἱ δὲ τὸ ὄρος καταλαβόντες κατὰ τὰ
24 ἄκρα ἐπῄεσαν. Τῶν δ' αὖ πολεμίων τὸ μὲν πολὺ ἔμενεν

20. ἔρχεται] Intellige ἐθελούσιος. Compara supra cap. 1. sect. 28.

Οἰταῖος] Juntina cum Eton. ὀταῖος, Paris. Guelf. cum Ald. et Steph. nostram habent scripturam, ab Œta Meliensium ductam. Ceterum bis γυμνῆτας posui pro vulgato γυμνήτας. Cf. ad cap. 1. sect. 6. annotata.

21. Χειρίσοφος] Vulgatum Ἀριστώνυμος ex Codd. Paris. Eton. regio B. et margine Steph. correxit Zeune. Deinceps ὡσεὶ δέκα dat Eton.

προσάξειν] Cum Edd. vett. Guelf. προσέξειν dat.

22. ᾤχοντο] Paris. Eton. ἀπήρχοντο. Deinceps ἐπεὶ ᾔσθοντο Eton.

23. Ἐπεὶ] Eton. ἐπειδὴ habet. Sequens ἐγρηγόρεσαν ex correctione Porsoni dedi pro vulgato ἐγρηγόρησαν. Recte enim admonet vir doctus tempore Xenophontis formam verbi γρηγορεῖν nondum fuisse usu receptam. Probam formam annotat ex Aristophanis Pluto 744. In Ecclesiaz. 32. probat scripturam ἐγρηγόρη, ubi Brunck ἐγρηγόρουν ex libro Regio dedit, antea vero erat ἐγρηγορῶ. Sed membranæ aliæ habent ἐγρηγορεῖν, in quo verum ἐγρηγόρειν vel Porsoni ἐγρηγόρη atticum latet. Libri Ravennatis ἐγρηγορεῖν inepte posuit Romanus Editor. In Xenophontis Cyneg. v. 1. editur ὅταν μὲν ἐγρηγορῇ, ubi scribendum censeo ἐγρηγόρῃ. Adverbium ἐγρηγόρως in Luciani Hermotimo tom. iv. p. 2. defendere malunt inepte comparato loco Alciphronis 3. Ep. 38. quam, quod res suadet, scribere: ἢν μὴ πάνυ τις ἐγρηγορὼς ἀτενὲς ἀεὶ καὶ γοργὸν ἀποβλέπῃ. In Alciphrone autem unice verum est: ῥωμαλέον, καὶ ἐγρηγορὸς βλέποντα.

κατὰ τὰ ἄκρα] Ita Juntina, Brodæi liber, Guelf. Eton. καὶ ἄκρα Stephan. Zeune verba hæc cum ἐπῄεσαν copulavit distinguendo post καταλαβόντες, quod verbum cum his κατὰ τὰ ἄκρα jungi voluit Weiske, inciso posito post ἄκρα.

24. Τῶν δ' αὖ] Eton. αὖ omisit. Deinde articulum ante ἄκρα in Edd.

ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους, μέρος δ' αὐτῶν ἀπήντα τοῖς
κατὰ τὰ ἄκρα. Πρὶν δὲ ὁμοῦ εἶναι τοὺς πολλοὺς, ἀλ-
λήλοις συμμιγνύουσιν οἱ κατὰ τὰ ἄκρα, καὶ νικῶσιν οἱ
Ἕλληνες καὶ διώκουσιν. Ἐν τούτῳ δὲ καὶ οἱ ἐκ τοῦ 25
πεδίου οἱ μὲν πελτασταὶ τῶν Ἑλλήνων δρόμῳ ἔθεον
πρὸς τοὺς παρατεταγμένους· Χειρίσοφος δὲ βάδην ταχὺ
ἐφείπετο σὺν τοῖς ὁπλίταις. Οἱ δὲ πολέμιοι οἱ ἐν τῇ 26
ὁδῷ, ἐπειδὴ τὸ ἄνω ἑώρων ἡττώμενον, φεύγουσι· καὶ ἀπέ-
θανον μὲν οἱ πολλοὶ αὐτῶν, γέῤῥα δὲ πάμπολλα ἐλήφθη·
ἃ οἱ Ἕλληνες ταῖς μαχαίραις κόπτοντες ἀχρεῖα ἐποίουν.
Ὡς δ' ἀνέβησαν, θύσαντες καὶ τρόπαιον στησάμενοι, 27
κατέβησαν εἰς τὸ πεδίον, καὶ εἰς κώμας πολλῶν καὶ
ἀγαθῶν γεμούσας ἦλθον.

vett. et Guelf. omissum ex Paris. admonitu Brodæi præeunte Stephano addidit Zeune.

ἀλλήλοις] Eton. τοὺς πολλοὺς ἀλλήλων dat, quod, mutatum in ἀλλήλοις, probabat Zeune, sic interpretatus: *priusquam universæ copiæ utriusque gentis convenissent, hi soli, qui summa juga tenebant* (Græci et barbari) *manus inter se conserunt.* Quæ quidem interpretatio quanquam falsa est, quia Xenophon diserte ait μέρος αὐτῶν ἀπήντα τοῖς κατὰ τὰ ἄκρα; indicium tamen vitii in vulgata lectione et interpunctione latentis præbere videtur Eton. Si enim ἀλλήλοις συμμιγνύουσιν legas, uti scriptum extat etiam in Weiskiana, tum significabunt ea verba *secum junguntur, inter se coëunt.* Sententia vero postulare videtur, ut *manus conserant* cum barbaris. Ὁμοῦ εἶναι simpliciter dicitur omisso ἀλλήλοις infra v. 6, 32. ὁμοῦ γίγνεσθαι iv. 2, 22. v. 4, 25. Sed est locus in Cyrop. vii. 1, 9. ἐπειδὰν δ' ἐκεῖ γένωμαι, ὅταν ἤδη ὁμοῦ προσιόντες ἀλλήλοις γιγνώμεθα, παιᾶνα ἐξάρξω. ubi tamen ἀλλήλοις copulandum cum προσιόντες participio. Deinde οἱ κατὰ τὰ ἄκρα non sunt Græci soli, sed barbari etiam comprehenduntur; quod ostendit sequens colon καὶ νικῶσιν οἱ Ἕλληνες. ubi, si οἱ κατὰ τὰ ἄκρα Græci soli essent intelligendi, verba οἱ Ἕλληνες abesse debebant. Quare scripturam πολλοὺς prætuli, quo vocabulo copiæ utræque universæ significantur Græcorum et barbarorum.

25. βάδην ταχὺ] *Gradu pleno*, interpretatur Index Zeunianus. Opponitur nempe δρόμῳ ἔθεον præcedenti; et est in gradu etiam celeritas.

26. οἱ ἐν τῇ ὁδῷ] Junt. cum Guelf. οἱ omittit; pro ἐν in Eton. est ἐπί. Deinde ἐπεὶ dant Edd. vett. cum Guelf. Postea ἡλωμένον margo Villois.

27. πολλῶν καὶ ἀγαθῶν] Ex Paris. καὶ inserui, solenne in formula hac apud Atticos scriptores. Deinde idem liber cum Eton. dedit καὶ εἰς κώμας πολλῶν ἀγαθῶν γεμούσας ἦλθον, ubi vulgo est καὶ κώμας omisso verbo ἦλθον. Sed deesse aliquod verbum ad absolvendam membrorum concinnitatem et sententiam, statim sensi; etiam numerus fit elegantior addito ἦλθον. Quodsi Codicum scripturam εἰς κώμας propter antecedens εἰς τὸ πεδίον contemseris, poteris in fine simpliciter εὗρον addere. Weiske post κώμας posuit incisum. Diodorus xiv. 29. ἐπιθεμένων δ' αὐτοῖς τῶν ἐγχωρίων, τούτους μὲν ἐν τῇ μάχῃ νικήσαντες, πολλοὺς ἀνεῖλον, αὐτοὶ δὲ καταλαβόντες τὰς τῶν ἐγχωρίων κτήσεις γεμούσας ἀγαθῶν,

CAP. VII.

ΕΚ δὲ τούτων ἐπορεύθησαν εἰς Ταόχους, σταθμοὺς πέντε, παρασάγγας τριάκοντα· καὶ τὰ ἐπιτήδεια ἐπέλιπε· χωρία γὰρ ᾤκουν ἰσχυρὰ οἱ Τάοχοι, ἐν οἷς καὶ τὰ
2 ἐπιτήδεια πάντα εἶχον ἀνακεκομισμένοι. Ἐπεὶ δὲ ἀφίκοντο εἰς χωρίον, ὃ πόλιν μὲν οὐκ εἶχεν, οὐδ᾽ οἰκίας, συνεληλυθότες δ᾽ ἦσαν αὐτόσε καὶ ἄνδρες καὶ γυναῖκες καὶ κτήνη πολλὰ, Χειρίσοφος μὲν πρὸς τοῦτο προσέβαλλεν εὐθὺς ἥκων· ἐπεὶ δὲ ἡ πρώτη τάξις ἔκαμνεν, ἄλλη προσῄει, καὶ αὖθις ἄλλη· οὐ γὰρ ἦν ἀθρόοις περιστῆ-
3 ναι, ἀλλὰ ποταμὸς ἦν κύκλῳ. Ἐπεὶ δὲ Ξενοφῶν ἦλθε σὺν τοῖς ὀπισθοφύλαξι καὶ πελτασταῖς καὶ ὁπλίταις, ἐνταῦθα δὴ λέγει Χειρίσοφος· Εἰς καλὸν ἥκεις· τὸ γὰρ χωρίον αἱρετέον· τῇ γὰρ στρατιᾷ οὐκ ἔστι τὰ ἐπιτήδεια, εἰ μὴ ληψόμεθα τὸ χωρίον.

4 Ἐνταῦθα δὴ κοινῇ ἐβουλεύοντο· καὶ τοῦ Ξενοφῶντος

ἐνδιέτριψαν ἐν αὐταῖς ἡμέρας πεντεκαίδεκα. ἀναζεύξαντες δ᾽ ἐκεῖθεν, διῆλθον τὴν Χαλκιδέων καλουμένων χώραν ἐν ἡμέραις ἑπτά.

1. τριάκοντα] Hic est numerus in Ald. et Codice Paris. quem adscivit cum Stephano Zeune; contra πεντήκοντα est in Juntina, Guelf. et Eton. Ita diebus singulis decem parasangæ tribuuntur.

πάντα] Omittit liber Eton. et deest in simillimo loco sect. 17.

2. μὲν πρὸς] Eton. μὲν οὖν πρὸς dat. Deinde Guelf. ἐπειδὴ δὲ ἡ. Postea ἀπέκαμνεν Paris. Eton. margo Steph. Denique προσῆ Junt. Guelf. προσῆκε Eton.

ἀλλὰ ποταμὸς] Ita liber Paris. Vulgatum ἀπόταμος in ἀπότομον, ad χωρίον referendum, auctore Leunclavio et præeunte Welsio cum Hutchinsono mutarunt Zeune et Weiske. Temere et falso! Ex sectione 4. apparet πάροδον μίαν fuisse; ὅταν δέ τις ταύτῃ πειρᾶται παριέναι, κυλινδοῦσι λίθους ὑπὲρ ταύτης τῆς ὑπερεχούσης πέτρας. Aditum unum et angustum cingebat petra imminens per spatium plethri unius cum dimidio, consitum pinis per intervalla positis; quod cum transierant Græci, montis cacumen adorti capiunt. Quod facere non potuissent, si petra undique præceps locum tutata fuisset. Deinde πάροδος non est simpliciter aditus, sed via, quæ inter petram et alium locum, quem fluvium fuisse ait Xenophon circumdatum monti, ducebat ad montem. Quodsi vero monti et petræ pauci viri insistebant, quanquam alias præruptæ, quid impediebat Græcos aliunde tentare adscensum in montem, si eos viri pauci in fronte apparentes terrebant?

3. Ἐπεὶ] Eton. ἐπειδὴ dat et verba καὶ πελτασταῖς omittit. Deinde ἥκετε est in Paris. et Eton.

ἐρωτῶντος, τί τὸ κωλύον εἴη εἰσελθεῖν, εἶπεν ὁ Χειρίσοφος·
Ἀλλὰ μία αὕτη ἐστὶ πάροδος, ἣν ὁρᾷς· ὅταν δέ τις
ταύτῃ πειρᾶται παριέναι, κυλινδοῦσι λίθους ὑπὲρ ταύτης
τῆς ὑπερεχούσης πέτρας· ὃς δ' ἂν καταληφθείη, οὕτω
διατίθεται. Ἅμα δ' ἔδειξεν αὐτῷ συντετριμμένους ἀν-
θρώπους καὶ σκέλη καὶ πλευράς. Ἢν δὲ τοὺς λίθους 5
ἀναλώσωσιν, ἔφη ὁ Ξενοφῶν, ἄλλο τι ἢ οὐδὲν κωλύει
παριέναι; οὐ γὰρ δὴ ἐκ τοῦ ἐναντίου ὁρῶμεν, εἰ μὴ ὀλί-
γους τούτους ἀνθρώπους· καὶ τούτων δύο ἢ τρεῖς ὡπλι-
σμένους. Τὸ δὲ χωρίον, ὡς καὶ σὺ ὁρᾷς, σχεδὸν τρία 6
ἡμίπλεθρά ἐστιν, ἃ δεῖ βαλλομένους παρελθεῖν. Τού-
του δὲ ὅσον πλέθρον δασὺ πίτυσι διαλειπούσαις μεγά-
λαις, ἀνθ' ὧν ἑστηκότες ἄνδρες τί ἂν πάσχοιεν ἢ ὑπὸ
τῶν φερομένων λίθων ἢ ὑπὸ τῶν κυλινδουμένων; τὸ λοι-
πὸν οὖν ἤδη γίγνεται ὡς ἡμίπλεθρον, ὃ δεῖ, ὅταν λωφή-
σωσιν οἱ λίθοι, παραδραμεῖν. Ἀλλ' εὐθέως, ἔφη ὁ 7
Χειρίσοφος, ἐπειδὰν ἀρξώμεθα εἰς τὸ δασὺ παριέναι,
φέρονται οἱ λίθοι πολλοί. Αὐτὸ ἄν, ἔφη, τὸ δέον εἴη·
θᾶττον γὰρ ἀναλώσουσι τοὺς λίθους. Ἀλλὰ πορευώ-
μεθα, ἔνθεν ἡμῖν μικρόν τι παραδραμεῖν ἔσται, ἢν δυνώ-
μεθα· καὶ ἀπελθεῖν ῥᾴδιον, ἢν βουλώμεθα.

4. *ἀλλὰ μία*] Paris. Eton. *ἀλλὰ* omittunt. Deinde *ἐπειρᾶτο* male est in Edd. vett. Steph. Guelf. verum in Leoncl. libris Paris. Eton.

ἔδειξεν αὐτῷ] Paris. et margo Steph. omisso *αὐτῷ* habet *ἔδειξε*.

5. *τοὺς λίθους*] Eton. *καὶ λίθους* dat. Deinde Castal. *ἄλλο μὲν οὐδὲν κωλύει* dedit ex conjectura inutili. *οὐδὲ* est in Eton.

6. *ἃ δεῖ—παρελθεῖν*] Paris *ὃ δεῖ*, deinde idem cum Eton. et margine Steph. *διελθεῖν*.

δασὺ πίτυσι] Suidas sub voc. *πίτυς* habet ex h. l. *χωρίον πίτυσι διαλειπούσαις μεγάλαις, ἀνθ' ὧν ἑστηκότες ἄνδρες τί ἂν πάθοιεν*; unde vulgatum *ἀνθ' ὧν* defenditur, quod in *ἐφ' ὧν* Stephanus, in *ὑφ' ὧν* Hutchinsonus mutari voluit. Defendit exemplo Homerici *Τρώων ἀνθ' ἑκατὸν* Toup Emendat. p. 361.

7. *παριέναι*] Paris. Eton. *προσιέναι* dant.

αὐτὸ—εἴη] *Hoc ipsum nobis proderit*, interpretatur Zeune.

θᾶττον γὰρ] Sequebatur vulgo *ἀληθῶς*, quod omittunt Paris. Eton. et jam olim deleri jusserat Muretus, contra in *ἄλλως* mutavit Weiske.

μικρόν τι] Vulgatum *μικρὸν ὕστερόν τι* ex Paris. Eton. et margine Steph. correxi. Muretus etiam *τι* deleri voluit. Weiske in *ὕστερον* latere suspi-

8 Ἐντεῦθεν ἐπορεύοντο Χειρίσοφος καὶ Ξενοφῶν καὶ
Καλλίμαχος Παῤῥάσιος, λοχαγός· (τούτου γὰρ ἡγεμο-
νία ἦν τῶν ὀπισθοφυλάκων λοχαγῶν ἐκείνῃ τῇ ἡμέρᾳ)
οἱ δὲ ἄλλοι λοχαγοὶ ἔμενον ἐν τῷ ἀσφαλεῖ. Μετὰ τοῦτο
οὖν ἀπῆλθον ὑπὸ τὰ δένδρα ἄνθρωποι, εἰς τοὺς ἑβδομή-
κοντα, οὐκ ἀθρόοι, ἀλλὰ καθ' ἕνα, ἕκαστος φυλαττό-
9 μενος ὡς ἐδύνατο. Ἀγασίας δὲ ὁ Στυμφάλιος καὶ
Ἀριστώνυμος Μεθυδριεὺς, καὶ οὗτοι τῶν ὀπισθοφυλάκων
λοχαγοὶ ὄντες, καὶ ἄλλοι δὲ, ἐφίστασαν ἔξω τῶν δέν-
δρων· οὐ γὰρ ἦν ἀσφαλὲς ἐν τοῖς δένδροις ἑστάναι πλεῖον,
10 ἢ τὸν ἕνα λόχον. Ἔνθα δὴ καὶ Καλλίμαχος μηχανᾶ-
ταί τι· προέτρεχεν ἀπὸ τοῦ δένδρου, ὑφ' ᾧ ἦν αὐτὸς, δύο
ἢ τρία βήματα· ἐπεὶ δὲ οἱ λίθοι φέροιντο, ἀνεχάζετο
εὐπετῶς· ἐφ' ἑκάστης δὲ προδρομῆς πλέον ἢ δέκα ἅμα-
11 ξαι πετρῶν ἀνηλίσκοντο. Ὁ δὲ Ἀγασίας, ὡς ὁρᾷ τὸν
Καλλίμαχον, ἃ ἐποίει, καὶ τὸ στράτευμα πᾶν θεώμενον,
δείσας, μὴ οὐ πρῶτος παραδράμοι εἰς τὸ χωρίον, οὔτε τὸν
Ἀριστώνυμον πλησίον ὄντα παρακαλέσας, οὔτε Εὐρύλο-
χον τὸν Λουσιέα, ἑταίρους ὄντας, οὔτ' ἄλλον οὐδένα, χωρεῖ
12 αὐτὸς, καὶ παρέρχεται πάντας. Ὁ δὲ Καλλίμαχος,

catur vocabulum, quod τῷ ῥᾴδιον respondeat.

ἣν βουλώμεθα] Ita Aldina, Steph. cum libro Paris. ἁλώμεθα Juntina, Guelf. Eton. Lascarin βαλλώμεθα legisse videri, admonet Stephanus.

8. εἰς τοὺς ἑβδομήκοντα] Eton. ὡς τοὺς ἑβδ. sed Paris. et margo Steph. ὡς ἑβδ.

9. ἐφίστασαν] Paris. et Eton. ὑφίστασαν.

10. Ἔνθα δὴ] Cum Aldina Stephanus Ἔνθα δὴ καὶ dedit, nostrum habent Junt. et Guelf.

μηχανᾶταί τι· προέτρεχεν] Hanc Stephani scripturam (credo ex libro Paris. ductam) recepi cum Weiskio in locum vulgatæ μηχανᾶται προτρέχειν. In illa tamen diversum verbi tempus et asyndeton displicebat Zeunio. Verum diversitas temporum superest in utraque scriptura. Ceterum ἀντιστασιάζοντας hos tres Arcadas habes etiam supra iv. 1, 27. et infra v. 2, 11.

δύο ἢ τρία] Juntina καὶ δύο καὶ τρία, Ald. Guelf. δύο καὶ τρία. Deinceps ἐπειδὴ δὲ dat Eton.

11. ἃ ἐποίει] Eton. οἷα ἐποίει. Deinde θεώμενοι Edd. vett. Guelf.

χωρίον, οὔτε] Zeune in οὐδὲ mutantem monet, verba χωρεῖ αὐτὸς cum sequentibus καὶ παρέρχεται πάντας copulari per τε in οὔτε inclusum: tamen sequens geminum οὐδὲ mutavi in οὔτε propter usum Xenophonteum.

ὡς ἑώρα αὐτὸν παριόντα, ἐπιλαμβάνεται αὐτοῦ τῆς
ἴτυος· ἐν δὲ τούτῳ παρέθει αὐτοὺς Ἀριστώνυμος Μεθυ-
δριεὺς, καὶ μετὰ τοῦτον Εὐρύλοχος Λουσιεύς· πάντες γὰρ
οὗτοι ἀντεποιοῦντο ἀρετῆς, καὶ διηγωνίζοντο πρὸς ἀλλη-
λους· καὶ οὕτως ερίζοντες αἱροῦσι τὸ χωρίον. Ὡς γὰρ
ἅπαξ εἰσέδραμον, οὐδεὶς ἔτι πέτρος ἄνωθεν ἠνέχθη.
Ἐνταῦθα δὴ δεινὸν ἦν θέαμα· αἱ γὰρ γυναῖκες, ῥίπτου- 13
σαι τὰ παιδία, εἶτα καὶ ἑαυτὰς ἐπικατερρίπτουν· καὶ
οἱ ἄνδρες ὡσαύτως. Ἔνθα δὴ καὶ Αἰνέας ὁ Στυμφά-
λιος λοχαγὸς, ἰδών τινα θέοντα ὡς ῥίψοντα ἑαυτὸν, στο-
λὴν ἔχοντα καλὴν, ἐπιλαμβάνεται ὡς αὐτὸν κωλύσων.
Ὁ δ᾽ αὐτὸν ἐπισπᾶται, καὶ ἀμφότεροι ᾤχοντο κατὰ τῶν 14
πετρῶν φερόμενοι, καὶ ἀπέθανον. Ἐντεῦθεν ἄνθρωποι
μὲν ὀλίγοι πάνυ ἐλήφθησαν, βόες δὲ καὶ ὄνοι καὶ πρό-
βατα πολλά.

Ἐντεῦθεν ἐπορεύθησαν διὰ Χαλύβων σταθμοὺς ἑπτὰ, 15
παρασάγγας πεντήκοντα. Οὗτοι ἦσαν, ὧν διῆλθον,

12. *ἑώρα—παρέθει*] Suidas in Ἴτυς ex h. l. laudat *ὁρᾷ—παραθεῖ*, quam scripturam probo cum Porsono. Fit enim ita narratio vividior.

ἀντεποιοῦντο ἀρετῆς] Imitatur Arrianus ii. 27, 9. *καὶ ἔρις πολλὴ ἦν τῶν Μακεδόνων, ὅσοι τι ἀρετῆς μετεποιοῦντο, ὅστις πρῶτος αἱρήσει τὸ τεῖχος.*

καὶ οὕτως—αἱροῦσι] Edd. vett. Guelf. *καὶ οὗτοι—αἵρουσι.* sed *οὕτως* est etiam in margine Villois. 2.

εἰσέδραμον] Vulgatum *εἷς ἐπέδραμεν* ex Paris. Eton. Villois. 2. et margine Steph. correxi, ubi tamen est *οὐδεὶς πέτρος* omisso *ἔτι*. Non est de aggressione (*ἐπιδρομῇ*) sermo, sed de introitu in locum oppugnatum. *ἅπαξ* est h. l. omnino, ut in Aristoph. Acharn. versu 307. *πῶς δέ γ᾽ ἂν καλῶς λέγοις ἂν, εἴπερ ἐσπείσω γ᾽ ἅπαξ οἷσιν οὔτε βωμὸς, οὔτε πίστις οὔθ᾽ ὅρκος μένει.* Cf. Vesparum vers. 1129. Sed in Avium versu 343. *κλαυσεῖ γὰρ, ἢν ἅπαξ γε τὼ 'φθαλμὼ 'κκοπῇς*, licet interpretari *quam primum*. Ita in Œconom. x. 1. *ἅ μου ἅπαξ ἀκούσασα ταχὺ ἐπείθετο, ubi statim, posteaquam eam admonueram, obsequebatur.*

13. *Αἰνέας*] Diversus ab eo, quem Arcadum imperatorem in pugna ad Mantineam nominant Hellenica vii. 3, 1. et ab auctore Poliorceticorum, qui narrat multa anno hoc posteriora.

14. *ὀλίγοι πάνυ*] Ex Paris. *πάνυ ὀλίγοι* dedit Zeune; deinceps Paris. Eton. et margo Steph. *ὄνοι πολλοὶ καὶ πρόβατα* dant.

15. *Χαλύβων*] De his, diversis a Chalybibus oræ maritimæ Ponti vicinioribus, disputat Mannert Geogr. v. p. ii. p. 407. seqq. Cf. infra ad. v. 5, 17.

σταθμοὺς ἑπτὰ] Diodorus xiv. 29. *διῆλθον τὴν Χαλκιδέων καλουμένων χώραν ἐν ἡμέραις ἑπτά.* Pro *πεντήκοντα* Codex Paris. A. dat *τετταράκοντα*, quem numerum præfert Larcher. Zeunio Græci propter pabuli et frumenti penuriam festinasse videntur.

ἀλκιμώτατοι, καὶ εἰς χεῖρας ᾔεσαν· εἶχον δὲ θώρακας
λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων σπάρτα
16 πυκνὰ ἐστραμμένα. Εἶχον δὲ καὶ κνημῖδας καὶ κράνη,
καὶ παρὰ τὴν ζώνην μαχαίριον, ὅσον ξυήλην Λακωνικὴν,
ᾧ ἔσφαττον, ὧν κρατεῖν δύναιντο· καὶ ἀποτέμνοντες ἂν
τὰς κεφαλὰς, ἔχοντες ἐπορεύοντο· καὶ ᾖδον, καὶ ἐχό-
ρευον, ὁπότε οἱ πολέμιοι ὄψεσθαι αὐτοὺς ἔμελλον· εἶχον
δὲ καὶ δόρυ ὡς πεντεκαίδεκα πηχῶν, μίαν λόγχην ἔχον.
17 Οὗτοι ἐνέμενον ἐν τοῖς πολίσμασιν· ἐπεὶ δὲ παρέλθοιεν οἱ
Ἕλληνες, εἵποντο ἀεὶ μαχόμενοι· ᾤκουν δὲ ἐν τοῖς ὀχυ-
ροῖς· καὶ τὰ ἐπιτήδεια ἐν τούτοις ἀνακεκομισμένοι ἦσαν·
ὥστε μηδὲν λαμβάνειν αὐτόθεν τοὺς Ἕλληνας, ἀλλὰ
διετράφησαν τοῖς κτήνεσιν, ἃ ἐκ τῶν Ταόχων ἔλαβον.
18 Ἐκ τούτου οἱ Ἕλληνες ἀφίκοντο ἐπὶ τὸν Ἅρπασον ποτα-
μὸν, εὖρος τεττάρων πλέθρων. Ἐντεῦθεν ἐπορεύθησαν
διὰ Σκυθινῶν σταθμοὺς τέτταρας, παρασάγγας εἴκοσι,
διὰ πεδίου εἰς κώμας· ἐν αἷς ἔμειναν ἡμέρας τρεῖς, καὶ
ἐπεσιτίσαντο.

πτερύγων] In locum vulgati πτερυγίων ex Suida in voc. ξυήλη et libris Paris. et Eton. restituit Zeune. Photii Lexici MS. auctoritatem addit Porson. Ita etiam Pollux i. 134. et noster de Re Equestri xii. 4. περὶ δὲ τὸ ἦτρον καὶ τὰ αἰδοῖα καὶ τὰ κύκλῳ αἱ πτέρυγες τοιαῦται καὶ τοσαῦται ἔστωσαν, ὥστε στέγειν τὰ μέλη.

16. ξυήλην Λακωνικὴν] Cum Photio in Lexico MS. ξυήλη Λακωνικὴ malebat Porson.

ἀποτέμνοντες ἂν] Leoncl. αὖ vel ἀποτέμνοντες καὶ ἔχ. malebat; Weiske ἂν *passim* reddi posse putabat; melius respondet, quod idem comparat, vernaculum *wohl, nach Befinden.*

μίαν λόγχην] Scilicet ἔμπροσθεν, ut infra v. 4, 12. nec στύρακα additum habens.

17. ᾤκουν] Ita ex Paris. B. et Eton. correxi vulgatum ᾤχοντο, suadente Brodæo et Mureto. ἐλοχῶντο Stephanus malebat; Leonclavius post ὀχυροῖς excidisse ὄντες putabat. Vulgatum ineptissime defendit Zeune.

ἐν τούτοις—ἦσαν] Supra cap. 7. sect. 1. ἐν οἷς καὶ τὰ ἐπιτήδεια πάντα εἶχον ἀνακεκομισμένοι. unde malim εἶχον.

18. Ἅρπασον] Diodorus Ἅρπαγον vocat. Deinde Σκυθίνων Edd. vett. cum Guelf. apud Diodorum erat vulgo Τασκουτίνων. sed Wesseling Σκουτίνων dedit. Stephanus Byz. Σκυθηνοὶ ἔθνος οὐ πόῤῥω τῶν Μακρώνων ὡς Ξενοφῶν Ἀναβ. τετάρτῳ. Harpasum Mannert Geogr. v. p. 213. censet esse eum fluvium, qui hodie *Arpasu* vocatur.

Σκυθινῶν] Esse, qui Straboni xi. p. 779. Σακασηνοὶ vocantur, suspicatur Mannert Geogr. v. p. 219; Græcos enim Persarum Σάκας in Σκύθας mutasse, ex Herodoto constare. Idem repetit vi. p. ii. p. 416.

ἡμέρας τρεῖς] Diodorus διῆλθον ὁδὸν πεδινὴν, ἐν ᾗ τρεῖς ἡμέρας αὐτοὺς ἀνέλα-

Ἐντεῦθεν δὲ ἦλθον σταθμοὺς τέτταρας, παρασάγγας εἴκοσι, πρὸς πόλιν μεγάλην καὶ εὐδαίμονα, οἰκουμένην· ἐκαλεῖτο δὲ Γυμνίας. Ἐκ ταύτης ὁ τῆς χώρας ἄρχων τοῖς Ἕλλησιν ἡγεμόνα πέμπει, ὅπως διὰ τῆς ἑαυτῶν πολεμίας χώρας ἐπάγοι αὐτούς. 19

Ἐλθὼν δὲ αὐτὸς, λέγει, ὅτι ἄξει αὐτοὺς πέντε ἡμερῶν εἰς χωρίον, ὅθεν ὄψονται θάλατταν· εἰ δὲ μὴ, τεθνάναι ἐπηγγέλλετο. Καὶ ἡγούμενος, ἐπειδὴ ἐνέβαλεν εἰς τὴν ἑαυτοῖς πολεμίαν, παρεκελεύετο αἴθειν καὶ φθείρειν τὴν χώραν· ᾧ καὶ δῆλον ἐγένετο, ὅτι τούτου ἕνεκα ἔλθοι, οὐ τῆς τῶν Ἑλλήνων εὐνοίας. 20

Καὶ ἀφικνοῦνται ἐπὶ τὸ ἱερὸν ὄρος τῇ πέμπτῃ ἡμέρᾳ· ὄνομα δ᾽ ἦν τῷ ὄρει Θήχης. Ἐπειδὴ δὲ οἱ πρῶτοι ἐγένοντο ἐπὶ τοῦ ὄρους, καὶ κατεῖδον τὴν θά- 21

βον εὐποροῦντες ἁπάντων τῶν ἀναγκαίων. Sed idem itineris dies quatuor omisit, quo facto non erat operæ dies tres moræ annotare.

19. δὲ ἦλθον] Edd. vett. Guelf. δὲ omittunt, διῆλθεν dat margo Steph.

τέτταρας] Diodorus μετὰ δὲ ταῦτα ἀναζεύξαντες τεταρταῖοι παρεγενήθησαν πρὸς πόλιν μεγάλην Γυμνασίαν ὀνομαζομένην. In nostro Eton. liber habet ἣ ἐκαλεῖτο. Gesnerus in Indice Orphicorum suspicatur Gymnorum ab isto poeta Orphico Argon. 1043. memoratorum ad Phasin urbem fuisse Gymniam. Mannert Geogr. v. p. ii. p. 404. situm ejus collocat in vicinia ejus, quæ hodie *Gole* vocatur, haud procul a fonte meridionali fluvii Cyri. Idem p. 416. suspicatur, non diversam esse ab urbe Zela seriorum scriptorum, ubi dea Anaitis colebatur.

ὁ τῆς χώρας ἄρχων] Vulgatum ταύτης τῆς χώρας ὁ ἄρχων correxi ex Diodoro, qui sic: ἐκ δὲ ταύτης ὁ τῶν τόπων τούτων ἀφηγούμενος ἐσπείσατο πρὸς αὐτοὺς καὶ τοὺς ὁδηγήσοντας ἐπὶ θάλατταν συνέστησεν. Leonclavius, qui vitium vulgatæ senserat, ἐκ deleri voluit. Vulgatam defendebat Zeune.

ἐπάγοι] Guelf. ἐπαγάγοι, Paris. A. ὑπάγοι, Eton. ἄγοι; hoc postremum præferebat Larcher, ἀπάγοι Weiske.

20. δὲ αὐτὸς] Eton. δὲ κεῖνος. Deinde αὐτὸς pro αὐτοὺς est in Ald. Steph. priore et in Leonclavianis.

πέντε ἡμερῶν εἰς χωρίον] Germanicus interpres, *Becker*, quem secutus est alter, *Halbkart*, recte vitium vulgatæ correxit, quæ verba πέντε ἡμερῶν post ὅθεν collocata habet.

καὶ ἡγούμενος, ἐπειδὴ] Vulgatum ἐπηγγέλλετο καὶ ἡγούμενος· ἐπεὶ δὲ ita cum Leonclavio correxit Zeune. Mureti correctionem καὶ ἡγούμενος δὲ, ἐπεὶ probavit cum Hutchinsono Weiske. Deinde ἑαυτοῦ πολεμίαν Eton. dat. ἑαυτῷ malebat Brodæus.

ᾧ καὶ] Edd. vett. Guelf. Paris. Eton. ὃ καὶ dant.

21. πέμπτῃ] Diodorus: ἐν ἡμέραις δὲ πεντεκαίδεκα παραγενόμενοι ἐπὶ τὸ Χήνιον ὄρος. Iterum ille vitiose numerum 15. pro 5. posuit. Ceterum Paris. cum margine Steph. Ἥχης habet, Eton. Ἥφης. Idem hic liber verba τὸ ἱερὸν omittit. Quo facto tollitur erroris occasio, ne sacrum montem oræ maritimæ Ponti huc transferamus. De quo errore monuit Mannert Geogr. v. p. ii. p. 382. quem vide etiam p. 405.

ἐπειδὴ] Eton. ἐπεί. Sequens καὶ omisit Guelf.

22 λατταν, πολλὴ κραυγὴ ἐγένετο. Ἀκούσας δὲ ὁ Ξενοφῶν
καὶ οἱ ὀπισθοφύλακες, ᾠήθησαν καὶ ἔμπροσθεν ἄλλους
ἐπιτίθεσθαι πολεμίους· εἵποντο γὰρ καὶ ὄπισθεν οἱ ἐκ
τῆς καιομένης χώρας· καὶ αὐτῶν οἱ ὀπισθοφύλακες ἀπέ-
κτεινάν τε τινὰς καὶ ἐζώγρησαν, ἐνέδραν ποιησάμενοι·
καὶ γέῤῥα ἔλαβον δασέων βοῶν ὠμοβόϊνα ἀμφὶ τὰ εἴ-
κοσιν.
23 Ἐπειδὴ δὲ βοὴ πλείων τε ἐγίγνετο καὶ ἐγγύτερον, καὶ
οἱ ἀεὶ ἐπιόντες ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ βοῶντας, καὶ
πολλῷ μείζων ἐγίγνετο ἡ βοὴ, ὅσῳ δὴ πλείους ἐγίγνοντο,
24 ἐδόκει δὴ μεῖζόν τι εἶναι τῷ Ξενοφῶντι. Καὶ ἀναβὰς
ἐφ᾽ ἵππον, καὶ Λύκιον καὶ τοὺς ἱππέας ἀναλαβὼν,
παρεβοήθει· καὶ τάχα δὴ ἀκούουσι βοώντων τῶν στρα-
τιωτῶν, θάλαττα, θάλαττα, καὶ παρεγγυώντων. Ἔν-
θα δὴ ἔθεον ἅπαντες καὶ οἱ ὀπισθοφύλακες, καὶ τὰ
25 ὑποζύγια ἠλαύνετο καὶ οἱ ἵπποι. Ἐπεὶ δὲ ἀφίκοντο
πάντες ἐπὶ τὸ ἄκρον, ἐνταῦθα δὴ περιέβαλλον ἀλλήλους,
καὶ στρατηγοὺς καὶ λοχαγοὺς, δακρύοντες. Καὶ ἐξα-

22. καὶ ἔμπροσθεν] Eton. καὶ omittit. male! Idem sequens καὶ et οἱ omittit. Vulgo erat καὶ οἱ ὄπισθεν. Vitium præeunte Hutchinsono, auctore conjecturæ Porto et Leoncl. correxit Zeune.

ὠμοβόϊνα] Stephani ὠμοβόεια hic et sect. 26. ab eo receptum damnavit jam olim Valckenaer ad Herodoti vii. 91. p. 547. Nostrum est in Edd. vett. Guelf. Eton. σάλπιγξιν ὠμοβοΐναις est infra vii. 3, 32.

23. πλείων τε] Vulgatum πλεῖόν τε correxi. Deinceps δρόμον habent Edd. vett. Guelf. quod Stephanus ex Paris. correxit.

μείζων—ἡ βοὴ] Vulgatum μεῖζον Stephanus correxit adstipulantibus Paris. Eton. Guelf. Articulum ἡ ante βοὴ ex Eton. addidit Zeune, quem iterum omisit Weiske. Scilicet primo loco βοὴ πλείων recte ponitur de clamore indefinite; sed idem ille clamor antea memoratus articulum desiderare nunc videtur. Diodorus: ὡς εἶδον πορευόμενοι οἱ πρῶτοι τὴν θάλατταν, περιχαρεῖς ἦσαν, καὶ τοιαύτην ἐποίουν κραυγὴν, ὥστε τοὺς ἐπὶ τῆς οὐραγίας ὄντας, ὑπολαμβάνοντας πολεμίων ἔφοδον εἶναι, χωρεῖν εἰς ὅπλα· ὡς δ᾽ ἅπαντες ἀνέβησαν ἐπὶ τὸν τόπον, ἐξ οὗ τὴν θάλατταν ἦν ὁρᾷν, τοῖς θεοῖς ἀνατείναντες τὰς χεῖρας, ηὐχαρίστουν ὡς ἤδη διασεσωσμένοι.

25. περιέβαλλον] Locum Libanii Orat. x. p. 280. a Wesselingio emendatum ad Diodorum p. 665. comparavit etiam Zeune. Plutarchus Antonii cap. 49. ἐπεὶ δ᾽ ἐπέβησαν τῆς Ἀρμενίας, ὥσπερ ἄρτι γῆν ἰδόντες ἐκ πελάγους, προσεκύνουν καὶ πρὸς δάκρυα καὶ περιβολὰς ἀλλήλων ὑπὸ χαρᾶς ἐτράποντο.

πίνης, ὅτου δὴ παρεγγυήσαντος, οἱ στρατιῶται φέρουσι
λίθους, καὶ ποιοῦσι κολωνὸν μέγαν. Ἐνταῦθα ἀνετί- 26
θεσαν πλῆθος δερμάτων ὠμοβοΐνων, καὶ βακτηρίας, καὶ
τὰ αἰχμάλωτα γέρρα, καὶ ὁ ἡγεμὼν αὐτός τε κατέτεμνε
τὰ γέρρα, καὶ τοῖς ἄλλοις διεκελεύετο. Μετὰ ταῦτα 27
τὸν ἡγεμόνα ἀποπέμπουσιν οἱ Ἕλληνες, δῶρα δόντες ἀπὸ
κοινοῦ, ἵππον, καὶ φιάλην ἀργυρᾶν, καὶ σκευὴν Περσι-
κήν, καὶ δαρεικοὺς δέκα· ᾔτει δὲ μάλιστα τοὺς δακτυ-
λίους, καὶ ἔλαβε πολλοὺς παρὰ τῶν στρατιωτῶν. Κώ-
μην δὲ δείξας αὐτοῖς, οὗ σκηνήσουσι, καὶ τὴν ὁδόν, ἣν πο-
ρεύσονται εἰς Μάκρωνας, ἐπεὶ ἑσπέρα ἐγένετο, ᾤχετο τῆς
νυκτὸς ἀπιών.

CAP. VIII.

ΕΝΤΕΥΘΕΝ ἐπορεύθησαν οἱ Ἕλληνες διὰ Μακρώ-
νων σταθμοὺς τρεῖς, παρασάγγας δέκα. Τῇ πρώτῃ δὲ
ἡμέρᾳ ἀφίκοντο ἐπὶ τὸν ποταμόν, ὃς ὥριζε τήν τε τῶν
Μακρώνων χώραν καὶ τὴν τῶν Σκυθινῶν. Εἶχον δ' 2
ὑπερδέξιον χωρίον οἷον χαλεπώτατον, καὶ ἐξ ἀριστερᾶς

ὅτου δὴ] Margo Steph. οὕτω deinde παρεγγυήσαντες Junt. Aldina, Guelf.

κολωνὸν] Diodorus: συνενέγκαντες δὲ εἰς ἕνα τόπον λίθους παμπληθεῖς καὶ ποιήσαντες ἐξ αὐτῶν ἀναστήματα μεγάλα, σκῦλα βαρβάρων ἀνέθεσαν βουλόμενοι τῆς στρατείας ἀθάνατον ὑπόμνημα καταλιπεῖν.

26. ἀνετίθεσαν] Hoc vulgato ἐνετίθεσαν ex Suida in voc. παρεγγυᾷ et libro Paris. prætuli. Eodem verbo Diodorus usus est.

δερμάτων] Vulgatum δερματίνων ex Suida et Eton. suadente Brodæo correxit Zeune. ὠμοβοΐων Edd. vett. Guelf. dant, alteram formam margo Steph. cum Eton. ὠμοβοείων Steph. Vocabulum omisit Suidas.

27. σκευὴν] Diodorus tantum φιάλην ἀργυρᾶν καὶ στολὴν Περσικὴν nominat.

τοὺς δακτυλίους] Non solum articulus additus, sed res ipsa etiam mirationem facit mihi quidem, ut vitium subesse suspicer.

οὗ σκηνήσουσι] Eton. ᾗ habet, deinde cum Paris. et margine Steph. ἣν πορεύσονται dedi pro vulgato ᾗ εἰσπορεύσοιντο. Denique Eton. ἐπεὶ δὲ ἑσπέρα habet. Diodorus: ὃς δείξας αὐτοῖς τὴν ἐπὶ Μάκρωνας ὁδὸν ἀπηλλάγη.

1. Μακρώνων χώραν] Posteriorem vocem omisit Junt. et Guelf. Fluvium intelligendum esse *Absarum*, Macrones autem esse, qui postea Tzani vocati fuerint, monet Mannert Geogr. v. p. 213. et p. 365. 405.

2. ὑπερδέξιον] Vulgatum hoc cum Edd. et Codd. plurimis tuetur Suidas sub h. v. ὑπὲρ δεξιῶν ex Paris. dedit Zeune et Weiske, quod postulare iis

ἄλλον ποταμὸν, εἰς ὃν ἐνέβαλλεν ὁ ὁρίζων, δι' οὗ ἔδει διαβαίνειν. Ἦν δὲ οὗτος δασὺς δένδροις παχέσι μὲν οὔ, πυκνοῖς δέ. Ταῦτα, ἐπεὶ προσῆλθον οἱ Ἕλληνες, ἔκοπτον, σπεύδοντες ὡς τάχιστα ἐκ τοῦ χωρίου ἐξελθεῖν.

3 Οἱ δὲ Μάκρωνες, ἔχοντες γέῤῥα καὶ λόγχας καὶ τριχίνους χιτῶνας, καταντιπέρας τῆς διαβάσεως παρατεταγμένοι ἦσαν, καὶ ἀλλήλοις διεκελεύοντο, καὶ λίθους εἰς τὸν ποταμὸν ἐῤῥίπτουν· ἐξικνοῦντο δὲ οὐδὲ οὕτως, οὐδ' ἔβλαπτον οὐδένα.

4 Ἔνθα δὴ προσέρχεται τῷ Ξενοφῶντι τῶν πελταστῶν τις ἀνὴρ, Ἀθήνησι φάσκων δεδουλευκέναι, λέγων, ὅτι γιγνώσκοι τὴν φωνὴν τῶν ἀνθρώπων. Καὶ οἶμαι, ἔφη, ἐμὴν ταύτην τὴν πατρίδα εἶναι· καὶ, εἰ μή τι κωλύει,
5 ἐθέλω αὐτοῖς διαλεχθῆναι. Ἀλλ' οὐδὲν κωλύει, ἔφη· ἀλλὰ διαλέγου, καὶ μάθε πρῶτον αὐτῶν, τίνες εἰσίν. Οἱ δ' εἶπον, ἐρωτήσαντος, ὅτι Μάκρωνες. Ἐρώτα τοίνυν, ἔφη, αὐτοὺς, τί ἀντιτετάχαται, καὶ χρήζουσιν ἡμῖν

videbatur sequens ἐξ ἀριστερᾶς. Censent nempe ὑπερδέξιον simpliciter esse *superius*, *editum*, sine notione lateris dextri. Weiske ὑπὲρ δεξιῶν interpretatur in loco edito, qui erat ad dextram. Fateor, in locis omnibus, quæ potui comparare, valere illam notionem loci editi et superioris; sed vel ita scriptura vulgaris potest defendi. Ex sequenti enim ἐξ ἀριστερᾶς intelligi potest in priore membro situs dexter loci. Quod si Xenophon situm dextrum simul et superiorem loci significare voluisset, cur ὑπὲρ δεξιῶν (intellecto τῶν) potius quam ὑπὲρ κεφαλῶν dixit?

δι' οὗ] Edd. vett. cum Guelf. δι' οὗς dant.

ἐπεὶ προσῆλθον] Ita Eton. pro vulgato προῆλθον habet. Græci arbores cædunt, quibus pontis instar per fluvium stratis insistant et transeant.

3. καταντιπέρας] Junt. Guelf. κατ' ἀντιπέραν. Cum supra i. 1, 9. sine varietate scriptum τῆς καταντιπέρας Ἀβύδου legatur, æquum erat, eandem formam etiam hic restituere in locum vulgati καταντιπέραν. De Venat. ix. 3, est εἰς τὸ ἀντιπέρας.

οὐδὲ οὕτως] In Eton. οὕτω deesse apparet ex annotatione Hutchinsoni; Weiske, *clarius*, inquit, *scriberetur οὐδ' ἄλλως ἔβλαπτον οὐδένα.* Vitium aliquod locus contraxisse etiam mihi videtur.

4. προσέρχεται] Junt. Guelf. προέρχεται. Deinceps κωλύῃ Paris.

5. καὶ μάθε] Eton. ἔφη, μάθε. Sequens αὐτῶν omittit Paris.

Μάκρωνες] Straboni xii. p. 825. Sannos esse, ut Arriano Peripli p. 11. Procopio Pers. i. 15. Τζάνους docet Mannert Geogr. vi. p. ii. p. 418. seqq.

ἀντιτετάχαται] Ita Eton. ἀντιτετάχατε Guelf. Vulgo ante Zeunium erat ἀντιτετάχασι. Formam Ionicam præteriti passivi ex Arriani Anabasi annotavit Weiske.

πολέμιοι εἶναι; Οἱ δ' ἀπεκρίναντο· Ὅτι καὶ ὑμεῖς ἐπὶ 6
τὴν ἡμετέραν ἔρχεσθε. Λέγειν ἐκέλευον οἱ στρατηγοὶ,
ὅτι γε οὐ κακῶς ποιήσοντες, ἀλλὰ βασιλεῖ πολεμήσαν-
τες, ἀπερχόμεθα εἰς τὴν Ἑλλάδα, καὶ ἐπὶ θάλατταν
βουλόμεθα ἀφικέσθαι. Ἠρώτων ἐκεῖνοι, εἰ δοῖεν ἂν 7
τούτων τὰ πιστά. Οἱ δ' ἔφασαν, καὶ δοῦναι καὶ λα-
βεῖν ἐθέλειν. Ἐντεῦθεν διδόασιν οἱ Μάκρωνες βαρβα-
ρικὴν λόγχην τοῖς Ἕλλησιν, οἱ δὲ Ἕλληνες ἐκείνοις Ἑλλη-
νικήν· ταῦτα γὰρ ἔφασαν πιστὰ εἶναι· θεοὺς δ' ἐπε-
μαρτύραντο ἀμφότεροι.

Μετὰ δὲ τὰ πιστὰ εὐθὺς οἱ Μάκρωνες τὰ δένδρα 8
συνεξέκοπτον, τήν τε ὁδὸν ὡδοποίουν, ὡς διαβιβάσοντες, ἐν
μέσοις ἀναμεμιγμένοι τοῖς Ἕλλησιν· καὶ ἀγορὰν, οἵαν
ἐδύναντο, παρεῖχον· καὶ διήγαγον τρισὶν ἡμέραις, ἔστε
ἐπὶ τὰ τῶν Κόλχων ὅρια κατέστησαν τοὺς Ἕλληνας.
Ἐνταῦθα ἦν ὄρος μέγα, προσβατὸν δέ· καὶ ἐπὶ τούτου 9
οἱ Κόλχοι παρατεταγμένοι ἦσαν. Καὶ τὸ μὲν πρῶτον
οἱ Ἕλληνες ἀντιπαρετάξαντο φάλαγγα, ὡς οὕτως ἄξον-
τες πρὸς τὸ ὄρος· ἔπειτα δὲ ἔδοξε τοῖς στρατηγοῖς συλ-
λεγεῖσι βουλεύσασθαι, ὅπως ὡς κάλλιστα ἀγωνιοῦνται.
Ἔλεξεν οὖν Ξενοφῶν, ὅτι δοκεῖ, παύσαντας τὴν φάλαγ- 10
γα, λόχους ὀρθίους ποιῆσαι· ἡ μὲν γὰρ φάλαγξ δια-
σπασθήσεται εὐθύς· τῇ μὲν γὰρ ἄνοδον, τῇ δὲ εὔοδον

6. ἡμέτεραν] Paris. Eton. et margo Steph. χώραν addunt, quod vocabulum commode etiam intelligitur.

ἀλλὰ βασιλεῖ πολεμήσαντες] Hæc omittunt Junt. Guelf. Similiter liber Eton. omisit verba sect. 7. οἱ δὲ Ἕλληνες usque ad τοῖς Ἕλλησι sect. 8.

7. πιστὰ εἶναι] Diodorus: ταῦτα γὰρ ἔφασαν αὐτοῖς οἱ βάρβαροι διὰ προγόνων παραδεδόσθαι πρὸς πίστιν βεβαιότατα.

8. διήγαγον] Paris. Eton. cum margine Steph. παρήγαγον ἐν τρισίν.

ἕως οὗ] Edd. vett. excepta Castal. cum Guelf. dant ἕως οὗ ἔστε ἐπί. Eton. ἕως ἔστε ἐπὶ τὰ ὄρεια. Alterum utrum ergo est interpretamentum. Igitur auctore Porsono vulgatum ἕως οὗ correxi. Ceterum Paris. solus τὰ Κόλχων ὅρια dat, unde vulgatum ἐπὶ τὰ ὄρη τῶν Κόλχων correxi. Sequitur enim ἐνταῦθα ἦν ὄρος μέγα.

9. μέγα, προσβατὸν δέ] Haud scio an Xenophon etiam hic usurpaverit formulam μέγα μὲν, προσβατὸν δέ.

φάλαγγα] Verum puto, quod commendat Brodæus et habet margo Steph. κατὰ φάλαγγα, vel εἰς φ.

εὑρήσομεν τὸ ὄρος· καὶ εὐθὺς τοῦτο ἀθυμίαν ποιήσει,
ὅταν τεταγμένοι εἰς φάλαγγα ταύτην διεσπασμένην ὁρῶ-
11 σιν. Ἔπειτα δὲ, ἢν μὲν ἐπὶ πολλοὺς τεταγμένοι προσ-
άγωμεν, περιττεύσουσιν ἡμῶν οἱ πολέμιοι, καὶ τοῖς περιτ-
τοῖς χρήσονται, ὅ τι ἂν βούλωνται· ἐὰν δ᾽ ἐπὶ ὀλίγων
τεταγμένοι ἴωμεν, οὐδὲν ἂν εἴη θαυμαστὸν, εἰ διακοπείη
ἡμῶν ἡ φάλαγξ ὑπὸ ἀθρόων πη καὶ βελῶν καὶ ἀνθρώ-
πων συμπεσόντων· εἰ δέ πη τοῦτο ἔσται, τῇ ὅλῃ φάλαγγι
12 κακὸν ἔσται. Ἀλλά μοι δοκεῖ, ὀρθίους τοὺς λόχους
ποιησαμένους, τοσοῦτον χωρίον κατασχεῖν διαλιπόντας
τοὺς λόχους, ὅσον ἔξω τοὺς ἐσχάτους λόχους γενέσθαι
τῶν πολεμίων κεράτων· καὶ οὕτως ἐσόμεθα τῆς τε τῶν
πολεμίων φάλαγγος ἔξω οἱ ἔσχατοι λόχοι, καὶ ὀρθίους
ἄγοντες οἱ κράτιστοι ἡμῶν πρῶτοι προσίασιν, ᾗ τε ἂν εὔο-
13 δον ᾖ, ταύτῃ ἕκαστος ἄξει ὁ λόχος. Καὶ εἴς τε τὸ δια-
λεῖπον οὐ ῥᾴδιον ἔσται τοῖς πολεμίοις εἰσελθεῖν, ἔνθεν
καὶ ἔνθεν λόχων ὄντων, διακόψαι τε οὐ ῥᾴδιον ἔσται λό-
χον ὄρθιον προσιόντα. Ἐάν τέ τις πιέζηται τῶν λόχων,
ὁ πλησίον βοηθήσει· ἤν τέ πη εἰς δυνηθῇ τῶν λόχων ἐπὶ

10. *ὅταν τεταγμένοι*] Brodæi liber, Paris. Eton. et margo Steph. dedit hanc pro vulgata scriptura *ὅτι*.

11. *περιττεύσουσιν ἡμῶν*] Excedere fronte, latius extendi interpretatur Weiske; quod est alibi *ὑπερκερᾷν*.

ἐπὶ ὀλίγων] Phalangem indicari, monet Weiske. Pro *ἴωμεν* est in libro Brodæi et Paris.

ἀνθρώπων] Liber Brodæi, Paris. Eton. margo Steph. addunt *πολλῶν*. Ceterum *πη* pertinet ad *πη*, quod nescio an alibi tam procul a suo pari collocatum reperiatur. Sequitur statim *εἰ δέ πη τοῦτο ἔσται*. Sed sect. 13. est *ἤν τε εἷς πη δυνηθῇ*. ubi tamen Steph. *ἤν τέ πη εἷς* dedit.

12. *τοσοῦτον χωρίον*] Paris. Eton. *τοσούτων χωρίων*, deinde cum libro Brodæi et margine Steph. *τοῖς λόχοις* dant.

καὶ οὕτως—λόχοι] Inanem hanc ejusdem sensus repetitionem censens Weiske veretur, ne hic mutatis quibusdam duplex sit in textu posita lectio. Sed potest reponi, in priore loco modum exponi, quo fieri possit id, altero, quem usum et effectum habeat ordo ille, demonstrari.

οἱ κράτιστοι] Intelligi *λοχαγοὺς* monet Zeune, quos in prima quidem acie collocatos verisimile esse ait Weiske fortissimos fuisse. Sequens *πρῶτοι* pro vulgato *πρῶτον* ex conjectura Stephani cum Hutchinsono recepit Weiske. Denique *προσιᾶσι* Edd. vett. cum Guelf. dant.

13. *ἔσται τοῖς*] Vulgatum *ἔστι* ex Paris. Eton. correxit Hutchinson. Deinde *βοήθησοι* habet Paris.

πη εἷς] Stephanus hoc vulgato *εἷς πη* substituit, credo ex Paris. Vulgatum revocavit Zeune.

τὸ ἄκρον ἀναβῆναι, οὐδεὶς μηκέτι μείνῃ τῶν πολεμίων. Ταῦτα ἔδοξε, καὶ ἐποίουν ὀρθίους τοὺς λόχους. Ξενοφῶν 14
δὲ ἀπιὼν ἐπὶ τὸ εὐώνυμον ἀπὸ τοῦ δεξιοῦ, εἶπε τοῖς στρατιώταις· Ἄνδρες, οὗτοί εἰσιν, οὓς ὁρᾶτε, μόνοι ἔτι ἡμῖν ἐμποδὼν τοῦ μὴ ἤδη εἶναι, ἔνθα πάλαι σπεύδομεν· τούτους, ἤν πως δυνώμεθα, καὶ ὠμοὺς δεῖ καταφαγεῖν.

Ἐπεὶ δ᾽ ἐν ταῖς χώραις ἕκαστοι ἐγένοντο, καὶ τοὺς 15
λόχους ὀρθίους ἐποιήσαντο, ἐγένοντο μὲν λόχοι τῶν ὁπλιτῶν ἀμφὶ τοὺς ὀγδοήκοντα, ὁ δὲ λόχος ἕκαστος σχεδὸν εἰς τοὺς ἑκατόν· τοὺς δὲ πελταστὰς καὶ τοὺς τοξότας τριχῇ ἐποιήσαντο, τοὺς μὲν τοῦ εὐωνύμου ἔξω, τοὺς δὲ τοῦ δεξιοῦ, τοὺς δὲ κατὰ μέσον, σχεδὸν ἑξακοσίους ἑκάστους. Ἐκ τούτου παρηγγύησαν οἱ στρατηγοὶ εὔχεσθαι· εὐξά- 16
μενοι δὲ καὶ παιανίσαντες ἐπορεύοντο. Καὶ Χειρίσοφος μὲν καὶ Ξενοφῶν καὶ οἱ σὺν αὐτοῖς πελτασταὶ ἔξω γενόμενοι τῆς τῶν πολεμίων φάλαγγος ἐπορεύοντο· οἱ δὲ 17
πολέμιοι, ὡς εἶδον αὐτούς, ἀντιπορεύονται· καὶ οἱ μὲν ἐπὶ τὸ δεξιὸν οἱ δὲ ἐπὶ τὸ εὐώνυμον διεσπάσθησαν, καὶ

μηκέτι μείνῃ] Dictum ut in Cyrop. iii. 2, 8. *ὡς οἵγε Ἀρμένιοι οὐ μὴ δέξωνται τοὺς πολεμίους.* Supra ii. 2, 12. *οὐκέτι μὴ δύνηται βασιλεὺς ἡμᾶς καταλαβεῖν.*

14. *εἶπε*] Eton. *ἔλεγε.* deinde *μόνον* Edd. vett. Guelf. postea *ὑμῖν* dant, sola Castal. *ἡμῖν.*

τοῦ μὴ ἤδη] Aldinæ *τὸ μὴ* transiit in Stephanianas. Deinceps Paris. Eton. *ἐσπεύδομεν* dant.

ὠμοὺς] Formulam ex Homerica Iliade iv. 34. ductam comparavit jam olim Stephanus cum Hellenicis iii. 3, 6.

16. *εὔχεσθαι*] Vota nunc suscepta solvunt sect. 25.

17. *αὐτούς, ἀντιπορεύονται· καὶ οἱ μὲν*] Hanc vulgatam lectionem ex Paris. Eton. et margine Steph. mutavit Zeune in *αὐτοὺς ἀντιπαραθέοντας, οἱ μέν.* In Eton. tamen et margine Steph. est *ἀντιθέοντας.* Zeune *ἀντιπαραθέοντας* interpretatur: *extra cornua cursu obviam ferri.* Zeunium sequitur Weiske. Sed primum quæro, unde appareat, cursu Græcos tendere contra hostes? Geminatum enim illud *ἐπορεύοντο* cursum non arguit, in loco acclivi et difficili vix commode adhibendum. Deinde *ἀντιπαραθέοντας* significat barbaros incepisse priores cursu ingredi contra Græcos. At ubi tale quid narrantem Xenophontem monstrabis? Postea falsum videtur, quod posuit Zeune, barbaros ob ingenium suum et loci naturam obvios Græcis non processisse. Multo enim illi commodius Græcos ex superiori loco adoriri et dejicere poterant, quam hi ex inferiori et acclivi. Igitur veterem scripturam restitui.

διεσπάσθησαν] Recte Zeunium ex Eton. Paris. et margine Steph. *διεσπάρθησαν* recipientem deseruit Wei-

πολὺ τῆς ἑαυτῶν φάλαγγος ἐν τῷ μέσῳ κενὸν ἐποίησαν.
18 Ἰδόντες δὲ αὐτοὺς διαχάζοντας οἱ κατὰ τὸ Ἀρκαδικὸν
πελτασταὶ, ὧν ἦρχεν Αἰσχίνης ὁ Ἀκαρνὰν, νομίσαντες
φεύγειν, ἀνὰ κράτος ἔθεον· καὶ οὗτοι πρῶτοι ἐπὶ τὸ ὄρος
ἀναβαίνουσι· συνεφείπετο δὲ αὐτοῖς καὶ τὸ Ἀρκαδικὸν
19 ὁπλιτικὸν, ὧν ἦρχε Κλεάνωρ ὁ Ὀρχομένιος. Οἱ δὲ πολέ-
μιοι, ἐπεὶ ἤρξαντο θεῖν, οὐκέτι ἔστησαν, ἀλλὰ φυγῇ
ἄλλος ἄλλῃ ἐτράπετο. Οἱ δὲ Ἕλληνες ἀναβάντες
ἐστρατοπεδεύσαντο ἐν πολλαῖς κώμαις καὶ τὰ ἐπιτήδεια
20 πολλὰ ἐχούσαις. Καὶ τὰ μὲν ἄλλα οὐδὲν ἦν, ὅ τι καὶ
ἐθαύμασαν· τὰ δὲ σμήνη πολλὰ ἦν αὐτόθι, καὶ τῶν
κηρίων ὅσοι ἔφαγον τῶν στρατιωτῶν, πάντες ἄφρονές τε

ske. Aliud enim διασπείρεσθαι est, aliud διασπᾶσθαι. Locus i. 8, 25. a Zeunio comparatus est de fuga, nec aptus ad hanc narrationem. Pro ἑαυτῶν Paris. αὐτῶν habet.

18. διαχάζοντας] Hunc locum adhibuit Leonclavius ad Cyrop. vii. 1, 31. ubi nunc est: ἅτε οὐ δυναμένων διαχάσασθαι τῶν Αἰγυπτίων, διὰ τὸ μένειν τοὺς ἔνθεν καὶ ἔνθεν αὐτοὺς ex Codice Budensi et Altorfino. Antea enim erat διαχωρῆσαι, quod Leonclavium secutus in διχάσασθαι mutavit temere Zeune. Διχάζειν est dividere, in duo separare. Passivo sensu, quem vulgo ad hunc locum transferunt, adhibitum verbum posuit Suidas: ἤδη δὲ τοῦ καύματος ἀκμάζοντος καὶ διχαζούσης τῆς ἡμέρας. ubi pessime διχ. interpretatur κλινούσης, cum sit medio die vel meridie. Lunam divisam seu dimidiatam Aratus 799. διχόωσαν dicit. Antiquiorem equidem auctoritatem desidero; quæ tamen etsi adseri possit alicunde, ipsa notio divisionis ab hoc loco aliena est, qui *intervalli relicti* significationem postulat. Atque hæc inest in verbo διαχάζειν vel διαχάζεσθαι. Activa forma si in ἀναχάζειν supra iv. 1, 16. sine varietate usus reperitur Xenophon, quidni διαχάζειν pariter dicere ei licuit? Igitur vulgatum διχάζοντας audacter correxi.

οἱ κατὰ τὸ Ἀρκαδικὸν] Eton. πρὸς dat. Leoncl. vertit *instructi Arcadico more cetrati*, Amasæus *Arcadici peltati*, Brodæus *peltastæ aut cetrati Arcades*. Weiske suspicatur scriptum fuisse οἱ κατὰ τὸ μέσον Ἀρκ. alias enim non apparere, quo spectet narratio de peltastis trifariam divisis sect. 15. Partem veri vidit vir doctus. sed loco aberravit, quem designat nominatio Æschinis Acarnanis, qui supra iv. 3, 22. est Αἰσχίνης ὁ τὴν τάξιν ἔχων τῶν πελταστῶν τῶν ἀμφὶ Χειρίσοφον. Atqui Cherisophus et Xenophon καὶ οἱ σὺν αὐτοῖς πελτασταὶ erant in cornu exercitus græci utrinque positi: ergo Æschines cum peltastis non erat in medio, sed in cornu.

Ἀκαρνὰν] Junt. Guelf. Καρνᾶς, Ald. Καρνάν.

ἀνὰ κράτος] Paris. Eton. ἀνακραγόντες dant, ut supra iv. 4, 20. Porson ἀνακραγόντες ἀνὰ κράτος ἔθεον scribendum conjiciebat.

δὲ αὐτοῖς] Eton. δ' αὐτοῦ.

19. ἐπεὶ] Eton. ὡς dat.

ἐπιτήδεια πολλὰ] Interpositum vulgo δὲ cum Paris. et Eton. omisi; seclusit Zeune, revocavit Weiske. Diodorus, nescio ex quo auctore, ita tradit: αὐτοὶ δὲ λόφον ὀχυρὸν καταλαβόμενοι τὴν χώραν ἐπόρθουν, καὶ τὰς ὠφελείας εἰς τοῦτον ἀθροίσαντες ἀφθόνως ἑαυτοὺς ἀνελάμβανον.

20. κηρίων ὅσοι] Edd. vett. Guelf.

ἐγίγνοντο, καὶ ἤμουν, καὶ κάτω διεχώρει αὐτοῖς, καὶ ὀρ-
θὸς οὐδεὶς ἐδύνατο ἵστασθαι· ἀλλ' οἱ μὲν ὀλίγον ἐδηδο-
κότες, σφόδρα μεθύουσιν ἐῴκεσαν· οἱ δὲ πολὺ, μαινομέ-
νοις· οἱ δὲ καὶ ἀποθνήσκουσιν. Ἔκειντο δὲ οὕτω πολ- 21
λοὶ, ὥσπερ τροπῆς γεγενημένης, καὶ πολλὴ ἦν ἡ ἀθυμία.
Τῇ δ' ὑστεραίᾳ ἀπέθανε μὲν οὐδεὶς, ἀμφὶ δὲ τὴν αὐτήν
που ὥραν ἀνεφρόνουν· τρίτῃ δὲ καὶ τετάρτῃ ἀνίσταντο
ὥσπερ ἐκ φαρμακοποσίας.
Ἐντεῦθεν ἐπορεύθησαν δύο σταθμοὺς, ἑπτὰ παρα- 22
σάγγας, καὶ ἦλθον ἐπὶ θάλατταν, εἰς Τραπεζοῦντα,
πόλιν Ἑλληνίδα οἰκουμένην, ἐν τῷ Εὐξείνῳ Πόντῳ, Σινω-

δὲ addunt, quod Castalio ante ὅσοι posuit, omisit Steph. Paris. Eton. Pro ὀρθὸς in Paris. Eton. est ὀρθῶς.

ἤμουν] Suidas ex h. l. ut videtur, ἐμέτῳ κατείχοντο interpretatur.

21. γεγενημένης] Eton. γενομένης. Deinceps πολλὴ ἦν ἀθυμία dant Junt. et Eton. Zeune comparat locum iv. 3, 7. ἐνταῦθα δὴ πολλὴ ἀθυμία ἦν τοῖς Ἕλλησιν. sed ibi propter sequens τοῖς Ἕλλησιν articulus omitti posse commode videtur.

ἀνεφρόνουν] Guelf. cum libris editis ἐφρόνουν habet; nostrum ex Paris. et Eton. Hutchinson restituit, comprobante Diodoro: εὑρίσκετο δὲ καὶ σμήνη παμπληθῆ περὶ τοὺς τόπους, ἐξ ὧν πολυτελῆ προσεφέρετο κηρία· τούτων δ' οἱ γευσάμενοι παραλόγῳ περιέπιπτον συμπτώματι· οἱ γὰρ μεταλαβόντες αὐτῶν ἄφρονες ἐγίνοντο, καὶ πίπτοντες ἐπὶ τὴν γῆν ὅμοιοι τοῖς τετελευτηκόσιν ὑπῆρχον. Πολλῶν δὲ φαγόντων διὰ τὴν γλυκύτητα τῆς ἀπολαύσεως, ταχὺ τὸ πλῆθος ἐγεγόνει τῶν πεπτωκότων οἱονεὶ τροπῆς ἐν πολέμῳ γεγενημένης. Ἐκείνην μὲν οὖν τὴν ἡμέραν ἠθύμησεν ἡ δύναμις, καταπεπληγμένη τό τε παράδοξον καὶ τὸ πλῆθος τῶν ἠτυχηκότων· τῇ δ' ὑστεραίᾳ περὶ τὴν αὐτὴν ὥραν ἅπαντες ἑαυτοὺς ἀνελάμβανον καὶ κατ' ὀλίγον ἀνακτώμενοι τὸ φρονεῖν, ἀνέστησαν καὶ τὸ σῶμα διετέθησαν ὁμοίως τοῖς ἐκ φαρμακοποσίας διασωθεῖσιν. De eodem melle Plinius xxi. 13. *aliud genus in eodem Ponti situ gente Sannorum mellis, quod ab insania, quam gignit, mænomenon vocant. Id existimatur contrahi flore rhododendri, quo scatent silvæ.* Meminit ejusdem præterea Dioscorides ii. 103. Strabo xii. p. 826. Ælianus h. a. v. 42. Procopius B. Goth. iv. 2. Ælianus quidem ita: Ἐν Τραπεζοῦντι δὲ τῇ Ποντικῇ ἐκ τῆς πύξου γίνεσθαι μέλι πέπυσμαι, βαρὺ δὲ τὴν ὀσμὴν τοῦτο εἶναι, καὶ ποιεῖν μὲν τοὺς ὑγιαίνοντας ἔκφρονας, τοὺς δὲ ἐπιλήπτους εἰς ὑγίειαν ἐπανάγειν αὖθις. Ad quæ adscripsi, quæ huc transferre nolo. Addo locum Galli *Peyssonel* ex libro: *Traité sur le Commerce de la Mer noire* tom. i. p. 285. *On débite à Taman environ cinq cents quintaux de miel d'Abaza qui est à très-bon marché, et ne vaut que* 4 *paras l'ocque: il est d'une très-mauvaise qualité, il cause une ivresse affreuse à ceux qui en mangent, et c'est pour cela qu'on l'appelle* deli-bal *ou* miel fol. *On en compose une boisson avec le nardenk; on en méle aussi avec la boisson de millet fermenté appellée* boza, *pour lui donner plus de force.* Quem locum si cognitum habuisset Mannert Geogr. vi. p. ii. p. 426. potuisset errores varios cavere.

22. Ἐντεῦθεν] Edd. vett. Guelf. ἐνταῦθα. deinde Paris. παρασάγγας ἑπτὰ dat.

καὶ ἦλθον] Ita cum Eton. scripsi pro καὶ διῆλθον.

Σινωπέων] Diodorus: ὡς δ' ἀνέλαβον ἑαυτοὺς ἐν τρισὶν ἡμέραις, ἐπορεύθησαν εἰς Τραπεζοῦντα, πόλιν Ἑλληνίδα, Σι-

πέων ἀποικίαν, ἐν τῇ Κόλχων χώρᾳ. Ἐνταῦθα ἔμειναν
ἡμέρας ἀμφὶ τὰς τριάκοντα, ἐν ταῖς τῶν Κόλχων κώ-
μαις, καὶ ἐντεῦθεν ὁρμώμενοι ἐληΐζοντο τὴν Κολχίδα.
23 Ἀγορὰν δὲ παρεῖχον [ἐν] τῷ στρατοπέδῳ Τραπεζούντιοι,
καὶ ἐδέξαντό τε τοὺς Ἕλληνας καὶ ξένια ἔδοσαν, βοῦς
24 καὶ ἄλφιτα καὶ οἶνον. Συνδιεπράττοντο δὲ καὶ ὑπὲρ τῶν
πλησίον Κόλχων, τῶν ἐν τῷ πεδίῳ μάλιστα οἰκούντων·
25 καὶ ξένια καὶ παρ' ἐκείνων ἦλθον [πλέον, βόες]. Μετὰ
δὲ τοῦτο τὴν θυσίαν, ἣν εὔξαντο, παρεσκευάζοντο· ἦλθον
δὲ αὐτοῖς ἱκανοὶ βόες ἀποθῦσαι τῷ Διῒ τῷ Σωτῆρι καὶ
τῷ Ἡρακλεῖ ἡγεμόσυνα· καὶ τοῖς ἄλλοις δὲ θεοῖς, ἃ
εὔξαντο. Ἐποίησαν δὲ καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ ὄρει,
ἔνθαπερ ἐσκήνουν· εἵλοντο δὲ Δρακόντιον Σπαρτιάτην (ὃς
ἔφυγε παῖς ἔτι ὢν οἴκοθεν, παῖδα ἄκων κατακτανὼν,

νωπέων μὲν ἄποικον, κειμένην δὲ ἐν τῇ Κόλχων χώρᾳ. Arrianus initio Peripli: εἰς Τραπεζοῦντα ἥκομεν, πόλιν Ἑλληνίδα, ὡς λέγει ὁ Ξενοφῶν ἐκεῖνος, ἐπὶ θαλάττῃ ᾠκισμένην, Σινωπέων ἄποικον. In Diodoro cave, ne versionem latinam sequaris: *tertio hinc die Trapezuntem pervenere.* Pertinent enim verba ἐν τρισὶν ἡμέραις ad ἀνέλαβον.

κώμαις] Brodæi liber, margo Steph. et Paris. cum Eton. κώμαις dant, quod vocabulum præferendum vulgato χώραις censui. Plurali enim numero nullibi Xenophon usus esse reperitur hoc quidem sensu. Deinde ex iisdem libris vulgatum καὶ ἐντεῦθεν μὲν ἐληΐζοντο correxi, nisi quod in Codd. est scriptum κἀνταῦθα.

23. [ἐν] τῷ στρατοπέδῳ] Præpositionem seclusi omissam in Eton. libro. deinceps Τραπεζούσιοι dat Paris. sequens τε omittit Juntina.

24. δὲ καὶ ὑπὲρ] Paris. cum margine Steph. γὰρ δὴ καὶ ὑπὲρ dat.

καὶ παρ' ἐκείνων] Eton. καὶ omittit. Verba sequentia πλέον, βόες — ἱκανοὶ in Edd. vett. omissa et Guelf. margo Steph. et liber Paris. cum Eton. supplevit. Conjecturam Leonclavii πλέονα receperunt Welsius, Hutchinson, Zeune. Contra Weiske post πλέον numerum periisse boum censebat. Equidem vocabula duo πλέον βόες spuria esse censeo; hinc seclusi. De numero boum addito suspicari vetat sequens ἱκανοὶ βόες.

25. ἀποθῦσαι] Verbo utitur noster in Hellenicis iv. 4, 21. Ἀγησίλαος μὲν ἐς Δελφοὺς ἀφικόμενος δεκάτην τῶν ἐκ τῆς λείας τῷ θεῷ ἀπέθυσεν. quæ repetit in Agesilao cap. i. 34. Diphilus comicus Athenæi i. p. 292. ναύκληρος ἀποθύει τις εὐχήν. Est idem quod θυσίαν ἀποδιδόναι, εὐχὴν ἀποδιδόναι, recte monente Moro supra ad iii. 2, 12. Arrianus Anab. iv. 9, 6. καὶ ἐπὶ τούτοις τῶν μάντεών τινες μῆνιν ἐκ Διονύσου ᾖδον, ὅτι ἡ θυσία ἐξελείφθη Ἀλεξάνδρῳ ἡ τοῦ Διονύσου. καὶ Ἀλέξανδρος — καὶ τῷ Διονύσῳ τὴν θυσίαν ἀπέδωκεν. ubi inepte ἐπέδωκεν vulgatur.

ἃ εὔξαντο] Pronomen ex Paris. et Eton. restituit Hutchinson, formam εὔξαντο pro ηὔξαντο vulgato ex Guelf. Zeune. Diodorus: αὐτοί τε τῷ τε Ἡρακλεῖ καὶ Διῒ σωτηρίῳ θυσίαν ἐποίησαν καὶ γυμνικὸν ἀγῶνα, καθ' ὃν τόπον φασὶ προσπλεῦσαι τὴν Ἀργὼ καὶ τοὺς περὶ Ἰάσονα.

ὃς ἔφυγε παῖς ὢν] Ineptum ἔφευγε ex Paris. et Suida correxi. Suidas

ξυήλη πατάξας) δρόμου τε ἐπιμεληθῆναι καὶ τοῦ ἀγῶνος
προστατῆσαι.
Ἐπειδὴ δὲ ἡ θυσία ἐγένετο, τὰ δέρματα παρέδοσαν 26
τῷ Δρακοντίῳ, καὶ ἡγεῖσθαι ἐκέλευον, ὅπου τὸν δρόμον
πεποιηκὼς εἴη. Ὁ δὲ, δείξας, ὅπου παρεστηκότες ἐτύγ-
χανον, Οὗτος ὁ λόφος, ἔφη, κάλλιστος τρέχειν, ὅπου ἄν
τις βούληται. Πῶς οὖν, ἔφασαν, δυνήσονται παλαίειν
ἐν σκληρῷ καὶ δασεῖ οὕτω; Ὁ δὲ εἶπε· Μᾶλλόν τι
ἀνιάσεται ὁ καταπεσών. Ἠγωνίζοντο δὲ παῖδες μὲν 27
στάδιον τῶν αἰχμαλώτων οἱ πλεῖστοι, δόλιχον δὲ Κρῆτες
πλείους ἢ ἑξήκοντα ἔθεον· πάλην δὲ, καὶ πυγμὴν, καὶ
παγκράτιον ἕτεροι· καὶ καλὴ θέα ἐγένετο· πολλοὶ γὰρ

præterea *παῖς ἔτι ὢν* dat in voc. *ξυήλη* cum Photio in Lexico MS. monente Porsono; igitur *ἔτι* restitui. Cf. i. 9, 2. Eton. liber verba *παῖς ὢν* omittit.

δρόμου ἐπιμεληθῆναι] Weiske interpretatur *ut prospiceret, designaret locum ad currendum*. Sect. 26. est *τὸν δρόμον ποιεῖν*.

26. *δέρματα*] Coriis victimarum cæsarum Brodæus substitui voluit *τέρματα*, *metas*, ineptissime. Monent Scholia Aristophanis ad Plutum 1186. et Vesp. 693. *ἱερεὺς τὰ λειπόμενα τῶν θυσιῶν*, id est *δέρματα καὶ κωλᾶς*, *ἐλάμβανεν*.

δυνήσονται] Paris. Eton. *δυνήσεσθαι*. Deinde Edd. vett. cum Guelf. dant *μᾶλλον ὅτι γε*. Weiske *μᾶλλόν τοι* malebat scriptum.

27. *τῶν αἰχμαλώτων*] Captivos, servorum numero habitos, cum Græcis dominis una descendere in certamen ludorum diis sacrorum, merito Weiskio insolens et Græcis moribus indignum est visum. Deinde unde dicamus barbaris pueris notitiam græcarum artium palæstricarum subito advenisse? Merito igitur conjecit vir doctus scriptum olim hic fuisse *Λακεδαιμονίων*, qui sæpissime propter educationis, disciplinæ et morum similitudinem junguntur Cretibus. Quod rationibus Weiskii opposuit interpres germanicus *Halbkart*, non tam difficile esse videtur mihi explicare. Miratur enim ille tantum puerorum numerum Lacedæmoniorum in exercitu extero; igitur *παῖδες* de servis adultis interpretari mavult. Quod per usum sermonis græci an fieri possit, dubito. *Παῖδες* enim ubi servi et ministri dicuntur, domini simul nominantur. Atqui *παῖδες* apud Spartanos dicebantur usque ad ætatem annorum 18, qua epheborum ætatem ingrediebantur, videnturque amatores suos, (et Spartani omnes suum quisque amasium, *παιδικὰ*, legibus non solum permittentibus sed etiam laudantibus, habebant et colebant, ut ex libro de Laced. republica constat,) in bella secuti esse. Certe hinc natæ sunt narrationes de pueris pro vita amantium et amantibus pro amasiis in prœlio pugnantibus, quibus refertæ sunt historiæ græcæ. Quid igitur mirum Spartanos in exercitu Cyri secum duxisse e patria amasios suos?

δόλιχον] Scholion Guelf. libri habet ad h. l. hæc: *δόλιχον ἐστὶ τὸ ἑπτάκις ἀνελθεῖν καὶ κατελθεῖν, ἤγουν πλεονάκις παρακάμψαι*. Cf. Fabri Agonist. p. 96.

ἕτεροι· καὶ] Edd. vett. cum Guelf. et Paris. hæc verba omittunt.

καλὴ θέα] Weiske *καλὴ ἡ θέα* scriptum malebat; recte, puto.

κατέβησαν, καὶ, ἅτε θεωμένων τῶν ἑταίρων, πολλὴ φι-
28 λονεικία ἐγίγνετο. Ἔθεον δὲ καὶ ἵπποι· καὶ ἔδει αὐτοὺς, κατὰ τοῦ πρανοῦς ἐλάσαντας, ἐν τῇ θαλάττῃ ἀναστρέψαντας πάλιν ἄνω πρὸς τὸν βωμὸν ἥκειν. Καὶ κάτω μὲν οἱ πολλοὶ ἐκυλινδοῦντο· ἄνω δὲ πρὸς τὸ ἰσχυρῶς ὄρθιον μόλις βάδην ἐπορεύοντο οἱ ἵπποι. Ἔνθα πολλὴ κραυγὴ καὶ γέλως καὶ παρακέλευσις ἐγίγνετο αὐτῶν.

κατέβησαν] *Ad certamen descenderant*, cum Larchero interpretatur Weiske, Suidam comparans, καταβαίνειν, τὸ εἰς ἀγῶνα χωρεῖν. Ita καθιέναι τὰ δράματα dicuntur poetæ Attici. Ceterum verba πολλοὶ γὰρ κατέβ. omittunt Junt. Basil. Guelf.

τῶν ἑταίρων] Brodæi ἑταιρῶν probare videtur Zeune, improbat Weiske male huc referens leges, quæ mulieres a spectaculis ludorum gymnicorum excludebant. Ipse suspicatur scriptum olim fuisse θεωμένων ὧν καὶ ἐρασταὶ ἦσαν, conjectura acuta! Si verba πάλην—ἕτεροι de iisdem pueris intelligi debet, tum ἑταίροι possunt esse, qui alias ἐρασταὶ dicuntur. Sed puto illud ἕτεροι opponi pueris antea nominatis et significare viros.

28. ἀναστρέψαντας] Eton. ἀποστρέψαντας sequenti ἄνω omisso.

ἥκειν] Liber Brodæi, margo Steph. Paris. Eton. ἄγειν. Deinde ὀρθὸν μόγις dat Eton.

Ἔνθα] Ex Eton. δὲ adjecit Zeune, quod cum Weiskio omisi, nisi ἐνθάδε scribere malueris.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ Ε΄.

CAPUT I.

ΟΣΑ μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου ἔπραξαν
οἱ Ἕλληνες, καὶ ὅσα ἐν τῇ πορείᾳ τῇ μέχρις ἐπὶ θάλατ-
ταν τὴν ἐν τῷ Εὐξείνῳ Πόντῳ, καὶ ὡς ἐπὶ Τραπεζοῦντα
πόλιν Ἑλληνίδα ἀφίκοντο, καὶ ὡς ἀπέθυσαν, ἃ εὔξαντο
σωτήρια θύσειν, ἔνθα πρῶτον εἰς φιλίαν γῆν ἀφίκοιντο,
ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται. Ἐκ δὲ τούτου συνελ- 2
θόντες ἐβουλεύοντο περὶ τῆς λοιπῆς πορείας· ἀνέστη δὲ
πρῶτος Ἀντιλέων Θούριος, καὶ ἔλεξεν ὧδε· Ἐγὼ μὲν
τοίνυν, ἔφη, ὦ ἄνδρες, ἀπείρηκα ἤδη συσκευαζόμενος,
καὶ βαδίζων, καὶ τρέχων, καὶ τὰ ὅπλα φέρων, καὶ ἐν
τάξει ἰὼν, καὶ φυλακὰς φυλάττων, καὶ μαχόμενος·
ἐπιθυμῶ δὲ ἤδη, παυσάμενος τούτων τῶν πόνων, ἐπεὶ

καὶ ὅσα] Eton. ὅσα omisit, deinde ὑπορεία Cod. Paris.

μέχρις] Ita Zeune cum Codice Paris. et Guelf. Vulgatum μέχρι revocavit Weiske.

ἐπὶ Τραπεζοῦντα] Cod. Paris. Eton. εἰς Τραπ. dant.

καὶ ὡς ἀπέθυσαν—ἀφίκοιντο] Edd. vett. Steph. et Guelf. hæc omittunt, quæ ex margine Steph. recepit Leonclavius, Welsius, Hutchinson et Zeune, confirmata auctoritate Codd. Paris. et Eton. Pro θύειν ex margine Steph. sec. et Eton. θύσειν restituit Zeune, quod voluit fieri etiam Porson. Compara iii. 2, 9. Idem Zeune ἀφίκοιντο ex margine Steph. et Eton. libro restituit in locum barbari ἥκοιντο. Ejusdem pretii est, quod nescio unde arreptum posuit Weiske ἀφήκοιντο.

2. Ἀντιλέων] Margo Steph. cum Paris. et Eton. Λέων, deinde Θούσιος dant Paris. et Eton.

τάξει ἰὼν] Eton. ὢν dat, et deinceps verba τὸ λοιπὸν—καθεύδων omittit. Paris. καθεύδων tantum omittit. Respicitur locus Odysseæ xiii. 118.

θάλατταν ἔχομεν, πλεῖν τὸ λοιπὸν, καὶ ἐκταθεὶς,
ὥσπερ Ὀδυσσεὺς, καθεύδων ἀφικέσθαι εἰς τὴν Ἑλλά-
3 δα. Ταῦτα ἀκούσαντες οἱ στρατιῶται ἀνεθορύβησαν,
ὡς εὖ λέγοι· καὶ ἄλλος ταὐτὰ ἔλεγε, καὶ πάντες οἱ
παρόντες. Ἔπειτα Χειρίσοφος ἀνέστη, καὶ εἶπεν ὧδε·
4 Φίλος μοι ἐστὶν, ὦ ἄνδρες, Ἀναξίβιος, ναυαρχῶν δὲ τυγ-
χάνει· ἢν οὖν πέμψητέ με, οἶμαι ἂν ἐλθεῖν καὶ τριήρεις
ἔχων καὶ πλοῖα, τὰ ὑμᾶς ἄξοντα· ὑμεῖς δ', ἐπείπερ
πλεῖν βούλεσθε, περιμένετε, ἔστ' ἂν ἐγὼ ἔλθω· ἥξω δὲ
ταχέως. Ἀκούσαντες ταῦτα οἱ στρατιῶται ἥσθησάν τε
καὶ ἐψηφίσαντο, πλεῖν αὐτὸν ὡς τάχιστα.
5 Μετὰ τοῦτον Ξενοφῶν ἀνέστη, καὶ ἔλεξεν ὧδε· Χειρί-
σοφος μὲν δὴ ἐπὶ πλοῖα στέλλεται, ἡμεῖς δὲ ἀναμενοῦ-
μεν. Ὅσα οὖν μοι δοκεῖ καιρὸς εἶναι ποιεῖν ἐν τῇ μονῇ,
6 ταῦτα ἐρῶ. Πρῶτον μὲν τὰ ἐπιτήδεια δεῖ πορίζεσθαι ἐκ
τῆς πολεμίας· οὔτε γὰρ ἀγορά ἐστιν ἱκανὴ, οὔτε ὅτου
ὠνησόμεθα πάρεστιν, εἰ μὴ ὀλίγοις, ἥ τε χώρα πολεμία·
κίνδυνος οὖν, πολλοὺς ἀπόλλυσθαι, ἢν ἀμελῶς τε καὶ
7 ἀφυλάκτως πορεύησθε ἐπὶ τὰ ἐπιτήδεια. Ἀλλά μοι
δοκεῖ σὺν προνομαῖς λαμβάνειν τὰ ἐπιτήδεια, ἄλλως δὲ

3. Ταῦτα ἀκούσαντες] Zeune nescio qua auctoritate edidit Ἀκούσαντες ταῦτα. Edd. vett. cum Guelf. ταῦτα omittunt.

ἄλλος ταὐτὰ] Ita cum Castalione Guelf. Paris. Eton. ἄλλως ταῦτα Edd. vett. ante Welsium et Hutchinsonum.

Ἔπειτα] Ex Eton. δὲ adjecit Zeune. Idem liber statim ναυαρχῶν δὲ καὶ habet.

4. τὰ ὑμᾶς] Paris. et Eton. τὰ ἡμᾶς dant. Deinde εἴπερ πλεῖν dat Eton. Postea ἔστ' ἂν Guelf.

5. μὲν δὴ] Hoc cum Guelf. prætuli vulgato ἤδη. Sequens μοι deest in Junt. et Guelf. sed habet etiam margo Villois. Diodorus xiv. 30. ἐκεῖθεν Χειρίσοφον ἀπέστειλαν εἰς Βυζάντιον ἐπὶ πλοῖα καὶ τριήρεις—τοῦτον μὲν οὖν ἐπὶ κέλητος ἐξέπεμψαν· λαβόντες δὲ τῶν ἐπικώπων δύο πλοιάρια παρὰ τῶν Τραπεζουντίων ἐλήστευον τοὺς περιοικοῦντας βαρβάρους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.

6. πάρεστιν] Margo Steph. cum Paris. et Eton. dat εὐπορία.

πολλοὺς] Eton. πολὺς cum κίνδυνος jungens dat. Sequens πορεύησθε ex margine Steph. Paris. et Eton. adscivi in locum vulgati πορεύωνται.

7. σὺν προνομαῖς] Ita Stephanus cum libro Paris. et Eton. συμπρονομεῖν Edd. vett. Guelf. συμπρονοεῖν Castalio edidit. Muretus σὺν προδρόμοις, Brodæus συμπρονομαῖς corrigi voluit; hoc ipsum posterius est in margine Villois. συμπρονομεύοντας conjiciebat

μὴ πλανᾶσθαι, ὡς σώζησθε· ἡμᾶς δὲ τούτων ἐπιμελεῖ-
σθαι. Ἔδοξε ταῦτα. Ἔτι τοίνυν ἀκούσατε καὶ τάδε· 8
Ἐπὶ λείαν γὰρ ὑμῶν ἐκπορεύσονταί τινες. Οἶμαι οὖν
βέλτιον εἶναι, ἡμῖν εἰπεῖν τὸν μέλλοντα ἐξιέναι, φράζειν
δὲ καὶ ὅποι, ἵνα καὶ τὸ πλῆθος ἴδωμεν τῶν ἐξιόντων καὶ
τῶν μενόντων, καὶ συμπαρασκευάζωμεν, ἐάν τι δέῃ· καὶ
βοηθῆσαί τισιν ἂν καιρὸς ᾖ, ἴδωμεν, ὅποι δεήσει βοηθεῖν·

Zeune interpretatus: *adeo ut universi simul prædentur.* Weiske primo loco posuit hoc: *Quod hic legimus, excursionibus parandum esse commeatum, id aliis verbis sect. sequentis initio rursus occurrit, ut si rei prorsus nulla dum facta fuerit mentio. Subjicitur autem formula* ἔδοξε ταῦτα, *ut si res peculiaris nec ea minimi momenti fuerit exposita.* Verum hoc ipsum falsum esse videtur. Aliud enim est πορεύεσθαι ἐπὶ τὰ ἐπιτήδεια, (quod ipsum vocabulo προνομαὶ, προνομεία significari solet) aliud ἐπὶ λείαν ἐκπορεύεσθαι, quod singuli milites lucri cupidi facere solent. Pergit autem vir doctus ita: *Quid porro verba* ἡμᾶς—ἐπιμελεῖσθαι *sibi volunt?—Equidem suspicor Xenophontem tum censuisse, ut non quisque pro se cum paucis temere arreptis, sed cum binis, ternis, pluribusve centuriis et instructis quidem, ut ad prœlium, pabulatum exirent, ipse autem cum reliquis castra custodiret. Nisi forte, quod fere malim, pro* ἡμᾶς *legendum* ὑμᾶς. *Sic videtur anonymus statuisse, qui vertit: chargés les généraux d'y veiller. Loquor enim hic de extremis* ἡμᾶς—ἐπιμελεῖσθαι, *ut* τούτων *referatur* δεικτικῶς *ad castra. Conjectura mea nititur iis, quæ sect.* 17. *et cap.* 2. *sect.* 1. *narrantur.* Bene vir doctus summam sententiæ conjectura est assecutus comparata sect. 1. cap. 2. eoque ducunt verba ἀμελῶς καὶ ἀφυλάκτως πορεύεσθαι ἐπὶ τὰ ἐπιτήδεια, quod fieri debere negat Xenophon. Polybius i. 18, 1. φυλακτικῶς χρῆσθαι ταῖς προνομαῖς damno doctos Romanos narrat. In Cyrop. vi. 1, 24. est de Cyro: ἐξῆγεν ἀεὶ εἰς προνομὰς, ἅμα μὲν ὅπως ὅτι πλεῖστα λαμβάνοι τῇ στρατιᾷ τὰ ἐπιτήδεια—ἅμα δ' ὅπως ἐν ταῖς ἀγωγαῖς τὰς τάξεις ὑπομιμνήσκοιντο. Cura imperatoris scilicet non solum in eo spectabatur, quod ipse exercitum bene ordinatum (συντεταγμένον) educeret ad pabulationes, sed etiam ipse quærebat antea ex iis, quos regionem optime nosse compererat, ὁπόθεν ἂν ὡς πλεῖστα ὠφελοῖτο τὸ στράτευμα. Ex hoc igitur loco apparet, προνομαῖς proprium esse λαμβάνειν τὰ ἐπιτήδεια τῇ στρατιᾷ. A quibus diversum est πορεύεσθαι ἐπὶ λείαν. Quid vero sit φυλακτικῶς χρῆσθαι ταῖς προνομαῖς, idem locus, comparatus cum sect. 1. capitis sequentis optime docet; scilicet si dux ipse exercitum συντεταγμένον ad pabulationem educit et reducit. Mihi igitur Xenophon hoc loco scripsisse videtur ἀλλά μοι δοκεῖ συντεταγμένους ἐν ταῖς προνομαῖς λαμβάνειν τὰ ἐπιτήδεια. Huic scilicet opponitur deinde recte ἄλλως πλανᾶσθαι, *temere palari.* Illud vero faciendum ait, ὡς σώζησθε. Nunc vero statim apparet, eam curam pertinere ad duces. Igitur ἡμᾶς δὲ τούτων ἐπιμελεῖσθαι facilem habent interpretationem, nec ulla ratione ad tuenda castra trahi possunt. Halbkart conjecturam hanc συμπρονομαῖς λ. τ. ἐπ. ἄλλως δὲ μὴ πλ. ὡς σώζεσθαι ἡμᾶς τε καὶ τ. ἐπ. in versione secutus est.

πλανᾶσθαι] Edd. vett. Guelf. πλανᾶσθε. Verum dedit Castalio, sed idem statim σώζεσθαι habet.

τούτων] Edd. vett. cum Guelf. ὡς τούτων habent.

8. ἐκπορεύσονται] Juntina cum Guelf. ἐκπορεύονται habet; deinceps βέλτιστον Paris. et Eton. Postea τὰ μέλλοντα Junt. cum Guelf.

ἴδωμεν] Hic et paulo post est *sciamus, compertum habeamus*, quod vulgo dici solet εἰδῶμεν.

καὶ ἄν τις τῶν ἀπειροτέρων ἐγχειρῇ τι ποιεῖν, συμβουλεύ-
ωμεν, πειρώμενοι εἰδέναι τὴν δύναμιν, ἐφ' οὓς ἂν ἴωσιν.
9 Ἔδοξε καὶ ταῦτα. Ἐννοεῖτε δὴ καὶ τόδ', ἔφη· Σχολὴ
τοῖς πολεμίοις λήϊζεσθαι· καὶ δικαίως ἡμῖν ἐπιβουλεύ-
ουσιν· ἔχομεν γὰρ τὰ ἐκείνων· ὑπερκάθηνται δ' ἡμῶν.
Φύλακας δή μοι δοκεῖ δεῖν περὶ τὸ στρατόπεδον εἶναι·
ἐὰν οὖν κατὰ μέρος μερισθέντες φυλάττωμεν καὶ σκο-
10 πῶμεν, ἧττον δύναιντ' ἂν ἡμᾶς θηρᾶν οἱ πολέμιοι. Ἔτι
τοίνυν τάδε ὁρᾶτε· Εἰ μὲν ἠπιστάμεθα σαφῶς, ὅτι ἥξει
πλοῖα Χειρίσοφος ἄγων ἱκανὰ, οὐδὲν ἂν ἔδει, ὧν μέλλω
λέγειν· νῦν δ', ἐπεὶ τοῦτ' ἄδηλον, δοκεῖ μοι πειρᾶσθαι
πλοῖα συμπαρασκευάζειν καὶ αὐτόθεν. Ἢν μὲν γὰρ
ἔλθῃ, ὑπαρχόντων ἐνθάδε, ἐν ἀφθονωτέροις πλευσού-
11 μεθα· ἐὰν δὲ μὴ ἄγῃ, τοῖς ἐνθάδε χρησόμεθα. Ἐγὼ
δ' ὁρῶ πλοῖα πολλάκις παραπλέοντα· εἰ οὖν αἰτησάμε-
νοι παρὰ Τραπεζουντίων μακρὰ πλοῖα, κατάγοιμεν καὶ
φυλάττοιμεν αὐτὰ, τὰ πηδάλια παραλυόμενοι, ἕως ἂν
ἱκανὰ τὰ ἄξοντα γένηται, ἴσως ἂν οὐκ ἀπορήσαιμεν κο-
12 μιδῆς, οἵας δεόμεθα. Ἔδοξε καὶ ταῦτα. Ἐννοήσατε
δ', ἔφη, εἰ εἰκὸς καὶ τρέφειν ἀπὸ κοινοῦ, οὓς ἂν κατα-
γάγωμεν, ὅσον ἂν χρόνον ἡμῶν ἕνεκα μένωσι, καὶ ναῦλον

τῶν ἀπειροτέρων] Qui rerum usu et experientia carent, his proprie *συμβουλεύεται*. Igitur nescio quid in mentem venerit Weiskio ad h. l. ita scribenti: *An est neutrum et passivæ significationis? nam ἄπειροι mihi h. l. inscite et imprudenter dicti videntur.* Ceterum in Eton. libro est *ἐγχειρῇ πη, συμβουλεύωμεν.*

9. *ἐπιβουλεύουσιν*] Edd. vett. cum Guelf. *ἐπιβουλεύεσθαι* dant.

φύλακας] Eton. *φυλακῆς*, quod probari posse, si omittatur sequens *εἶναι*, monuit Zeune. Deinde *ἐπὶ τὸ στρατόπεδον* Edd. vett.

μερισθέντες] Eton. liber *μερισθῶμεν φυλάττοντες.* In Hipparchici cap. 4, 2. est *κατὰ μέρος τὰς φυλὰς ἀναπαύειν*; idem alibi *ἐν μέρει* dicit.

10. *ἠπιστάμεθα*] Edd. vett. cum Guelf. *ἐπιστάμεθα* dant; deinde *ἥξοι* Paris. idem *πλευσόμεθα.*

11. *κατάγοιμεν*] *Vi deducere in portum*; quod a prædonibus etiam fiebat, similiter *κατάγειν* dictum. Infra sect. 16. additur *ἐπὶ τὸ στρατόπεδον.*

παραλυόμενοι] *Demtis gubernaculis. πεντήρεις παραλελυμέναι τοὺς ταρσοὺς, quibus demti erant remi*, sunt Polybio viii. 6, 2.

ἀπορήσαιμεν] Edd. vett. cum Guelf. *ἀπορήσωμεν.*

12. *ναῦλον*] Paris. et Eton. *ναύσταθμον* habent. Sequentia *ὠφελοῦντες καὶ* omittunt Edd. vett. cum Guelf.

συνθέσθαι, ὅπως ὠφελοῦντες καὶ ὠφελῶνται. Ἔδοξε
καὶ ταῦτα. Δοκεῖ τοίνυν μοι, ἔφη, ἢν ἄρα καὶ ταῦτα 13
ἡμῖν μὴ ἐκπεραίνηται, ὥστε ἀρκεῖν πλοῖα, τὰς ὁδοὺς, ἃς
δυσπόρους ἀκούομεν εἶναι, ταῖς παρὰ θάλατταν οἰκου-
μέναις πόλεσιν ἐντείλασθαι ὁδοποιεῖν· πείσονται γὰρ,
καὶ διὰ τὸ φοβεῖσθαι καὶ διὰ τὸ βούλεσθαι ἡμῶν
ἀπαλλαγῆναι.

Ἐνταῦθα δὴ ἀνέκραγον, ὡς οὐ δέοι ὁδοιπορεῖν. Ὁ 14
δὲ, ὡς ἔγνω τὴν ἀφροσύνην αὐτῶν, ἐπεψήφισε μὲν οὐδὲν,
τὰς δὲ πόλεις ἑκούσας ἔπεισε ποιεῖν τὰς ὁδούς· λέγων,
ὅτι θᾶττον ἀπαλλάξονται, ἢν εὔποροι γένωνται αἱ ὁδοί.
Ἔλαβον δὲ καὶ πεντηκόντορον παρὰ τῶν Τραπεζουντίων, 15
ᾗ ἐπέστησαν Δέξιππον Λακωνικὸν περίοικον. Οὗτος,
ἀμελήσας τοῦ συλλαβεῖν πλοῖα, ἀποδρὰς ᾤχετο ἔξω τοῦ
Πόντου, ἔχων τὴν ναῦν. Οὗτος μὲν οὖν δίκαια ἔπαθεν
ὕστερον· ἐν Θρᾴκῃ γὰρ παρὰ Σεύθῃ πολυπραγμονῶν τι
ἀπέθανεν ὑπὸ Νικάνδρου τοῦ Λακωνικοῦ. Ἔλαβον δὲ 16
καὶ τριακόντορον, ᾗ ἐπεστάθη Πολυκράτης Ἀθηναῖος· ὃς,
ὁπόσα λαμβάνοι πλοῖα, κατῆγεν ἐπὶ τὸ στρατόπεδον.
Καὶ τὰ μὲν ἀγώγιμα, ἃ ἐπῆγον, ἐξαιρούμενοι, φύλακας

13. ἀκούομεν] Edd. vett. cum Guelf. δοκοῦμεν habent, deinde οἰκούσαις. Paulo antea ὥστε ἀρχεῖ est in libro Eton.

πείσονται γὰρ] Margo Steph. cum Paris. et Eton. addit ὁδοποιεῖσθαι.

βούλεσθαι ἡμῶν] Vulgatum βουλεύεσθαι ἡμᾶς ex conjectura Mureti et Stephani correxit Hutchinson, conjecturam firmavit liber Paris.

14. ὁδοιπορεῖν] Hoc cum Stephano, prolatum e vetere Codice, cum quo facit Etonensis, probavit Zeune et Weiske; equidem dubito, an vulgatum ὁδοποιεῖν plane sit damnandum.

μὲν οὐδὲν, τὰς δὲ] Acutissime, ut solet, Valckenaer ad Herodoti viii. p. 646. conjiciebat scribendum μὲν οὔ, ἐνίας δέ. De modo dicendi vide ad iv. 4, 3. Deinde ἀκούσας est in Edd. vett. Guelf. Eton.

15. παρὰ τῶν] Articulum ex Eton. adscivi cum Zeunio.

Δέξιππον] Edd. vett. cum Guelf. Δέξισπον, verum Castalio dedit. Porro Λάκωνα et paulo post Λάκωνος dat margo Steph. cum Paris. et Eton.

παρὰ Σεύθῃ] Eton. habet ἐν Θρᾴκῃ γὰρ πολυπραγμονῶν τι Σεύθῃ. Arrianus ii. 3, 13. ἵνα περ ὀλίγον ὕστερον πολυπραγμονῶν τι Ἀμύντας ἀποθνήσκει ὑπὸ τῶν ἐγχωρίων.

16. ἃ ἐπῆγον] Sanum verbum non puto; indicium vitii facit scriptura Eton. εἴ τι εἶχον, unde efficio εἴ τι ἦγον.

καθίστασαν, ὅπως σῶα εἴη· τοῖς δὲ πλοίοις ἐχρήσαντο
17 εἰς παραγωγήν. Ἐν ᾧ δὲ ταῦτα ἦν, ἐπὶ λείαν ἐξῄεσαν οἱ Ἕλληνες· καὶ οἱ μὲν ἐνετύγχανον, οἱ δὲ καὶ οὔ. Κλεαίνετος δ᾽ ἐξαγαγὼν καὶ τὸν ἑαυτοῦ καὶ ἄλλον λόχον πρὸς χωρίον χαλεπὸν, αὐτός τε ἀπέθανε καὶ ἄλλοι πολλοὶ τῶν σὺν αὐτῷ.

CAP. II.

ΕΠΕΙ δὲ τὰ ἐπιτήδεια οὐκέτι ἦν λαμβάνειν, ὥστε ἀπαυθημερίζειν ἐπὶ τὸ στράτευμα, ἐκ τούτου λαβὼν ὁ Ξενοφῶν ἡγεμόνας τῶν Τραπεζουντίων, ἐξάγει εἰς Δρίλας τὸ ἥμισυ τοῦ στρατεύματος, τὸ δὲ ἥμισυ φυλάττειν κατέλιπε τὸ στρατόπεδον· οἱ γὰρ Κόλχοι, ἅτε ἐκπεπτωκότες ἐκ τῶν οἰκιῶν, πολλοὶ ἦσαν ἀθρόοι, καὶ ὑπερεκά-
2 θηντο ἐπὶ τῶν ἄκρων. Οἱ δὲ Τραπεζούντιοι, ὁπόθεν μὲν τὰ ἐπιτήδεια ῥᾴδιον ἦν λαβεῖν, οὐκ ἦγον· φίλοι γὰρ αὐτοῖς ἦσαν· εἰς τοὺς Δρίλας δὲ προθύμως ἦγον, ὑφ᾽ ὧν κακῶς ἔπασχον, εἰς χωρία τε ὀρεινὰ καὶ δύσβατα, καὶ ἀνθρώπους πολεμικωτάτους τῶν ἐν τῷ Πόντῳ.
3 Ἐπεὶ δὲ ἦσαν ἐν τῇ ἄνω χώρᾳ οἱ Ἕλληνες, ὁποῖα τῶν

ἐχρήσαντο] Liber Paris. Eton. χρήσαιντο habent; quæ scriptura nec cum verbis reliquis nec cum sententia bene convenit.

17. λείαν] Edd. vett. cum Guelf. λείας. Pro ἐνετύγχανον in Paris. et Eton. est ἐλάμβανον.

καὶ ἄλλον λόχον] Vulgatum καὶ τὸν ἄλλον λ. ex libro Eton. correxi; ita non opus est cum Weiskio τὸν ἄλλου scribere. Verba πρὸς χωρίον χαλεπὸν idem liber Eton. omittit.

1. στράτευμα] Edd. vett. Guelf. Eton. Suidæ scripturam hanc revocavit Zeune, Stephanianum στρατόπεδον repetiit Weiske. Sic est στράτευμα, ut videtur, i. 5, 12. Suidas locum laudat in v. ἀπαυθημερίζω.

Δρίλας] Ita etiam Stephanus Byz. sed Arrianus Peripli P. E. p. 123. καὶ οὓς λέγει Ξενοφῶν τοὺς μαχιμωτάτους καὶ ἐχθροτάτους εἶναι τοῖς Τραπεζουντίοις, ἐκεῖνος μὲν Δρίλλας ὀνομάζει, ἐμοὶ δὲ δοκοῦσιν οἱ Σάννοι οὗτοι εἶναι· καὶ γὰρ μαχιμώτατοί εἰσιν εἰς τοῦτο ἔτι καὶ τοῖς Τραπεζουντίοις ἐχθρότατοι, καὶ χωρία ὀχυρὰ οἰκοῦσι καὶ ἔθνος ἀβασίλευτον. Drillarum regionem hodie vocari Keldir, ex Danvillii Geographia antiqua tradit ad h. l. Larcher. Arriani opinionem impugnat Mannert Geogr. vi. p. ii. p. 425.

ἐκ τῶν οἰκιῶν] Eton. ἐκ omisit: pro οἰκιῶν Leoncl. οἰκείων malebat, idque ab Amasæo expressum esse putabat *sedibus suis pulsi* vertente.

2. ὁπόθεν] Edd. vett. ὁπότε habent.

3. τῇ ἄνω] Vocabulum ἄνω Stepha-

χωρίων τοῖς Δρίλαις ἁλώσιμα ἐδόκει εἶναι, ἐμπιπράντες
ἀπῄεσαν· καὶ οὐδὲν ἦν λαβεῖν, εἰ μὴ ὗς καὶ βοῦς, ἢ
ἄλλο τι κτῆνος τὸ πῦρ διαπεφευγός. Ἓν δ' ἦν χωρίον,
ὃ μητρόπολις αὐτῶν ἐκαλεῖτο· εἰς τοῦτο πάντες συνερ-
ρυήκεσαν· περὶ δὲ τοῦτο ἦν χαράδρα ἰσχυρῶς βαθεῖα,
καὶ πρόσοδοι χαλεπαὶ πρὸς τὸ χωρίον. Οἱ δὲ πελτα- 4
σταὶ, προτρέχοντες στάδια πέντε ἢ ἓξ τῶν ὁπλιτῶν, δια-
βάντες τὴν χαράδραν, ὁρῶντες πρόβατα πολλὰ καὶ
ἄλλα χρήματα, προσέβαλλον πρὸς τὸ χωρίον. Συνεί-
ποντο δὲ καὶ δορυφόροι πολλοὶ, οἱ ἐπὶ τὰ ἐπιτήδεια ἐξωρ-
μημένοι· ὥστε ἐγένοντο οἱ διαβάντες πλείους, ἢ εἰς δισ-
χιλίους ἀνθρώπους. Ἐπεὶ δὲ μαχόμενοι οὐκ ἐδύναντο 5
λαβεῖν τὸ χωρίον, (καὶ γὰρ τάφρος ἦν περὶ αὐτὸ εὐρεῖα
ἀναβεβλημένη, καὶ σκόλοπες ἐπὶ τῆς ἀναβολῆς, καὶ
τύρσεις πυκναὶ ξύλιναι πεποιημέναι) ἀπιέναι ἤδη ἐπεχεί-
ρουν· οἱ δὲ ἐπέκειντο αὐτοῖς. Ὡς δ' οὐκ ἐδύναντο ἀπελ- 6
θεῖν, (ἦν γὰρ ἐφ' ἑνὸς ἡ κατάβασις ἐκ τοῦ χωρίου εἰς τὴν
χαράδραν) πέμπουσι πρὸς Ξενοφῶντα, ὃς ἡγεῖτο τοῖς
ὁπλίταις. Ὁ δ' ἐλθὼν λέγει, ὅτι ἐστὶ χωρίον χρημά- 7
των πολλῶν μεστόν· τοῦτο οὔτε λαβεῖν δυνάμεθα· ἰσχυ-
ρὸν γάρ ἐστιν· οὔτε ἀπελθεῖν ῥάδιον· μάχονται γὰρ ἐπ-
εξεληλυθότες, καὶ ἡ ἄφοδος χαλεπή.

nus solus dedit, comprobante Cod. Paris. quod voluit etiam recipi Brodæus.

καὶ οὐδὲν] Copulam καὶ Junt. Guelf. Eton. omittunt. ἀπῄεσαν δὲ οὐδέν· ἦν Aldina. Ceteræ edd. οὐδὲν δὲ ἦν præter Castal. Steph. sec. et Codicem Paris. ex quo verum dedit Hutchinson. Præterea λαμβάνειν Eton. habet.

ὃ—ἐκαλεῖτο] Brevius Eton. χωρίον μητρόπολις αὐτῶν, reliquis omissis.

4. προτρέχοντες] Eton. προσδραμόντες. Voluit προδραμόντες. deinceps Edd. vett. cum Guelf. διαδραμόντες dant.

εἰς δισχιλίους] Eton. εἰς omittit; sed ita δισχίλιοι ἄνθρωποι scribendum est.

5. ἀναβολῆς] In Cyrop. vii. 5, 12. est ἐπὶ τῆς ἀμβολάδος γῆς.

πυκναὶ] Ita cum margine Steph. Villois. Paris. Eton. Zeune. Vulgatum πολλαὶ revocavit Weiske.

6. ἀπελθεῖν] Margo Steph. liber Brodæi, Paris. Eton. ἀποτρέχειν dant. Deinceps vitiose Edd. vett. cum Guelf. κατάστασις.

ὃς ἡγεῖτο] Ald. cum Guelf. ὃ, Eton. ὁ δὲ ἡγεῖτο.

7. δυνάμεθα] Eton. δυναίμεθα. Sequens ἄφοδος pro vulgato ἄμφοδος re-

8 Ἀκούσας ταῦτα ὁ Ξενοφῶν, προσαγαγὼν πρὸς τὴν
χαράδραν, τοὺς μὲν ὁπλίτας ἐκέλευε θέσθαι τὰ ὅπλα·
αὐτὸς δὲ διαβὰς σὺν τοῖς λοχαγοῖς, ἐσκοπεῖτο, πότερον
εἴη κρεῖττον ἀπάγειν καὶ τοὺς διαβεβηκότας, ἢ καὶ τοὺς
9 ὁπλίτας διαβιβάζειν, ὡς ἁλόντος ἂν τοῦ χωρίου. Καὶ
ἐδόκει τὸ μὲν ἀπάγειν οὐκ εἶναι ἄνευ πολλῶν νεκρῶν,
ἑλεῖν δ' ἂν ᾤοντο καὶ οἱ λοχαγοὶ τὸ χωρίον· καὶ ὁ Ξενο-
φῶν συνεχώρησε, τοῖς ἱεροῖς πιστεύσας· οἱ γὰρ μάντεις
ἀποδεδειγμένοι ἦσαν, ὅτι μάχη μὲν εἴη, τὸ δὲ τέλος κα-
10 λὸν τῆς ἐξόδου. Καὶ τοὺς μὲν λοχαγοὺς πέμπει διαβι-
βάσοντας τοὺς ὁπλίτας, αὐτὸς δ' ἔμενεν ἀναχωρίσας
ἅπαντας τοὺς πελταστὰς, καὶ οὐδένα εἴα ἀκροβολίζε-
11 σθαι. Ἐπεὶ δ' ἧκον οἱ ὁπλῖται, ἐκέλευσε τὸν λόχον
ἕκαστον ποιῆσαι τῶν λοχαγῶν, ὡς ἂν κράτιστα οἴηται
ἀγωνιεῖσθαι· ἦσαν γὰρ οἱ λοχαγοὶ πλησίον ἀλλήλων, οἳ
πάντα τὸν χρόνον ἀλλήλοις περὶ ἀνδραγαθίας ἀντεποι-
12 οῦντο. Καὶ οἱ μὲν λοχαγοὶ ταῦτα ἐποίουν· ὁ δὲ τοῖς
πελτασταῖς πᾶσι παρήγγελλε διηγκυλισμένους ἰέναι,

cepit Welsius et Hutchinson. Eadem varietas fuit supra iv. 2, 11.

8. προσαγαγὼν] Edd. vett. cum Guelf. προαγαγὼν dant, deinceps ἀναγαγεῖν Eton.

ὡς ἁλόντος ἂν] *Si spes esset fore, ut expugnetur castellum.*

9. Καὶ ἐδόκει] Ita cum Castal. Zeune, Stephanianum ἐδόκει γὰρ repetiit Weiske; ceteræ Edd. cum Guelf. omittunt καί.

ἑλεῖν δ' ἂν] Edd. vett. cum Guelf. ἑλεῖν γ' ἂν habent. καὶ λοχαγοὶ est in Eton.

μάχη μὲν εἴη] Margo Steph. cum Paris. ἔσται dant.

10. πέμπει] Eton. ἔπεμπε. deinceps διαβιβάσαντας Guelf. postea ἀναχωρήσας Edd. vett. cum Guelf.

11. ἐπεὶ—ἀγωνιεῖσθαι] Hæc omisit Eton. Verbum ἀναχωρίζειν Suidas ex h. l. interpretatur ἀναχωρεῖν ποιεῖν.

ποιῆσαι] Ex hoc ordine verborum ἐκέλευσεν ἕκαστον τῶν λοχαγῶν ποιῆσαι, ὡς ἂν οἴηται τὸν λ. &c. sensum hunc elicit Weiske, ut centurio quisque suis animum fortiter pugnandi oratione injicere dicatur. Negat igitur ποιεῖν vertendum *struere*; nec credibile esse, aliis lochis aliam concedi collocationem in re præsertim tam ancipiti. Ceterum λοχαγοὶ qui fuerint isti, οἳ πάντα τὸν χρόνον—ἀντεποιοῦντο, apparet ex sect. 15. ubi Agasias Stymphalius cum Philoxeno Pellenensi nominatur: quid autem verba οἳ—ἀντεποιοῦντο significent, docet locus similis supra iv. 1, 27. ubi compara adscripta.

12. οἱ μὲν λοχαγοὶ] Postremum vocabulum Eton. omittit.

τοῖς πελτασταῖς] Edd. vett. τοὺς πελταστὰς dant.

διηγκυλισμένους] Eton. διηγκυλωμένους dat, Brodæus διηγκυλωμένοις malebat. Cf. supra iv. 3, 28.

ὡς, ὁπόταν σημήνῃ, ἀκοντίζειν δεῆσον· καὶ τοὺς τοξότας
ἐπιβεβλῆσθαι ἐπὶ ταῖς νευραῖς, ὡς, ὁπόταν σημήνῃ, το-
ξεύειν δεῆσον· καὶ τοὺς γυμνῆτας λίθων ἔχειν μεστὰς
τὰς διφθέρας· καὶ τοὺς ἐπιτηδείους ἔπεμψε τούτων ἐπι-
μεληθῆναι. Ἐπεὶ δὲ πάντα παρεσκεύαστο, καὶ οἱ λο- 13
χαγοὶ καὶ ὑπολοχαγοὶ καὶ οἱ ἀξιοῦντες τούτων μὴ χεί-
ρους εἶναι πάντες παρατεταγμένοι ἦσαν, καὶ ἀλλήλους
μὲν δὴ συνεώρων· (μηνοειδὴς γὰρ ἦν ἡ τάξις διὰ τὸ χω-
ρίον·) ἐπεὶ δ' ἐπαιάνισαν, καὶ ἡ σάλπιγξ ἐφθέγξατο, 14
ἅμα τε τῷ Ἐνυαλίῳ ἠλάλαξαν καὶ ἔθεον δρόμῳ οἱ
ὁπλῖται, καὶ τὰ βέλη ὁμοῦ ἐφέρετο, λόγχαι, τοξεύματα,
σφενδόναι, καὶ πλεῖστοι δ' ἐκ τῶν χειρῶν λίθοι· ἦσαν
δὲ οἳ καὶ πῦρ προσέφερον. Ὑπὸ δὲ τοῦ πλήθους τῶν 15
βελῶν ἔλιπον οἱ πολέμιοι τά τε σταυρώματα καὶ τὰς
τύρσεις· ὥστε Ἀγασίας Στυμφάλιος καὶ Φιλόξενος
Πελληνεὺς, καταθέμενοι τὰ ὅπλα, ἐν χιτῶνι μόνον ἀνέβη-
σαν, καὶ ἄλλος ἄλλον εἷλκε, καὶ ἄλλος ἀναβεβήκει,

δεῆσον] Suidas sub verbo διηγκυλημένον habet δεήσοι, Eton. δεῆσον omisit.

νευραῖς] Liber Paris. et Eton. ineptum πλευραῖς habent.

ἐπιμεληθῆναι] *Lapides congerendos* interpretatur Weiske. Equidem cum Halbkartio sequor Leonclavium, qui vertit hæc: *misit etiam quosdam idoneos homines, qui, hæc ut fierent, curarent.*

13. οἱ ἀξιοῦντες] Male Junt. cum Guelf. articulum omittit.

μὲν δὴ] Ex libro Eton. δὴ inserui, et sequens τάξις pro vulgato παράταξις recepi.

μηνοειδὴς] Vulgatum εὐειδὴς ex Cod. Paris. Eton. et margine Steph. Zeune mutavit in μονοειδὴς, *uniformis* vertens, quod a loci natura alienum esse vidit et monuit Weiske. Ipse igitur recte monet aciem potius fuisse ἐπικαμπῆ circum oppidum, cornibus sibi oppositis. Atque in hunc sensum vocabulum εὐειδὲς ex etymologia converti posse censet, exempla tamen usus desiderat. Acutam Buttmanni conjecturam dedi.

14. ἅμα τε] Vulgatum καὶ ἅμα γε correxi partim ex libro Eton. qui καὶ omittit, unde ἀπόδοσιν incipere statuit cum Zeunio Weiske. Multis in locis Xenophon jungit particulas ἅμα τε—καὶ, alibi ἅμα καὶ—καὶ, nullibi ἅμα γε—καί. Latini similiter *simulac*, *unaque* jungunt. Cf. Vigerum Hermanni p. 380.

ἠλάλαξαν] Eton. ἠλέλιξαν dat. Cf. ad i. 8, 18. Sequens καὶ πλεῖστοι δ' ἐκ τῶν dedi ex eodem Eton. Vulgo enim erat sine copula πλεῖστοι ἐκ τ.

16. τοῦ πλήθους] Articulum ex Eton. adscivit Zeune.

Ἀγασίας] Margo Steph. cum Paris. et Eton. dat ὥστε Στυμφάλιος καταθέμενος τὰ—ἀνέβη. Postea ἄλλος male omittit Eton.

16 καὶ ἡλώκει τὸ χωρίον, ὡς ἐδόκει. Καὶ οἱ μὲν πελτα-
σταὶ καὶ οἱ ψιλοὶ εἰσδραμόντες ἥρπαζον, ὅ τι ἕκαστος
ἐδύνατο· ὁ δὲ Ξενοφῶν, στὰς κατὰ τὰς πύλας, ὁπόσους
ἐδύνατο κατεκώλυε τῶν ὁπλιτῶν ἔξω· πολέμιοι γὰρ ἄλ-
17 λοι ἐφαίνοντο ἐπ' ἄκροις τισὶν ἰσχυροῖς. Οὐ πολλοῦ δὲ
χρόνου μεταξὺ γενομένου, κραυγή τ' ἐγίγνετο ἔνδον, καὶ
ἔφευγον, οἱ μὲν καὶ ἔχοντες, ἃ ἔλαβον, τάχα δέ τις καὶ
τετρωμένος· καὶ πολὺς ἦν ὠθισμὸς ἀμφὶ τὰ θύρετρα.
Καὶ ἐρωτώμενοι οἱ ἐκπίπτοντες, ἔλεγον, ὅτι ἄκρα τις ἐστὶν
ἔνδον, καὶ οἱ πολέμιοι πολλοὶ, οἳ παίουσιν ἐκδεδραμηκό-
τες τοὺς ἔνδον ἀνθρώπους.
18 Ἐνταῦθα ἀνειπεῖν ἐκέλευσε Τολμίδην τὸν κήρυκα,
ἰέναι εἴσω τὸν βουλόμενόν τι λαμβάνειν. Καὶ ἵεντο πολ-
λοὶ εἴσω, καὶ νικῶσι τοὺς ἐκπίπτοντας οἱ εἴσω ὠθούμε-
νοι, καὶ κατακλείουσι τοὺς πολεμίους πάλιν εἰς τὴν
19 ἄκραν. Καὶ τὰ μὲν ἔξω τῆς ἄκρας πάντα διηρπάσθη,
καὶ ἐξεκομίσαντο οἱ Ἕλληνες· οἱ δ' ὁπλῖται ἔθεντο τὰ
ὅπλα, οἱ μὲν περὶ τὸ σταύρωμα, οἱ δὲ κατὰ τὴν ὁδὸν τὴν
20 ἐπὶ τὴν ἄκραν φέρουσαν. Ὁ δὲ Ξενοφῶν καὶ οἱ λοχα-
γοὶ ἐσκόπουν, εἰ οἷόν τ' εἴη τὴν ἄκραν λαβεῖν· ἦν γὰρ
οὕτω σωτηρία ἀσφαλής· ἄλλως δὲ πάνυ χαλεπὸν ἐδόκει

16. κατεκώλυε] Vulgatum κατεκώλυσε cum Stephano correxi.

17. κραυγή τ'] Ex Eton. τε adscivit Zeune.

ἄκρα τις] Juntina τι, Guelf. τε dat. Sequens ἔνδον habet margo Steph. liber Brodæi, Paris. Eton. omittunt Edd. vett. cum Guelf. et seclusit Zeune.

18. βουλόμενον] Margo Villois. dat ἑλόμενον. Sequens ἵεντο πολλοὶ εἴσω ex margine Steph. Paris. Eton. recepit Zeune; vulgatum ἐφέροντο εἴσω πολλοὶ repetiit Weiske.

τοὺς ἐκπίπτοντας] Cum Stephano Zeune interpretatur, *qui extra erumpere conabantur, coacti fuerunt retrogredi vi eorum, qui ingredi volebant.* Mihi verbum νικῶσι videtur insolens ea de re usurpatum. Quid si suspicemur, verba τοὺς ἐκπίπτοντας male ex superioribus fuisse repetita a librario? Ceterum margo Steph. cum Eton. dat εἰσωθούμενοι.

19. ἐξεκομίσαντο] Intellige τὰ ἁλόντα, prædam.

σταύρωμα] Margo Steph. Paris. Eton. σταυρώματα dant.

20. οὕτω σωτηρία] Guelf. οὕτως ἀσφαλὴς σωτηρία, Eton. ὄντως habet, deinceps πάνυ χαλεπὸν ex eodem recepi pro παγχάλεπον.

εἶναι ἀπελθεῖν· σκοπουμένοις δ' αὐτοῖς ἔδοξε παντάπα-
σιν ἀνάλωτον εἶναι τὸ χωρίον· Ἐνταῦθα παρεσκευά- 21
ζοντο τὴν ἄφοδον, καὶ τοὺς μὲν σταυροὺς ἕκαστοι τοὺς
καθ' αὑτοὺς διῄρουν, καὶ τοὺς ἀχρείους καὶ φορτία ἔχον-
τας ἐξεπέμποντο καὶ τῶν ὁπλιτῶν τὸ πλῆθος· κατέλιπον
δὲ οἱ λοχαγοὶ, οἷς ἕκαστος ἐπίστευεν.

Ἐπεὶ δὲ ἤρξαντο ἀποχωρεῖν, ἐπεξέθεον ἔνδοθεν πολ- 22
λοὶ, γέῤῥα καὶ λόγχας ἔχοντες, καὶ κνημῖδας, καὶ
κράνη Παφλαγονικά· καὶ ἄλλοι ἐπὶ τὰς οἰκίας ἀνέβαι-
νον τὰς ἔνθεν καὶ ἔνθεν τῆς εἰς τὴν ἄκραν φερούσης ὁδοῦ·
ὥστ' οὐδὲ διώκειν ἀσφαλὲς ἦν αὐτοὺς κατὰ τὰς πύλας, 23
τὰς εἰς τὴν ἄκραν φερούσας· καὶ γὰρ ξύλα μεγάλα
ἐπεῤῥίπτουν ἄνωθεν, ὥστε χαλεπὸν ἦν καὶ μένειν καὶ
ἀπιέναι· καὶ ἡ νὺξ φοβερὰ ἦν ἐπιοῦσα. Μαχομένων 24
δ' αὐτῶν καὶ ἀπορουμένων, θεῶν τις αὐτοῖς μηχανὴν
σωτηρίας δίδωσιν. Ἐξαπίνης γὰρ ἀνέλαμψεν οἰκία

21. *σταυροὺς*] Paris. *σαθροὺς* habet. Sequens *διαιρεῖν* *evellere* interpretatur Zeune. Noster in Hellenicis iii. 2, 3. *διασπάσαντες τὸ αὐτῶν ὀχύρωμα.* iv. 4, 10. *καὶ διασπάσαντες τὸ σταύρωμα ἐδίωκον ἐπὶ θάλατταν.* Polybius ii. 69. *διασπᾷν τὰ προτειχίσματα.* Hinc in Cyrop. viii. 5, 25. *διασπᾷν τοὺς νόμους* *perrumpere et exire leges.* Vallos Græci evellunt, quo facilior abeuntibus exitus esset ex eo loco, ubi stabant.

ἀχρείους καὶ φορτία ἔχοντας ἐξεπέμποντο καὶ] Vulgatam scripturam *ἀχρείους ἐφ' ἁρπαγὴν* (Junt. et Guelf. *εἰς ἁρπαγὴν*) *ἐξέπεμπον καὶ* non solum nullus Interpretum suspectam habuit, sed Zeune adeo lectionem unice veram marginis Steph. libri Brodæi, Paris. et Eton. glossema esse censebat vulgaris, quo quis conatus sit explicare *τοὺς ἀχρείους.* Non cogitarunt in loco tam ancipiti, ubi Græcis omnis salutis spes in abitu supererat, de mittendis ad prædam militibus in ipso abitus momento non potuisse cuiquam sano in mentem venire. Contra suadebat periculum, ut per vallorum intervalla primos emitterent *ἀχρείους* et spoliis onustos cum gravis armaturæ militibus: contra lochagi cum parte copiarum, cui maxime confidebant, remanebant et hostem instantem repellere conabantur. Miror, milites gravis armaturæ junctos *τοῖς ἀχρείοις* et ad prædandum emissos non statim vitii suspicionem movisse viris doctis. Aliud est *ἐκπέμπειν*, aliud *ἐκπέμπεσθαι.* Similiter *ἀποπέμπεσθαι* est *dimittere a se*, *ἀποπέμπειν*, *ablegare.*

22. *ἀποχωρεῖν*] Male Eton. *ἀποθαῤῥεῖν—ἔνδον* habet.

Παφλαγονικά] Infra, 4, 13. *σκύτινα* dicit, Herodotus vii. 72. *κράνεα πεπλεγμένα.*

ἀνέβαινον τὰς] Eton. *ἀναβαίνοντας*, Paris. *ἀναβαίνοντες.* Deinde *εἰς τὰ ἄκρα* habet Eton. Paulo antea pronomen *αὐτοὺς* omittit Eton.

24. *θεῶν τις αὐτοῖς*] Repetitum *αὐτοῖς* omitti poterat commode.

τῶν ἐν δεξιᾷ, ὁτουδὴ ἀνάψαντος. Ὡς δ' αὕτη συνέπιπ-
25 τεν, ἔφευγον οἱ ἀπὸ τῶν ἐν δεξιᾷ οἰκιῶν. Ὡς δ' ἔμαθεν
ὁ Ξενοφῶν τοῦτο παρὰ τῆς τύχης, ἀνάπτειν ἐκέλευε καὶ
τὰς ἐν ἀριστερᾷ οἰκίας· αἱ δὲ ξύλιναι ἦσαν· ὥστε καὶ
ταχὺ ἐκαίοντο. Ἔφευγον οὖν καὶ οἱ ἀπὸ τούτων τῶν οἰ-
26 κιῶν. Οἱ δὲ κατὰ τὸ στόμα δὴ ἔτι μόνοι ἐλύπουν, καὶ
δῆλοι ἦσαν, ὅτι ἐπικείσονται ἐπὶ τῇ ἐξόδῳ τε καὶ κατα-
βάσει. Ἐνταῦθα παραγγέλλει φορεῖν ξύλα, ὅσοι ἐτύγ-
χανον ἔξω ὄντες τῶν βελῶν, εἰς τὸ μέσον ἑαυτῶν καὶ τῶν
πολεμίων. Ἐπεὶ δὲ ἱκανὰ ἤδη ἦν, ἀνῆψαν· ἀνῆπτον δὲ
καὶ τὰς παρ' αὐτὸ τὸ χαράκωμα οἰκίας, ὅπως οἱ πολέ-
27 μιοι ἀμφὶ ταῦτα ἔχοιεν. Οὕτω μόλις ἀπῆλθον ἀπὸ τοῦ
χωρίου, πῦρ ἐν μέσῳ ἑαυτῶν καὶ τῶν πολεμίων ποιησά-
μενοι. Καὶ κατεκαύθη πᾶσα ἡ πόλις καὶ αἱ οἰκίαι
καὶ αἱ τύρσεις καὶ τὰ σταυρώματα καὶ τἄλλα πάντα,
πλὴν τῆς ἄκρας.

28 Τῇ δ' ὑστεραίᾳ ἀπῄεσαν οἱ Ἕλληνες, ἔχοντες τὰ
ἐπιτήδεια. Ἐπεὶ δὲ τὴν κατάβασιν ἐφοβοῦντο τὴν εἰς
Τραπεζοῦντα, (πρανὴς γὰρ ἦν καὶ στενὴ) ψευδενέδραν
29 ἐποιήσαντο· καὶ ἀνὴρ, Μυσὸς τὸ γένος, καὶ τοὔνομα τοῦτο

ὁτουδὴ] Edd. vett. Guelf. Eton. post ἀνάψαντος addunt τινὸς, Stephanus in secunda Ed. ἐνάψαντος dedit.

αὕτη] Vulgabatur αὐτὴ, in Edd. vett. Eton. et a secunda manu in Guelf. est αὐτοὶ συνέπιπτον.

οἱ ἀπὸ] Stephanus articulum in libris aliquot deesse annotavit.

25. ἀνάπτειν] Steph. sec. cum Guelf. et Paris. ἐνάπτειν dant.

αἱ δὲ] Cod. Paris. αἳ ξύλιναι habet.

26. κατὰ τὸ στόμα] *In fronte in ipsis viæ faucibus* Amasæus interpretatur, *e regione oppositi* Weiske. Articulum τὸ ex Eton. inserui, qui μόνον etiam habet.

ἐπὶ—καταβάσει] Eton. ἐν τῇ habet; deinde ἐκβάσει ex Aldina dedit Steph. alterum est in Juntina, Guelf. Paris. Eton. margine Steph.

ἀνῆψαν· ἀνῆπτον] Ita cum Edd. vett. Guelf. ἐνῆψαν· ἐνῆπτον cum libro Paris. dedit Stephanus.

27. ἀπὸ τοῦ χωρίου] Margo Villois. ἐκ τοῦ χ. annotavit. Comparant viri docti simile factum Bellovacorum in Cæsaris Comm. de B. G. viii. 15.

28. ἔχοντες τὰ ἐπιτήδεια] In margine Steph. Paris. et Eton. diversa est lectio: εἰς τὰ ἐπιτήδεια, quæ vitium aliquod latens arguere mihi videtur. Ceterum capitis novi initium hinc fecit Weiske.

ψευδενέδραν] Suidas sub h. v. locum paulo diverse posuit.

29. τὸ γένος] Omisit hæc Eton. Deinde λαβὼν δέκα habet cum libro Paris. margo Steph.

ἔχων, τῶν Κρητῶν λαβὼν τέτταρας ἢ πέντε, ἔμενεν ἐν
λασίῳ χωρίῳ, καὶ προσεποιεῖτο τοὺς πολεμίους λανθά-
νειν πειρᾶσθαι· αἱ δὲ πέλται αὐτῶν ἄλλῃ καὶ ἄλλῃ
διεφαίνοντο, χαλκαῖ οὖσαι. Οἱ μὲν οὖν πολέμιοι, ταῦτα 30
ὁρῶντες, ἐφοβοῦντο ὡς ἐνέδραν οὖσαν· ἡ δὲ στρατιὰ ἐν
τούτῳ κατέβαινεν. Ἐπεὶ δὲ ἐδόκει ἱκανὸν ἤδη ὑπεληλυ-
θέναι τῷ Μυσῷ, ἐσήμηνε φεύγειν ἀνὰ κράτος· καὶ ὃς
ἐξαναστὰς φεύγει καὶ οἱ σὺν αὐτῷ. Καὶ οἱ μὲν ἄλλοι 31
Κρῆτες, (ἁλίσκεσθαι γὰρ ἔφασαν τῷ δρόμῳ) ἐκπεσόν-
τες ἐκ τῆς ὁδοῦ, εἰς ὕλην κατὰ τὰς νάπας κυλινδούμενοι
ἐσώθησαν· ὁ Μυσὸς δὲ, κατὰ τὴν ὁδὸν φεύγων, ἐβόα 32
βοηθεῖν· καὶ ἐβοήθησαν αὐτῷ, καὶ ἀνέλαβον τετρωμέ-
νον. Καὶ αὐτοὶ ἐπὶ πόδα ἀνεχώρησαν βαλλόμενοι οἱ
βοηθήσαντες, καὶ ἀντιτοξεύοντές τινες τῶν Κρητῶν· οὕτως
ἀφικνοῦνται ἐπὶ τὸ στρατόπεδον πάντες σῶοι ὄντες.

λανθάνειν πειρᾶσθαι] Hunc ordinem verborum vulgato π. λ. ex Guelf. præstuli.

ἄλλῃ καὶ ἄλλῃ] Margo Steph. Paris. Eton. ἄλλοτε καὶ ἄλλοτε dant; quod equidem præfero. Ita ii. 4, 26. sine varietate est ἄλλοτε καὶ ἄλλοτε ἐφιστάμενος. Aliter videtur Weiskio.

30. ταῦτα ὁρῶντες] Simplex vulgato διορῶντες præstuli ex Eton. οὖν præcedens omisit Juntina.

31. ἔφασαν] Esse dictum pro ἁλίσκεσθαι γὰρ ἂν ᾤοντο recte monuit Portus.

κυλινδούμενοι] Supra iv. 8, 28. est de equis: καὶ κάτω μὲν οἱ πολλοὶ ἐκυλινδοῦντο, ἄνω δὲ—μόλις βάδην ἐπορεύοντο. Hoc loco liber Paris. dat καλινδούμενοι. Ceterum νάπη *saltus* est in Indice Zeuniano—qui νάπος *vallem* interpretatur ex vi. 5, 12. At contra est. Supra enim iv. 5, 15. κρήνη ἀτμίζουσα ἐν νάπῃ est *fons in valle promanans*. Ibid. sect. 18. ἧκαν ἑαυτοὺς κατὰ τῆς χιόνος εἰς τὴν νάπην est de valle similiter, depressa, quod significat verbum ἧκαν. In montibus sunt νάπη et νάπαι, sed in silvis et saltibus omnibus non sunt νάπαι, valles, sed in montibus. Hinc in Hipparchico iv. 4. ubi δυσχωρίαι nominantur, δύσποροι νάπαι commemorantur. Similiter τὰς νάπας Cyneg. v. 15. *saltus* male interpretantur, cum sint *valles*, ut cap. 9, 11. Contra in Cyrop. i. 6, 43. scribendum censeo nunc ex Codd. ἢ ὅπως νάπη ἢ ποταμοὺς διαβαίνειν, non νάπας cum universim ibi de transitu exercitus sermo fiat. In Homericis locis Il. viii. 554. et xvi. 300. νάπαι sunt *saltus*. Sed Pindaro, Platoni et Apollonio κοίλη νάπη *vallem* significat. Plura dixi in Lexico Græco.

32. ἀνεχώρησαν] Liber Paris. cum Eton. ἀνεχώρουν. Deinceps ἀφίκοντο Etonensis habet.

CAP. III.

ΕΠΕΙ δὲ οὔτε ὁ Χειρίσοφος ἧκεν, οὔτε πλοῖα ἱκανὰ ἦν,
οὔτε τὰ ἐπιτήδεια ἦν λαμβάνειν ἔτι, ἐδόκει ἀπιτέον εἶναι.
Καὶ ἐς μὲν τὰ πλοῖα τούς τε ἀσθενοῦντας ἐνεβίβασαν
καὶ τοὺς ὑπὲρ τετταράκοντα ἔτη καὶ παῖδας καὶ γυναῖ-
κας καὶ τῶν σκευῶν ὅσα μὴ ἀνάγκη ἦν ἔχειν· καὶ Φιλή-
σιον καὶ Σοφαίνετον τοὺς πρεσβυτάτους τῶν στρατηγῶν
εἰσβιβάσαντες, τούτων ἐκέλευον ἐπιμελεῖσθαι· οἱ δὲ ἄλ-
2 λοι ἐπορεύοντο· ἡ δὲ ὁδὸς ὁδοποιουμένη ἦν. Καὶ ἀφικνοῦν-
ται πορευόμενοι εἰς Κερασοῦντα τριταῖοι, πόλιν Ἑλληνίδα,
ἐπὶ τῇ θαλάσσῃ, Σινωπέων ἄποικον, ἐν τῇ Κολχίδι χώ-
3 ρᾳ. Ἐνταῦθα ἔμειναν ἡμέρας δέκα· καὶ ἐξέτασις ἐν
τοῖς ὅπλοις γίγνεται καὶ ἀριθμὸς, καὶ ἐγένοντο ὀκτακισ-
χίλιοι καὶ ἑξακόσιοι. Οὗτοι ἐσώθησαν ἐκ τῶν ἀμφὶ

1. ἧκεν] Cf. supra cap. 1. sect. 4.

τὰ ἐπιτήδεια] Articulum ex Eton. libro restitui cum Zeunio. Compara cap. 2. sect. 1. et aliis locis idem adjungitur articulus. Idem Eton. ἔτι omisit. Ceterum Diodorus ex alio fonte moram definit sic xiv. 30. ἐφ' ἡμέρας μὲν οὖν τριάκοντα περιέμειναν τὸν Χειρίσοφον· ὡς δ' ἐκεῖνος ἐβράδυνεν.

πλοῖα] Paris. Codex ὅπλα dat; deinceps Castal. ἐνεβίβαζον, Guelf. ἀναβίβασαν.

ὁδοποιουμένη] Cf. cap. 1. sect. 14.

2. τριταῖοι] Ita etiam Diodorus xiv. 30.

ἄποικον] Idem Arrianus Peripl. P. Eux. p. 129. addens sua ætate dici Φαρνάκειαν. Strabo vero Pharnaceam facit coloniam Cotyorensium a Cerasunte distinguens, recte!

3. δέκα] Diodorus non definito numero τινὰς ait.

γίγνεται] Eton. liber ἐγίγνετο dat. Supra i. 2, 9. est: ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγένοντο οἱ σύμπαντες &c. Hellenic. vi. 4, 31. ἐξέτασιν πεποιηκὼς καὶ δοκιμασίαν τοῦ ἱππικοῦ. Quod vero Hutchinson putavit scribendum τῶν ἐν ὅπλοις, negat necesse esse Zeune et comparato loco i. 7, 10. putat ἐν τοῖς ὅπλοις esse pro ἐν τῇ ὁπλισίᾳ. Sed supra l. l. est ἐν τῇ ἐξοπλισίᾳ ἀριθμὸς ἐγένετο τῶν μὲν Ἑλλήνων. et jam Larcherus monuit ἐν τοῖς ὅπλοις esse dictum pro τῶν ὁπλιτῶν. Ita Hellenic. ii. 4, 8. ἐξέτασιν ποιήσαντες ἐν τοῖς ἱππεῦσι. Cyrop. ii. 4, 1. ἐξέτασιν δέ ποτε τοῦ Κύρου πάντων ποιουμένου ἐν τοῖς ὅπλοις καὶ σύνταξιν. Thucydides iv. 74. et vi. 96. ἐξέτασιν ὅπλων ἐποιήσαντο dixit simpliciter pro *recensere exercitum vel copias.*

ἐκ τῶν ἀμφὶ τ. μ.] Hæc verba in libro Eton. omissa Zeune putavit a librario fuisse assuta, qui commemorata ab aliis scriptoribus decem millia recordabatur. Nam tredecim millia ponere Xenophontem i. 2, 9. et i. 7, 10. Diodorum quidem xiv. 31. ἀπὸ μυρίων τρισχιλίους ὀκτακοσίους περιλειφθῆναι narrare, sed homini non majorem fidem habendam esse quam Frontino, qui iv. 2, 7. scripsit, ex quatuordecim rediisse decem millia.

τοὺς μυρίους· οἱ δὲ ἄλλοι ἀπώλοντο ὑπό τε τῶν πολεμίων
καὶ τῆς χιόνος, καὶ εἴ τις νόσῳ.
Ἐνταῦθα καὶ διαλαμβάνουσι τὸ ἀπὸ τῶν αἰχμαλώ- 4
των γενόμενον ἀργύριον· καὶ τὴν δεκάτην, ἣν τῷ Ἀπόλ-
λωνι ἐξεῖλον καὶ τῇ Ἐφεσίᾳ Ἀρτέμιδι, διέλαβον οἱ στρα-
τηγοὶ, τὸ μέρος ἕκαστος, φυλάττειν τοῖς θεοῖς· ἀντὶ δὲ
Χειρισόφου Νέων ὁ Ἀσιναῖος ἔλαβε. Ξενοφῶν οὖν τὸ 5
μὲν τοῦ Ἀπόλλωνος ἀνάθημα ποιησάμενος ἀνατίθησιν
εἰς τὸν ἐν Δελφοῖς τῶν Ἀθηναίων θησαυρὸν, καὶ ἐπέ-
γραψε τό τε αὐτοῦ ὄνομα καὶ τὸ Προξένου, ὃς σὺν Κλε-
άρχῳ ἀπέθανε· ξένος γὰρ ἦν αὐτῷ. Τὸ δὲ τῆς Ἀρτέ- 6
μιδος τῆς Ἐφεσίας, ὅτε ἀπῄει σὺν Ἀγησιλάῳ ἐκ τῆς
Ἀσίας τὴν εἰς Βοιωτοὺς ὁδὸν, κατέλιπε παρὰ Μεγαβύζῳ
τῷ τῆς Ἀρτέμιδος νεωκόρῳ, ὅτι αὐτὸς κινδυνεύσων ἐδόκει
ἰέναι μετὰ Ἀγησιλάου ἐν Κορωνείᾳ· καὶ ἐπέστειλεν, ἢν
μὲν αὐτὸς σωθῇ, ἑαυτῷ ἀποδοῦναι· εἰ δέ τι πάθοι, ἀνα-
θεῖναι, ποιησάμενον τῇ Ἀρτέμιδι, ὅ τι οἴοιτο χαριεῖσθαι
τῇ θεῷ. Ἐπεὶ δ' ἔφυγεν ὁ Ξενοφῶν, κατοικοῦντος ἤδη 7

Igitur seclusit verba Zeune; cui recte opposuit Weiske locum infra v. 7, 9. ὑμεῖς δὲ—ἐγγὺς μυρίων.

τῶν πολεμίων καὶ τῆς] Articulum utrumque ex Eton. adscivit Zeune.

4. Ἐνταῦθα καὶ] Ex Eton. libro καὶ adjeci cum Zeunio.

ἀπὸ τῶν αἰχμαλώτων] Ita margo Steph. liber Brodæi, Paris. Eton. Vulgatum διὰ τῶν inepte defendebat Zeune.

ἣν τῷ] Edd. vett. ἣν ἐν τῷ, quod Brodæus mutabat in ἣν ἂν τῷ. In Guelf. ἐν erasum est a manu secunda: ἥν τε τῷ malebat Zeune.

διέλαβον] Eton. liber καὶ διέλαβον habet.

5. ἀνατίθησιν] Diogenes in Vita Xenophontis sect. 7. ita: γενόμενος δ' ἐν Ἐφέσῳ καὶ χρυσίον ἔχων, τὸ μὲν ἥμισυ Μεγαβύζῳ δίδωσι τῷ τῆς Ἀρτέμιδος ἱερεῖ φυλάττειν, ἕως ἂν ἐπανέλθῃ· εἰ δὲ μὴ, ἄγαλμα ποιησάμενον ἀναθεῖναι τῇ θεῷ· τοῦ δὲ ἡμίσεος ἔπεμψεν εἰς Δελφοὺς ἀναθήματα. Ex hoc specimine fides hominis cognosci potest. Sanctitatem pecuniarum depositarum in templo Ephesiæ Dianæ, suo adhuc tempore testatur Dio Chrys. Orat. xxxi. p. 595.

ἐπέγραψε] Castalio ἐπεγράψατο edidit; sequens τὸ pro τοῦ ex libro Paris. adscivi, probante Porsono.

ἦν αὐτοῦ] Ex Guelf. dativum αὐτῷ tanquam exquisitiorem recepit Zeune; idem feci propter locum supra i. 1, 11. cf. ibid. sect. 10.

6. ὅτε] Juntina ὅτι habet. De re confer Agesilai Elogium i. 36. seqq.

τῷ τῆς] Articulum τῷ omittunt Edd. vett. Guelf.

ἰέναι—Κορωνείᾳ] Hæc omisit liber Eton. et antecedentia ita habet scripta: κινδυνεῦσαι ἐδόκει.

εἰ—πάθοι] Eton. liber ἢν—πάθῃ. deinde ἐπειδὴ δ' ἔφυγεν dat.

7. ἔφυγεν ὁ Ξενοφῶν] Articulum ex libro Eton. addidi.

αὐτοῦ ἐν Σκιλλοῦντι, ὑπὸ τῶν Λακεδαιμονίων οἰκισθέντι
παρὰ τὴν Ὀλυμπίαν, ἀφικνεῖται Μεγάβυζος εἰς Ὀλυμ-
πίαν θεωρήσων, καὶ ἀποδίδωσι τὴν παρακαταθήκην
αὐτῷ. Ξενοφῶν δὲ λαβὼν, χωρίον ὠνεῖται τῇ θεῷ, ὅπου
8 ἀνεῖλεν ὁ θεός. Ἔτυχε δὲ διὰ μέσου ῥέων τοῦ χωρίου
ποταμὸς Σελινοῦς. Καὶ ἐν Ἐφέσῳ δὲ παρὰ τὸν τῆς

Σκιλλοῦντι] Vulgatum *Σκιλοῦντι* correxit Zeune. In libro Paris. scriptum est *Σκυλλοῦντι*. Plutarchus de Exilio p. 376. *ποία φυγαδικὴ νῆσος οὐκ ἔστι πλατυτέρα τῆς Σκιλλουντίας χώρας, ἐν ᾗ Ξενοφῶν μετὰ τὴν στρατείαν τὸ λιπαρὸν εἶδε γῆρας.* Iterum p. 382. ed. Hutten. *Θουκυδίδης συνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων ἐν Θρᾴκῃ περὶ τὴν Σκαπτὴν ὕλην· Ξενοφῶν ἐν Σκιλλοῦντι τῆς Ἠλείας.* Qui posterior locus referri potest certissime ad Anabasin, quam dum scribebat Xenophon, in agro Scilluntio degisse adhuc videtur. Compara modo singula verba, quibus amœnitatem loci pingit scriptor in hoc agresti otio acquiescens! Generatim ad historias, id est ad Hellenica et Anabasin, referre videtur Diogenes sect. 8. post verba paulo post referenda: *τοὐντεῦθεν διετέλει κυνηγετῶν καὶ τοὺς φίλους ἑστιῶν καὶ τὰς ἱστορίας συγγράφων.*

οἰκισθέντι] Scripturam Castalionis et Bryling. secundæ vulgato *οἰκισθέντος* cum Leonclavio prælatam probarunt Stephanus ceterique Editores.

ἀποδίδωσι] Eton. liber *δίδωσιν* habet. Sequens *ὁ θεὸς* videtur esse Apollo Delphicus, quem de loco sorori consecrando consuluerat homo in minutis etiam negotiis religiosus.

8. *διὰ μέσου ῥέων τοῦ χωρίου*] Ita cum libro Paris. et Eton. vulgatum *διαῤῥέων διὰ τοῦ χωρίου* correxi. Diogenes sect. 8. *ἀφικομένου δὲ τοῦ Μεγαβύζου κατὰ πρόφασιν τῆς πανηγύρεως, κομισάμενος τὰ χρήματα χωρίον ἐπρίατο καὶ καθιέρωσε τῇ θεῷ, δι' οὗ ποταμὸς ἔῤῥει Σελινοῦς ὁμώνυμος τῷ ἐν Ἐφέσῳ.* Unde constat ludos Olympicos tum fuisse actos. Olympiadem eam fuisse 97. posuit Dodwellus in Annalium Thucydideorum Apparatu sect. 28. cujus ipsius Olympiadis anno primo Thucydidem mortuum fuisse probabili argumentatione idem vir doctus collegit. Nempe censet Xenophontem Agesilaum ex Asia redeuntem usque ad Bœotiam comitatum, (qui reditus Agesilai accidit Olympiadis 96. anno 2.) dehinc relicto Agesilao venisse Scilluntem, *agri Elei villam*, ut ait, *ab urbe Elide non longe distantem.* Deinde, cum Xenophon Thucydideam historiam usque eo latentem primus publicasse dicatur a Diogene, eamque ipse in Hellenicis narratione continuaverit sua, suspicatur Dodwellus, filios Xenophonti in agro Scilluntio exulanti cum uxore Philesia advenientes attulisse Thucydideæ historiæ autographum a filio Thucydidis Timotheo acceptum, aut ipsum adeo filium Timotheum Xenophonti exulanti libros paternos tradidisse. Quæ quidem conjecturæ omnes argumento firmo aliquo et certo non nituntur; quare nihil exinde colligere equidem ausim.

Σελινοῦς] Nomen fluvii vulgo scriptum legebatur *Σελλῆνοῦς*, in Codice Paris. est *Σελεινοῦς*, ut in numo Pergameno apud Spanhemium de Usu Numism. Dissert. v. p. 485. Cum Larchero Zeune scripturam Eton. et Regii B. *Σελινοῦς* recepit, propter auctoritatem Strabonis libro viii. p. 309. ed. Siebenk. *ῥεῖ δὲ διὰ τῆς Αἰγιέων πόλεως ποταμὸς Σελινοῦς, ὁμώνυμος τῷ τε ἐν Ἐφέσῳ παρὰ τὸ Ἀρτεμίσιον ῥέοντι, καὶ τῷ ἐν τῇ νῦν Ἠλείᾳ τῷ παραῤῥέοντι τὸ χωρίον, ὅ φησιν ὠνήσασθαι τῇ Ἀρτέμιδι Ξενοφῶν κατὰ χρησμόν.* ubi libri scripti non variant, nisi quod cum Aldina Hopperus *Σελινοὺς* edidit. Obiter tamen monendus lector, Strabonem fluvium *παραῤῥέοντα* dicere, quem Xenophon *διὰ μέσου τοῦ χωρίου ῥέοντα* dixit. Pausanias nunc succedat, cujus locum classicum totum adscribam, v. cap. 6. sect. 3. seqq.

['Εφεσίας] Ἀρτέμιδος νεὼν Σελινοῦς ποταμὸς παραῤῥεῖ,
καὶ ἰχθύες δὲ ἐν ἀμφοτέροις ἔνεισι καὶ κόγχαι· ἐν δὲ
τῷ Σκιλλοῦντι χωρίῳ καὶ θῆραι πάντων, ὁπόσα ἐστὶν
ἀγρευόμενα θηρία. Ἐποίησε δὲ καὶ ναὸν καὶ βωμὸν 9
ἀπὸ τοῦ ἱεροῦ ἀργυρίου· καὶ τολοιπὸν ἀεὶ δεκατεύων τὰ
ἐκ τοῦ ἀγροῦ ὡραῖα, θυσίαν ἐποίει τῇ θεῷ· καὶ πάντες
οἱ πολῖται καὶ οἱ πρόσχωροι ἄνδρες καὶ γυναῖκες μετεῖ-
χον τῆς ἑορτῆς. Παρεῖχε δὲ ἡ θεὸς τοῖς σκηνοῦσιν ἄλ-
φιτα, ἄρτους, οἶνον, τραγήματα, καὶ τῶν θυομένων ἀπὸ

Μετὰ δὲ τὸν Ἄνιγρον ὁδεύσας ἐπὶ μακρότερον διὰ χωρίου τὰ πλείονα ὑπὸ ψάμμου κεκαλυμμένου καὶ ἔχοντος δένδρα πίτυς ἀγρίας, ὀπίσω ἐπ' ἀριστερὰ Σκιλλοῦντος ὄψει ἐρείπια. Τῶν μὲν δὴ πόλεών ἦν τῶν ἐν τῇ Τριφυλίᾳ καὶ Σκιλλοῦς· ἐπὶ δὲ τοῦ πολέμου τοῦ Πισαίων πρὸς Ἠλείους ἐπίκουροί τε Πισαίων οἱ Σκιλλούντιοι καὶ διάφοροι τοῖς Ἠλείοις ἦσαν ἐκ τοῦ φανεροῦ, καὶ σφᾶς οἱ Ἠλεῖοι τούτων ἕνεκα ἐποίησαν ἀναστάτους. Λακεδαιμόνιοι δὲ ὕστερον Σκιλλοῦντα ἀποτεμόμενοι τῆς Ἠλείας Ξενοφῶντι ἔδοσαν τῷ Γρύλλου φυγάδι ἤδη γεγονότι ἐξ Ἀθηνῶν. Ἐδιώχθη δὲ ὁ Ξενοφῶν ὑπὸ Ἀθηναίων, ὡς ἐπὶ βασιλέα τῶν Περσῶν σφίσιν εὔνουν ὄντα στρατείας μετασχὼν Κύρῳ πολεμιωτάτῳ τοῦ δήμου.—Ἀντὶ τούτων μὲν Ξενοφῶντι ἐγένετο ἡ φυγή· κατοικήσας δὲ ἐν Σκιλλοῦντι τέμενός τε καὶ ἱερὸν καὶ ναὸν Ἀρτέμιδι ᾠκοδομήσατο Ἐφεσίᾳ. Παρέχεται δὲ ὁ Σκιλλοῦς καὶ ἄγρας θηρίων, ὑῶν τε ἀγρίων καὶ ἐλάφων· καὶ τὴν γῆν τὴν Σκιλλουντίαν Σελινοῦς ποταμὸς διέξεισιν. Οἱ δὲ Ἠλείων ἐξηγηταὶ κομίσασθαί τε αὖθις Σκιλλοῦντα ἔλεγον, καὶ Ξενοφῶντα, ὅτι ἔλαβε παρὰ Λακεδαιμονίων τὴν γῆν, κριθῆναι μὲν ἐν τῇ Ὀλυμπιακῇ βουλῇ, τυχόντα δὲ παρὰ Ἠλείων συγγνώμης ἀδεῶς ἐν Σκιλλοῦντι οἰκῆσαι. Καὶ δὴ καὶ ὀλίγον ἀπωτέρω τοῦ ἱεροῦ μνῆμά τε ἐδείκνυτο καὶ τῆς Πεντέλησίν ἐστι λιθοτομίας εἰκὼν ἐπὶ τῷ τάφῳ· εἶναι δὲ αὐτὸ Ξενοφῶντος λέγουσιν οἱ προσοικοῦντες. Ubi vulgatur nunc Σιλινοῦς, Amasæus Σελινοῦς scriptum vertit. Sed fluvius Ægiensis apud eundem vii. c. 24. sect. 3. Σελινὸς scriptus legitur. Reliqua, quæ ad narrationem Pausaniæ moneri posse videntur, rejeci in Epimetrum, quod studiosus lector consulet. In Diogene Laertio in Vita Xenophontis sect. 8. vulgo scriptus fluvius Σελληνοῦς legitur.

τῆς ['Εφεσίας]] Vocabulum alterum in libro Eton. omissum tanquam inutile cum Zeunio seclusi.

καὶ ἰχθύες δὲ] Vulgatum τε ex Eton. libro correxi ; sed mira est ejusdem et Paris. varietas, ubi ἰχθύες τε mutant ille in λειμῶνες δὲ, hic in λειμῶνές τε. Prata quis juncta unquam fluvio et conchis audivit aut legit ? An latent in vitiosa scriptura λειμάκες, latine *limaces?* Solus Hesychius in glossa in extremo vitiata λειμάδες annotavit genus cochleæ λειμὰς vel λείμαξ vocatum, quod commode conchis jungitur. Ceterum ἔνεισι pro vulgato εἰσὶ dedi ex libro Paris. et Eton.

τῷ Σκιλλοῦντι χωρίῳ] Cum Hutchinsono Weiske ἐν inseruit ante nomen oppidi, de conjectura Leonclavii, ipse tamen malebat τῷ Σκιλλουντίῳ χώρῳ scriptum, quod et mihi placet.

9. πρόσχωροι] Male Edd. vett. cum Guelf. πρόχωροι habent.

Παρεῖχε δὲ ἡ θεὸς] Vulgatum παρέχει ex margine Steph. libro Paris. et Eton. correxit Zeune. Sed male idem Eton. ὁ ναὸς habet pro ἡ θεός. Ceterum lector ipse facile agnoscet urbanitatem piam scriptoris, qui deæ liberalitatem suam assignat.

τοῖς σκηνοῦσιν] Aliena est Brodæi conjectura Σκιλλουντίοις ab hoc loco. Sub umbraculis degebant convivæ ad festum diem congregati.

οἶνον] Deinceps vulgo positum vo-

10 τῆς ἱερᾶς νομῆς λάχος, καὶ τῶν θηρευομένων δέ. Καὶ γὰρ θήραν ἐποιοῦντο εἰς τὴν ἑορτὴν οἵ τε Ξενοφῶντος παῖδες καὶ οἱ τῶν ἄλλων πολιτῶν· οἱ δὲ βουλόμενοι καὶ ἄνδρες συνεθήρων· καὶ ἡλίσκετο τὰ μὲν ἐξ αὐτοῦ τοῦ ἱεροῦ χωρίου, τὰ δὲ ἐκ τῆς Φολόης, σύες καὶ δορκάδες καὶ
11 ἔλαφοι. Ἔστι δὲ ὁ τόπος, ᾗ ἐκ Λακεδαίμονος εἰς Ὀλυμπίαν πορεύονται, ὡς εἴκοσι στάδιοι ἀπὸ τοῦ ἐν Ὀλυμπίᾳ Διὸς ἱεροῦ. Ἔνι δ᾽ ἐν τῷ ἱερῷ τόπῳ καὶ ἄλση καὶ ὄρη δένδρων μεστὰ, ἱκανὰ καὶ σῦς καὶ αἶγας καὶ ὄϊς τρέφειν καὶ ἵππους, ὥστε καὶ τὰ τῶν εἰς τὴν ἑορ-
12 τὴν ἰόντων ὑποζύγια εὐωχεῖσθαι. Περὶ δ᾽ αὐτὸν τὸν ναὸν ἄλσος ἡμέρων δένδρων ἐφυτεύθη, ὅσα ἐστὶ τρωκτὰ ὡραῖα. Ὁ δὲ ναὸς, ὡς μικρὸς μεγάλῳ, τῷ ἐν Ἐφέσῳ εἴκασται· καὶ τὸ ξόανον ἔοικεν, ὡς κυπαρίσσινον χρυσῷ

cabulum *ἀργύρια* cum libris Paris. Eton. Regiis A. et B. omisit Zeune et Weiske.

10. *συνεθήρων*] Subito nunc Codex Paris. *ξυνεθήρων* infert.

ἐκ τῆς Φολόης] Recte apposuit Hutchinson locum Strabonis viii. p. 145. *καὶ ἡ Φολόη δ᾽ ὑπέρκειται τῆς Ὀλυμπίας ἐγγυτάτω ὄρος Ἀρκαδικὸν, ὥστε τὰς ὑπωρείας τῆς Πισάτιδος εἶναι.* Præterea compara ea, quæ sect. sequenti statim subjungit Xenophon. Male liber Eton. *ἐξ αὐτῆς Φ.* habet.

11. *ὁ τόπος*] Paris. *ἔστι δὲ ἡ χώρα*, Eton. *ἔστι καὶ ἡ χώρα ἐκ.* Deinceps Paris. *ἱερῷ χώρῳ καὶ λειμὼν καὶ ὄρη.* Eton. *ἱερῷ χώρῳ καὶ ὄρη* margo Steph. *ἱερῷ καὶ λειμὼν καὶ ἄλση καὶ ὄρη.* Mihi additus *λειμὼν* juxta *ἄλση* non displicet, qui contra Zeunio interpretationem vocabuli *ἄλση* habere videbatur. Ceterum nescio quomodo mihi displicet descriptio partium loci quarundam sæpius repetita, veluti hæc: *ἐν δὲ τῷ Σκ. χωρίῳ καὶ θῆραι—θηρία*, deinde illa: *καὶ ἡλίσκετο—σύες καὶ δορκάδες καὶ ἔλαφοι*, denique hæc: *ἱκανὰ καὶ σῦς καὶ αἶγας καὶ ὄϊς τρέφειν καὶ ἵππους*: quæ nimis distracta et variata tædii aliquid lectori facere posse videntur. Pars enim eorum comprehenditur etiam verbis *τῶν θυομένων ἀπὸ τῆς ἱερᾶς νομῆς.*

αἶγας καὶ ὄϊς] Liber Eton. *βοῦς*, Paris. cum margine Steph. *αἶγας καὶ βοῦς* nominat. Hæc scilicet pecora ad convivia hospitum referuntur.

εὐωχεῖσθαι] Hutchinson locum Aristotelis H. A. viii. 6. comparavit, ubi est *μετὰ δὲ τὰς τρεῖς ἡμέρας εὐωχοῦσιν ἤδη οἱ πιαίνοντες τὰς ὗς.* Articulum *τὰ* ante *τῶν* omittit Eton. liber.

12. *ὅσα ἐστὶ τρωκτὰ ὡραῖα*] Hutchinson ex Æliani V. H. i. 31. locum comparavit, ubi post *πυρὸν* nominantur *τρωκτὰ ὡραῖα*, ubi Perizonius *poma* interpretatur seu *fructus, qui crudi in secunda mensa apponuntur.* Zeune *ὅσων* scriptum malebat. Weiske ante hæc intelligebat *ἐκείνων τῶν ὀπωρῶν*, vel repetendum cogitatione *ἐφυτεύθη* censebat. Non minus enim fructus arborum quam arbores ipsas dici posse *φυτεύεσθαι.* Quod equidem recte fieri posse non credo.

χρυσῷ] Plinius xvi. c. 40. varietatem traditionis de eo prodidit cum Vitruvio ii. 9. Hutchinson ligneum et inauratum fuisse suspicabatur.

ὄντι, τῷ ἐν Ἐφέσῳ. Καὶ στήλη ἕστηκε παρὰ τὸν ναὸν, 13
γράμματα ἔχουσα· ΙΕΡΟΣ Ο ΧΩΡΟΣ ΤΗΣ ΑΡΤΕΜΙΔΟΣ. ΤΟΝ ΔΕ ΕΧΟΝΤΑ ΚΑΙ ΚΑΡΠΟΥΜΕΝΟΝ, ΤΗΝ ΜΕΝ ΔΕΚΑΤΗΝ ΚΑΤΑΘΥΕΙΝ ΕΚΑΣΤΟΥ ΕΤΟΥΣ, ΕΚ ΔΕ ΤΟΥ ΠΕΡΙΤΤΟΥ ΤΟΝ ΝΑΟΝ ΕΠΙΣΚΕΥΑΖΕΙΝ· ΕΑΝ ΔΕ ΤΙΣ ΜΗ ΠΟΙῌ ΤΑΥΤΑ, Τῌ ΘΕῼ ΜΕΛΗΣΕΙ.

CAP. IV.

ΕΚ Κερασοῦντος δὲ κατὰ θάλατταν μὲν ἐκομίζοντο οἵπερ καὶ πρόσθεν, οἱ δ᾽ ἄλλοι κατὰ γῆν ἐπορεύοντο.
Ἐπεὶ δ᾽ ἦσαν ἐπὶ τοῖς Μοσυνοίκων ὁρίοις, πέμπουσιν εἰς 2
αὐτοὺς Τιμησίθεον τὸν Τραπεζούντιον, πρόξενον ὄντα τῶν Μοσυνοίκων, ἐρωτῶντες, πότερον ὡς διὰ φιλίας, ἢ ὡς διὰ πολεμίας πορεύσονται τῆς χώρας. Οἱ δ᾽ εἶπον, ὅτι οὐ

13. στήλη] Mirabar scriptum in annotatione Weiskiana ad Vitam Xenophontis scriptam a Diogene et relatam in Volumen primum Operum Xenophontis p. xxvii. *Pausaniæ ætate, ut Hutchinson Dissert.* i. p. 6. *ex ipso Pausania docet, eminebat propter fanum columna his inscripta verbis.* Tum sequuntur ipsa Xenophontis verba ex h. l. relata. Locum Pausaniæ supra ad sect. 8. positum a nobis si inspicere ipse Weiske dignatus fuisset, fucum sibi a Britanno fieri non passus esset. Pausanias enim μνῆμα et τάφον cum imagine narrat, quæ accolæ ad Xenophontem referebant.

καταθύειν] Castalio addidit δεῖ; deinde Paris. liber cum Eton. μελήσοι habet.

1. θάλατταν μὲν] Edd. vett. Guelf. μὲν, sequens κατὰ ante γῆν omittit Castalio.

2. Μοσυνοίκων] Guelf. hic et in seqq. Μοσσυνοίκων habet, sect. 27. pro μοσύνοις in Paris. Eton. est Μοσυνοίκοις. Variatur scriptura nominis in libris scriptis et editis Herodoti, Strabonis, Dionysii Hal. Μόσσυνας et Μοσσυνοίκοιο Apollonius Rhodius et Dionysius Periegetes dixit; in Orphicis Argon. 745. μίγδην ἐν μοσύνοισι πέδον περιναιετάουσιν. ubi quod ait nuperus Editor, primas duas vocabuli μοσύνοισι produci, id is nunquam efficiet ex locis poetarum, ubi sigma geminatum legitur. Pari enim ratione et eodem jure posset aliquis affirmare, τόσσος et ὅσσος ubique scribendum aut τόσος et ὅσος priorem productam habere, quoniam in multis poetarum locis productum τόσσος et ὅσσος reperitur. Igitur vitium illius loci non est tam manifestum, ut ex vocabuli quantitate statim agnosci possit, adeoque corrigendi necessitas multo minus aperta. Quod vero μίγδην Μοσσύνοισι πέδον περ. scripsit vir doctus, græcorum scriptorum veterum auctoritate scriptura Μόσυνοι firmari non poterit, nisi Nicolai Damasceni Excerpta p. 517. Pliniumque cum Pomponio Mela satis graves testes et auctores pronunciare volueris. Hesychii, qui Μόσσυνες pro Μόσσυνοικοι dictum annotasse videtur, exigua in rebus geographicis auctoritas est.

ἐρωτῶντες] Eton. δὲ addit, at sequens ὡς, alterum duntaxat, omittit.

πορεύσονται] Vulgatum πορεύονται ex Eton. correxit Hutchinson, uti

3 διοίσειεν· ἐπίστευον γὰρ τοῖς χωρίοις. Ἐντεῦθεν λέγει
ὁ Τιμησίθεος, ὅτι πολέμιοί εἰσιν αὐτοῖς οἱ ἐκ τοῦ ἐπέ-
κεινα· καὶ ἐδόκει, καλέσαι ἐκείνους, εἰ βούλοιντο συμ-
μαχίαν ποιήσασθαι· καὶ πεμφθεὶς ὁ Τιμησίθεος, ἧκεν
4 ἄγων τοὺς ἄρχοντας. Ἐπεὶ δὲ ἀφίκοντο, συνῆλθον οἵ
τε τῶν Μοσυνοίκων ἄρχοντες καὶ οἱ στρατηγοὶ τῶν Ἑλ-
λήνων· καὶ ἔλεγε μὲν Ξενοφῶν, ἡρμήνευε δὲ Τιμησί-
θεος.

5 Ὦ ἄνδρες Μοσύνοικοι, ἡμεῖς διασωθῆναι βουλόμεθα
εἰς τὴν Ἑλλάδα πεζῇ· πλοῖα γὰρ οὐκ ἔχομεν· κωλύ-
ουσι δὲ οὗτοι ἡμᾶς, οὓς ἀκούομεν ὑμῖν πολεμίους εἶναι.
6 Εἰ οὖν βούλεσθε, ἔξεστιν ὑμῖν ἡμᾶς λαβεῖν συμμάχους,
καὶ τιμωρήσασθαι, εἴ τι πώποθ' ὑμᾶς οὗτοι ἠδίκησαν,
7 καὶ τολοιπὸν ὑμῶν ὑπηκόους εἶναι τούτους. Εἰ δὲ ἡμᾶς
ἀφήσετε, σκέψασθε, πόθεν αὖθις ἂν τοσαύτην δύναμιν
8 λάβοιτε σύμμαχον. Πρὸς ταῦτα ἀπεκρίνατο ὁ ἄρχων
τῶν Μοσυνοίκων, ὅτι καὶ βούλοιντο ταῦτα, καὶ δέχοιντο
9 τὴν συμμαχίαν. Ἄγετε δή, ἔφη ὁ Ξενοφῶν, τί ἡμῶν

conjecerant Portus, Leoncl. Steph. Sequens Οἱ δ' omisit Eton.

3. πολέμιοί εἰσιν αὐτοῖς] Eton. πολέμιοι οὗτοι εἰσὶν οἱ. quod ferri potest, si manu demonstrantem intelligas Timesitheum sedes alterius gentis.

4. ἡρμήνευε] Edd. vett. Guelf. ἡρμήνευσε. Sequens ὦ ante ἄνδρες omisit Eton.

5. διασωθῆναι] Ita margo Steph. Brodæi, Paris. Eton. Ante Zeunium erat διελθεῖν β. εἰς. Compara Cyrop. v. 4, 16.

6. εἴ τι πώποθ'] Eton. εἴ τι ποτέ. Sequens ὑπηκόους εἶναι τούτους mihi non satis bene congruere videtur cum antecedente ἔξεστιν ὑμῖν, quod quidem ποιῆσαι postulare videtur.

7. αὖθις] Omisit Eton. deinceps Paris. ξύμμαχον habet.

8. ὁ ἄρχων] Bis antea οἱ ἄρχοντες fuerunt nominati: unde subito nunc unus existit? et tamen βούλοιντο, δέχοιντο sequitur, quod ex Paris. recepit Zeune, cum antea legeretur singularis numerus.

9. τί ἡμῶν—χρήσασθαι] Miror hæc silentio prætermissa ab Interpretibus, quanquam solœca. Saltem ἡμῖν scribendum erat.

[τί ἡμῶν δεήσεσθε χρήσασθαι] Dictionem immeritam sollicitavi. Plane geminus locus est in libello de Republica Atheniensium i. 3. τούτων μὲν τῶν ἀρχῶν οὐδὲν δεῖται ὁ δῆμος μετεῖναι, οὔτε τῶν στρατηγικῶν κλήρων οἴονται σφίσι χρῆναι μετεῖναι. Paulo diversum est ibidem ii. 3. οὐ γὰρ πόλις οὐδὲ μία, ἥτις οὐ δεῖται εἰσάγεσθαί τι ἢ ἐξάγεσθαι. Infra vii. 3, 31. est: τί δέοιτο χρῆσθαι τῇ στρατιᾷ. ubi vulgo erat τί οἴοιτο. et vii. 4, 9. ἐγὼ δέομαι ὑμῶν στρατεύεσθαι σὺν ἐμοί. Infra v. 9. 26. Codex Eton. habet scriptum: ἀλλ' ἧττον ἂν διὰ τοῦτο τυγχάνειν τι δέοισθε παρ' αὐτῶν. ubi vulgatur εἴ τι δέοισθε. *Ex Epistola.*]

δεήσεσθε χρήσασθαι, ἂν σύμμαχοι ὑμῶν γενώμεθα; καὶ ὑμεῖς τί οἷοί τε ἔσεσθε ἡμῖν συμπρᾶξαι περὶ τῆς διόδου; Οἱ δ' εἶπον, ὅτι ἱκανοὶ ἐσμὲν εἰς τὴν χώραν 10
εἰσβάλλειν ἐκ τοῦ ἐπὶ θάτερα τὴν τῶν ὑμῖν τε καὶ ἡμῖν πολεμίων, καὶ δεῦρο ὑμῖν πέμψαι ναῦς τε καὶ ἄνδρας, οἵτινες ὑμῖν συμμαχοῦνταί τε καὶ τὴν ὁδὸν ἡγήσονται.

Ἐπὶ τούτοις πιστὰ δόντες καὶ λαβόντες, ᾤχοντο· καὶ 11
ἧκον τῇ ὑστεραίᾳ ἄγοντες τριακόσια πλοῖα μονόξυλα, καὶ ἐν ἑκάστῳ τρεῖς ἄνδρας· ὧν οἱ μὲν δύο ἐκβάντες, εἰς τάξιν ἔθεντο τὰ ὅπλα· ὁ δὲ εἷς ἔμενε. Καὶ οἱ μὲν, λα- 12
βόντες τὰ πλοῖα, ἀπέπλευσαν· οἱ δὲ μένοντες ἐξετάξαντο ὧδε· Ἔστησαν ἀνὰ ἑκατὸν μάλιστα, ὥσπερ οἱ χοροὶ, ἀντιστοιχοῦντες ἀλλήλοις, ἔχοντες γέῤῥα πάντες λευκῶν βοῶν δασέα, εἰκασμένα κιττοῦ πετάλῳ· ἐν δὲ τῇ δεξιᾷ παλτὸν ὡς ἑξάπηχυ, ἔμπροσθεν μὲν λόγχην ἔχον, ὄπισθεν δὲ αὐτοῦ τοῦ ξύλου σφαιροειδές. Χιτωνίσκους δὲ 13
ἐνεδεδύκεσαν ὑπὲρ γονάτων, πάχος ὡς λινοῦ στρωματοδέ-

τί οἷοί τε ἔσεσθε] Hæc ex Stephani conjectura. Edd. vett. Guelf. *ποῖοί τε ἔσεσθε*, Castal. omisit *τε*. Margo Steph. Paris. Eton. *τί οἴεσθε ἔσεσθαι.*

10. *ἐκ τοῦ ἐπὶ θάτερα*] Male Weiske ait esse pro *ἐν τῷ ἐπὶ θ.* *qui ultra nos sedes habent*, et comparat sect. 3. *οἱ ἐκ τοῦ ἐπέκεινα.* At ita debebat esse *τὴν ἐκ τοῦ ἐπὶ θάτερα.* Scilicet vulgo post *θάτερα* erat comma positum, quod impediisse videtur virum doctum. *ἐκ τ. ἐ. θ.* est h. l. *a tergo.*

11. *δόντες*] Guelf. *διδόντες* habet.

ὧν οἱ μὲν δύο] Eton. *οἱ μὲν* omittit. Ita enim intelligi malim, quod annotavit Hutchinson *οἱ μὲν* omissum, sed ille ad sequens *καὶ οἱ μὲν* referebat.

12. *ἐξετάξαντο ὧδε*] Edd. vett. *ἐξητάζοντο οὕτως.* Guelf. *ἐξητάζοντο· οὕτως ἔστησαν, ὥσπερ.* Paris. Eton. *ἐξετάζοντο ὧδε.* Brodæus et Castalio *ἐξητάζοντο, καὶ οὕτως ἔστησαν, ὥσπερ.*

ὥσπερ οἱ χοροὶ] Leonclavii judicium secutus Weiske ita verba ordinavit, quæ vulgo ita collocata leguntur: *ἔστησαν ὥσπερ——μάλιστα οἱ χοροί.* Steph. secunda dedit *οἷον χοροί.* Suidas sub verbo *ἀντιστοιχοῦντες* ex h. l. posuit: *ἔστησαν ὥσπερ μάλιστα χοροὶ ἀντιστοιχοῦντες—βοῶν λευκῶν.* Ita etiam in voc. *πέταλον.*

εἰκασμένα] Paris. *ἠκισμένα* habet, sed *ἠκασμένα* voluit dare, ut Æschyli Suppl. 291. *ἤκασα.* Cum folio hederaceo peltam Amazonum comparat Pollux i. 134. laudans obiter hunc locum.

ὡς ἑξάπηχυ] Edd. vett. cum Guelf. *ὡς* omittunt, quod tamen habet Suidas in vocabulo *παλτά.*

ὄπισθεν δὲ] Paris. Eton. *ἔμπροσθεν δὲ τοῦ ξύλου* habent, Weiske *αὐτὸ τὸ ξύλον* conjecit. Vulgatum habet Suidas l. c. Mihi quidem cum libris scriptis scribendum videtur: *ἔμπροσθεν μὲν τοῦ ξύλου λόγχην ἔχον, ὄπισθεν δὲ σφαιροειδές.*

13. *στρωματοδέσμου*] Eton. habet *στρώματος λεπτοῦ.* Vulgaris *στρωμα-*

σμου· ἐπὶ δὲ τῇ κεφαλῇ κράνη σκύτινα, οἷά περ τὰ
Παφλαγονικὰ, κρώβυλον ἔχοντα κατὰ μέσον ἐγγυτάτω
14 τιαροειδῆ· εἶχον δὲ καὶ σαγάρεις σιδηρᾶς. Ἐντεῦθεν
ἐξῆρχε μὲν αὐτῶν εἷς, οἱ δ᾽ ἄλλοι πάντες ᾄδοντες ἐπο-
ρεύοντο ἐν ῥυθμῷ, καὶ διελθόντες διὰ τῶν τάξεων καὶ
διὰ τῶν ὅπλων τῶν Ἑλλήνων ἐπορεύοντο εὐθὺς πρὸς τοὺς
πολεμίους, ἐπὶ χωρίον, ὃ ἐδόκει ἐπιμαχώτατον εἶναι.
15 Ἔκειτο δὲ τοῦτο πρὸ τῆς πόλεως, τῆς μητροπόλεως καλου-
μένης αὐτοῖς, [καὶ] ἐχούσης τὸ ἀκρότατον τῶν Μοσυνοί-
κων· καὶ περὶ τούτου ὁ πόλεμος ἦν· οἱ γὰρ ἀεὶ τοῦτ᾽
ἔχοντες ἐδόκουν ἐγκρατεῖς καὶ πάντων Μοσυνοίκων εἶναι.
Καὶ ἔφασαν τούτους οὐ δικαίως ἔχειν τοῦτο, ἀλλὰ κοινὸν
ὂν καταλαβόντας πλεονεκτεῖν.
16 Εἵποντο δ᾽ αὐτοῖς καὶ τῶν Ἑλλήνων τινὲς, οὐ ταχθέν-
τες ὑπὸ τῶν στρατηγῶν, ἀλλ᾽ ἁρπαγῆς ἕνεκεν. Οἱ δὲ
πολέμιοι, προσιόντων, τέως μὲν ἡσύχαζον· ἐπεὶ δ᾽ ἐγγὺς
ἐγένοντο τοῦ χωρίου, ἐκδραμόντες τρέπονται αὐτούς· καὶ
ἀπέκτειναν συχνοὺς τῶν βαρβάρων, καὶ τῶν συναναβάν-
των Ἑλλήνων τινὰς, καὶ ἐδίωκον, μέχρις οὗ εἶδον τοὺς
17 Ἕλληνας βοηθοῦντας· εἶτα δὲ ἀποτραπόμενοι ᾤχοντο·
καὶ ἀποτεμόντες τὰς κεφαλὰς τῶν νεκρῶν, ἐπεδείκνυσαν

τόδεσμος pelliceus fuit, docente Casaubono ad Athenæi i. 4.

ἐγγυτάτω] Paris. Eton. ἐγγύτατα. Vulgatum habet Suidas in κρώβυλος. Cf. ad ii. 2, 17.

14. ἐν ῥυθμῷ] Locum Diodori v. 34. de Lusitanis comparavit Hutchinson.

ὃ ἐδόκει] Muretus ᾗ malebat, quod vertit Amasæus. Vulgatum tamen habet etiam Suidas in ἐπίμαχος.

15. Ἔκειτο] Brodæi liber et Eton. Ὠικεῖτο, quod fere prætulerim. Sequens καὶ omittit Etonensis liber. Quare seclusi.

καὶ πάντων] Copulam ex Eton. libro adjunxi.

16. προσιόντων] Ita vulgatum προϊόντων ex Amasæi versione suadente Leonclavio correxit Welsius, ex Etonensi libro Hutchinson.

17. ἀποτραπόμενοι] Cum Aldina Stephanus, Zeune et Weiske ἐκτραπόμενοι dederunt; nostrum est in Junt. Guelf. ἀποτρεπόμενοι margo Steph. Paris. Eton.

ἀποτεμόντες] Forma insolens et comparatio loci iv. 7, 16. facit, ut suspicer ἀποτέμνοντες scriptum fuisse a Xenophonte. Deinceps ἐδείκνυσαν habet liber Eton. Postea τούς τε Ἕλληνας καὶ τοὺς ἐ. πολεμίους habet Guelf.

τοῖς τε Ἕλλησι καὶ τοῖς ἑαυτῶν πολεμίοις· καὶ ἅμα
ἐχόρευον, νόμῳ τινὶ ᾄδοντες. Οἱ δ' Ἕλληνες μάλα 18
ἤχθοντο, ὅτι τούς τε πολεμίους ἐπεποιήκεσαν θρασυτέρους, καὶ ὅτι οἱ ἐξελθόντες Ἕλληνες σὺν αὐτοῖς ἐπεφεύγεσαν, μάλ' ὄντες συχνοί· ὃ οὔπω πρόσθεν ἐπεποιήκεσαν ἐν τῇ στρατείᾳ. Ξενοφῶν δὲ, συγκαλέσας τοὺς 19
Ἕλληνας, εἶπεν· Ἄνδρες στρατιῶται, μηδὲν ἀθυμήσητε ἕνεκα τῶν γεγενημένων· ἔστι γὰρ, ὅ τι καὶ ἀγαθὸν οὐ
μεῖον τοῦ κακοῦ γεγένηται. Πρῶτον μὲν γὰρ ἐπίστα- 20
σθε, ὅτι οἱ μέλλοντες ἡμῖν ἡγήσεσθαι τῷ ὄντι πολέμιοί εἰσιν, οἷσπερ καὶ ἡμᾶς ἀνάγκη· ἔπειτα δὲ καὶ τῶν Ἑλλήνων οἱ ἀμελήσαντες τῆς σὺν ἡμῖν τάξεως, καὶ ἡγησάμενοι ἱκανοὶ εἶναι σὺν τοῖς βαρβάροις ταὐτὰ πράττειν, ἅπερ σὺν ἡμῖν, δίκην δεδώκασιν· ὥστε αὖθις ἧττον τῆς
ἡμετέρας τάξεως ἀπολείψονται. Ἀλλ' ὑμᾶς δεῖ παρα- 21
σκευάζεσθαι, ὅπως καὶ τοῖς φίλοις οὖσι τῶν βαρβάρων δόξετε κρείττους αὐτῶν εἶναι, καὶ τοῖς πολεμίοις δηλώσετε, ὅτι οὐχ ὁμοίοις ἀνδράσι μαχοῦνται νῦν τε καὶ ὅτε τοῖς ἀτάκτοις ἐμάχοντο.

18. ὅτι τούς τε] Eton. ἐπεὶ τούς γε. Sequens στρατείᾳ pro στρατιᾷ cum Amasæo dedit Leonclavius eumque secuti Welsius, Hutchinson, Zeune.

οἱ ἐξελθόντες] Ita cum Eton. scripsi pro ἐλθόντες.

19. ἀθυμήσητε] Margo Steph. Guelf. Eton. cum Edd. vett. θαυμάσητε. Verum dedit Steph. cum Brodæi libro, Paris. Amasæi versione.

ἔστι γὰρ, ὅ τι καὶ ἀγαθὸν] Paris. Eton. ἴστε γὰρ habent; tum vero ὅ τι mutandum in ὅτι erit. τε κακοῦ est in Juntina et Guelf. ὅτι malebat Porson. Equidem ἴστε, *scitote*, et ὅτι præfero.

20. ἡγήσεσθαι] Ita cum Eton. vulgatum ἡγεῖσθαι correxi. Idem ὑμῖν habet. Deinceps ex eodem libro ἔπειτα δὲ καὶ—ἀμελήσαντες dedi. Vulgo erat ἔπειτα δὲ τῶν—ἀφροντιστήσαντες. Hutchinsonum secutus Weiske δὲ omisit. ἀμελήσαντες cum Eton. dat margo Steph. et Paris. Symposii viii. 33. est ψόγου ἀφροντιστεῖν, Cyrop. i. 6, 42. ἀφροντίστως ἔχειν sine casu est, sed utrobique sensu diverso. ἀφροντιστῶν τῶν ἀρχόντων ex Platonis de Legibus 10. posuit Stephani Thesaurus. Ceterum Guelf. ἱκανοὶ collocat ante ἡγησάμενοι.

ταὐτὰ] Edd. vett. Guelf. Eton. ταῦτα; sequens σὺν omittit Paris.

21. παρασκευάζεσθαι] Ita cum Eton. vulgatum παρασκευάσασθαι correxi. Deinceps δόξητε—δηλώσητε dant Paris. Eton.

22 Ταύτην μὲν οὖν τὴν ἡμέραν οὕτως ἔμειναν· τῇ δ' ὑστε-
ραίᾳ θύσαντες, ἐπεὶ ἐκαλλιέρησαν, ἀριστήσαντες, ὀρ-
θίους τοὺς λόχους ποιησάμενοι, καὶ τοὺς βαρβάρους ἐπὶ
τὸ εὐώνυμον κατὰ ταὐτὰ ταξάμενοι ἐπορεύοντο, τοὺς τοξό-
τας μεταξὺ τῶν λόχων ὀρθίων ὄντων ἔχοντες, ὑπολειπο-
23 μένους δὲ μικρὸν τοῦ στόματος τῶν ὁπλιτῶν. Ἦσαν
γὰρ τῶν πολεμίων [οἱ] εὔζωνοι, οἳ κατατρέχοντες τοῖς
λίθοις ἔβαλλον. Τούτους οὖν ἀνέστελλον οἱ τοξόται καὶ
οἱ πελτασταί· οἱ δ' ἄλλοι βάδην ἐπορεύοντο, πρῶτον μὲν
ἐπὶ τὸ χωρίον, ἀφ' οὗ τῇ προτεραίᾳ οἱ βάρβαροι ἐτράπη-
σαν, καὶ οἱ σὺν αὐτοῖς. Ἐνταῦθα γὰρ οἱ πολέμιοι
24 ἦσαν ἀντιτεταγμένοι. Τοὺς μὲν οὖν πελταστὰς ἐδέ-
ξαντο οἱ βάρβαροι, καὶ ἐμάχοντο· ἐπεὶ δ' ἐγγὺς ἦσαν οἱ
ὁπλῖται, ἐτράποντο. Καὶ οἱ μὲν πελτασταὶ εὐθὺς εἵ-
ποντο, διώκοντες ἄνω πρὸς τὴν μητρόπολιν· οἱ δὲ ὁπλῖται
25 ἐν τάξει εἵποντο. Ἐπεὶ δ' ἄνω ἦσαν πρὸς ταῖς τῆς μη-
τροπόλεως οἰκίαις, ἐνταῦθα δὴ οἱ πολέμιοι ὁμοῦ δὴ πάν-
τες γενόμενοι ἐμάχοντο, καὶ ἐξηκόντιζον τοῖς παλτοῖς·

22. οὕτως ἔμειναν] Vulgatum οὕτω διέμειναν ex Eton. correxi.

ἐκαλλιέρησαν] Eton. ἐκαλλιερήσαντο dat; quæ forma est in Cyrop. i. 5, 6. At iii. 3, 22. legitur nunc: ἐπεὶ δ' ἐκαλλιέρησέ τε καὶ ἀθρόον ἦν αὐτῷ τὸ στράτευμα. sed ibi scribendum censeo ἐκαλλιερήσατο καί. Vulgatum enim τε in ejusmodi sententia alienum est. Activa forma est de Laced. Republ. xii. 7. xiii. 2. de Vectig. vi. 3. Herodotus vi. 76. Media Aristophan. Pluti 1181.

ὄντων] Omisit Paris. Eton. Sequens ὑπολειπομένους Muretus in ὑπολειπομένου mutatum ivit, sententia pessum data. Postea Paris. μικρὸν τομωτάτους habet.

23. [οἱ] εὔζωνοι, οἳ] Eton. liber οἱ εὔζωνοι omisso οἳ, quam scripturam in aliis etiam Codd. repertam probavit Stephanus, ita tamen ut οἳ εὔζωνοι κατατρ. scriberet; quam correctionem recepit Weiske. Mihi prius οἱ suspectum est, igitur seclusi.

Τούτους οὖν—οἱ πελτασταί] Eton. οὖν et οἱ omisit.

πρῶτον μὲν] Verba hæc nata esse ex προηγούμενοι aut simili participio censebat Weiske. At ἀπόδοσις sequitur sect. 25. ἐπεὶ δ' ἄνω ἦσαν.

ἐτράπησαν] Margo Villois. ἐτρέφθησαν habet.

24. οἱ μὲν πελτ. εὐθὺς] Eton. εὐθὺς οἱ πελτασταὶ, quæ structura celeritatem actionis melius consequitur.

μητρόπολιν] Simplex πόλιν habet Eton.

25. ἄνω ἦσαν] Inepte margo Villois. ἀντῆσαν.

καὶ ἐξηκόντιζον] Hæc omiserunt Edd. vett. et Eton. καὶ ἠκόντιζον

καὶ ἄλλα δόρατα ἔχοντες παχέα, μακρὰ, ὅσα ἀνὴρ φέροι μόλις, τούτοις ἐπειρῶντο ἀμύνεσθαι ἐκ χειρός.

Ἐπεὶ δὲ οὐχ ὑφίεντο οἱ Ἕλληνες, ἀλλ' ὁμόσε ἐχώ- 26
ρουν, ἔφυγον οἱ βάρβαροι καὶ ἐντεῦθεν ἅπαντες λιπόντες τὸ χωρίον. Ὁ δὲ βασιλεὺς αὐτῶν, ὁ ἐν τῷ μόσυνι τῷ ἐπ' ἄκρου ᾠκοδομημένῳ, (ὃν τρέφουσι πάντες κοινῇ αὐτοῦ μένοντα καὶ φυλάττοντα) οὐκ ἤθελεν ἐξελθεῖν, οὐδὲ οἱ ἐν τῷ πρότερον αἱρεθέντι χωρίῳ· ἀλλ' αὐτοῦ σὺν τοῖν μοσύνοιν κατεκαύθησαν. Οἱ δ' Ἕλληνες, διαρπάζοντες 27
τὸ χωρίον, εὕρισκον θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων [πατρίους] περυσινῶν, ὡς ἔφασαν οἱ Μοσύνοικοι· τὸν δὲ νέον σῖτον σὺν τῇ καλάμῃ ἀποκείμενον· ἦσαν δὲ ζειαὶ αἱ πλεῖσται. Καὶ δελφίνων τεμάχη ἐν ἀμφορεῦ- 28

Guelf. cum margine Villois. πελτασταῖς pro παλτοῖς est in margine Villois.

δόρατα] Junt. et a manu prima Guelf. δόρα habet.

26. καὶ ἐντεῦθεν—λιπόντες] Hæc est scriptura Edd. vett. et Guelf. quam pessime mutavit Stephanus, quem secuti sunt ceteri Editores, commate posito post ἐντεῦθεν, quod cum Hutchinsono Zeune interpretatur *protinus*, *confestim*, in ἔλιπον.

καὶ φυλάττοντα] Brunck ad Apollonium ii. 1030. φυλάττουσι conjecerat, probante Porsono, Zeune φυλαχθέντα. Comparat Hutchinson locum Nicolai Damasceni p. 517. Μόσυνοι τὸν ἑαυτῶν βασιλέα τρέφουσιν ἐν πύργῳ κατάκλειστον. et Pomponii Melæ i. 19. *Mossyni reges suffragio deligunt, vinculisque et arctissima custodia tenent.* Cf. etiam Dio Prusianus Orat. xiv p. 443. ed. Reiske.

πρότερον] Ita cum margine Steph. Paris. Eton. προτέρῳ erat ante Zeunianam. Ceterum οἱ ἐν τ. πρ. αἱ. χ. non sunt reges intelligendi, unus enim erat, sed barbari.

σὺν τοῖν μοσύνοιν] Cum supra fuerit τῷ μόσυνι, vulgatum τοῖς μοσύναις cum Buttmanno in dualem mutavi, ut formam eandem Xenophon servet. Male Codex Paris. et Eton. dant Μοσυνοίκοις. Diodorus xiv. 30. alios secutus auctores ita tradit: τῶν δὲ βαρβάρων συστραφέντων ἐπ' αὐτοὺς, ἐκράτησαν μάχῃ, καὶ πολλοὺς ἀνεῖλον· συμφυγόντων δὲ εἴς τι χωρίον, ἐν ᾧ κατῴκουν ἑπτωρόφους ἔχοντες ξυλίνους πύργους, συνεχεῖς προσβολὰς ποιησάμενοι κατὰ κράτος εἷλον. Ἦν δὲ τὸ χωρίον τοῦτο μητρόπολις τῶν ἄλλων ἐρυμάτων, ἐν ᾧ καὶ ὁ βασιλεὺς αὐτῶν κατῴκει τὸν ὑψηλότατον τόπον ἔχων. Ἔθος δ' ἔχει πάτριον μένειν ἐν αὐτῷ τὸν πάντα βίον, κἀκεῖθεν διαδοῦναι τοῖς ὄχλοις τὰ προστάγματα.

27. τὸ χωρίον.] Eton. τὰ χωρία, quod Zeune reprobat, μητρόπολιν interpretatus τὸ χωρίον.

νενημένων] Ita cum Steph. Paris. et inter versus Guelf. cum Suida, qui sub h. v. laudat ex h. l. εὕροις γὰρ θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων περυσινῶν. Hesychius: νενημένων, συγκειμένων. Edd. vett. Guelf. Eton. νενεμημένων habent.

περυσινῶν] Omissum vocabulum in Guelf. Paris. Eton. una cum altero πατρίους ita defendit Zeune, ut vertat: *thesauros a majoribus institutos, in quibus reconditi erant panes proximo anno cocti.* Mihi vero vocabulum πατρίους ab h. l. alienum videtur, quod Suidas omisit; igitur seclusi.

28. ἀμφορεῦσιν] Guelf. ἀμφιφορεῦσιν poeticum habet.

σιν εὑρίσκετο τεταριχευμένα, καὶ στέαρ ἐν τεύχεσι τῶν
δελφίνων, ᾧ ἐχρῶντο οἱ Μοσύνοικοι, καθάπερ οἱ Ἕλλη-
29 νες τῷ ἐλαίῳ. Κάρυα δ' ἐπὶ τῶν ἀνωγαίων ἦν πολλὰ
τὰ πλατέα, οὐκ ἔχοντα διαφυὴν οὐδεμίαν. Τούτῳ καὶ
πλείστῳ σίτῳ ἐχρῶντο ἕψοντες καὶ ἄρτους ὀπτῶντες.
Οἶνος δ' εὑρίσκετο, ὃς ἄκρατος μὲν, ὀξὺς ἐφαίνετο εἶναι
ὑπὸ τῆς αὐστηρότητος· κερασθεὶς δὲ, εὐώδης τε καὶ ἡδύς.
30 Οἱ μὲν δὴ Ἕλληνες ἀριστήσαντες ἐνταῦθα, ἐπορεύοντο
εἰς τὸ πρόσω, παραδόντες τὸ χωρίον τοῖς συμμαχήσασι
τῶν Μοσυνοίκων. Ὁπόσα δὲ καὶ ἄλλα παρῄεσαν χω-
ρία τῶν σὺν τοῖς πολεμίοις ὄντων, τὰ εὐπροσοδώτατα οἱ
31 μὲν ἔλειπον, οἱ δὲ ἑκόντες προσεχώρουν. Τὰ δὲ πλεῖ-
στα τοιάδ' ἦν τῶν χωρίων· ἀπεῖχον αἱ πόλεις ἀπ' ἀλλή-
λων στάδια ὀγδοήκοντα, αἱ δὲ πλεῖον, αἱ δὲ μεῖον· ἀνα-
βοώντων δὲ ἀλλήλων συνήκουον εἰς τὴν ἑτέραν ἐκ τῆς ἑτέ-
ρας πόλεως. Οὕτως ὑψηλή τε καὶ κοίλη ἡ χώρα ἦν.
32 Ἐπεὶ δὲ πορευόμενοι ἐν τοῖς φίλοις ἦσαν, ἐπεδείκνυσαν

στέαρ] Alius ἔλαιον δελφίνων potius dixerit, quam sevum.

29. ἀνωγαίων] Junt. Guelf. ἀνοκαίων. Nuces planas ex h. l. Pollux i. 232. interpretatur τὰ λεπτοκάρυα ἢ μᾶλλον τὰ καστάνια ὀνομαζόμενα. Cf. Salmasii Exercit. p. 425. Ex verbis Xenophontis colligebat Weiske, fructum Xenophonti minus cognitum fuisse; contra Salmasius verba οὐκ ἔχοντα δ. οὐδ. addita censuerat, ut distinguerentur ab amygdalis. Weiske igitur τὰ οὐκ ἔχοντα scribendum censebat. Equidem hoc video, Xenophonti castanearum nucum nomen postea vulgatum ignotum adhuc fuisse; fructum vero tanquam notum sibi significat addito articulo τὰ πλατέα, qui debebat abesse, et scribi πλατέα καὶ οὐκ ἔχοντα, si fructum ipsum ignorasset. Græci fere omnes antiquiores κάρυα vocarunt, Hippocrates κάρυα πλατέα, Theophrastus ipse κάρυα Εὐβοϊκά. Cf. dicta ad Nicandri Alexiph. versu 271. Accedat Diodorus xiv. 30. τοὺς δὲ παῖδας τῶν πλουσιωτάτων τρέφεσθαι καρύοις ἑφθοῖς. Ceterum locum Suidæ in v. τεύχη—εὑρίσκουσι δὲ ἀμφορέας καὶ ἄλλα τεύχη κεράμεια κρεῶν μεστὰ τεταριχευμένων ex h. l. ductum putabat Toup Emend. p. 473. ed. Lips.

Τούτῳ] Ex Eton. libro τούτων cum Zeunio dedit Weiske. Leonclavii conjecturam τούτοις καὶ πλεῖστον ὡς σίτῳ receperunt Welsius et Hutchinson improbante Porsono.

καὶ ἄρτους ὀπτῶντες] Hæc ex margine Steph. Villois. Guelf. Paris. Eton. addidit Zeune, quæ Leonclavius ad scholia referebat.

Οἶνος] Quale vinum intelligatur nescio; viteum fuisse non videtur.

30. εἰς τὸ πρόσω] Edd. vett. cum Guelf. τοῦ πρόσω dant. Cf. ad i. 3, 1.

ἔλειπον] Edd. vett. Guelf. Eton. ἔλιπον habent.

31. αἱ πόλεις ἀπ' ἀλλήλων] Ita Eton. Vulgabatur antea ἀπεῖχον ἀλλ. αἱ πόλεις.

32. ἐν τοῖς φίλοις ἦσαν] Eton. οἱ ἐν τοῖς φίλοις ὄντες. Ceterum φιλίοις ex

αὐτοῖς παῖδας τῶν εὐδαιμόνων σιτευτοὺς, τεθραμμένους
καρύοις ἑφθοῖς, ἁπαλοὺς καὶ λευκοὺς σφόδρα, καὶ οὐ
πολὺ δέοντας ἴσους τὸ πλάτος καὶ τὸ μῆκος εἶναι· ποικί-
λους δὲ τὰ νῶτα, καὶ τὰ ἔμπροσθεν πάντα ἐστιγμένους
ἀνθέμιον. Ἐζήτουν δὲ καὶ ταῖς ἑταίραις, αἷς ἦγον οἱ 33
Ἕλληνες, ἐμφανῶς συγγενέσθαι· νόμος γὰρ ἦν σφίσιν
οὗτος. Λευκοὶ δὲ πάντες οἱ ἄνδρες καὶ αἱ γυναῖκες.
Τούτους ἔλεγον οἱ στρατευσάμενοι βαρβαρωτάτους διελ- 34
θεῖν, καὶ πλεῖστον τῶν Ἑλληνικῶν νόμων κεχωρισμένους.
Ἔν τε γὰρ ὄχλῳ ὄντες, ἐποίουν ἅπερ ἄνθρωποι ἐν ἐρημίᾳ
ποιήσειαν, ἄλλως δὲ οὐκ ἂν τολμῷεν· μόνοι τε ὄντες
ὅμοια ἔπραττον, ἅπερ ἂν μετ' ἄλλων ὄντες· διελέγοντό τε

Aldina recepit Stephanus, alterum Zeune ex Junt. Guelf. Paris. Eton. et margine Steph.

σιτευτοὺς] Pollux i. 233. et vi. 36. verba quædam singula ex h. l. posuit, utrobique τεθραμμένους omittens, quod ideo glossam esse putavit Larcherus. Male.

πολλοῦ] Eton. πολὺ dedit. Genitivum, qui deest, supple ad εἶναι.

ποικίλους] Diodorus l. c. ἅπαντας δ' ἐκ παιδὸς στίγμασι τόν τε νῶτον καὶ τὰ στήθη καταπεποικίλθαι. nimis largus hæc ad omnes incolas retulit, quæ Xenophon de lautioribus narrat.

ἀνθέμιον] Interpretantur *pictura florida distinctos*. Larcherus ἀνθέμου scriptum malebat. Ineptius Zeune de linea spirali explicabat, Hesychii glossam afferens: ἀνθέμιον, γραμμή τις ἑλικοειδὴς ἦν ἐν τοῖς κίοσι. Mihi aqua hæret in hoc loco. Amasæus *anthemii flore picta* habet, Eton. liber ἐστιγμένους omisit. A certo herbæ genere adverbialiter ἀνθέμιον dictum putat Weiske, quia distinguitur a ποικίλος.

[καὶ τὰ ἔμπροσθεν πάντα ἐστιγμένους ἀνθέμιον] Dorsa puerorum opulentiorum ποικίλα dixerat, pectus et anteriora proprio verbo ἐστιγμένα ait, sed puncta ordine eleganti collocata erant, ut picturam floridam assimularent. Jam olim Grammatici Homericos λέβητας ἀνθεμόεντας Il. xxiii. 885. Odyss. iii. 440. et κρατῆρα πανάργυρον ἀνθεμόεντα Odyss. xxiv. 274. διηνθισμένους ποικίλως, ποικίλους, τετορευμένους ἀπὸ ἐντετορευμένων ἀνθῶν interpretati sunt. Recte quidem, me judice, etsi dubitari potest, flores illi aurei æri et argento alligati an agglutinati fuerint. Confirmavit me in hac sententia locus Cephisodoti comici apud Pollucem vii. 92.

σανδάλιά τε τῶν λεπτοσχιδῶν,
ἐφ' οἷς τὰ χρυσᾶ ταῦτ' ἔπεστιν ἄνθεμα.

Ubi sandalia habes variegata pictura florida aurea, vel opere phrygio et filis aureis picta instar florum. *Ex Epistola.*]

33. νόμος γὰρ] Diodorus l. c. καὶ ταῖς μὲν γυναιξὶν αὐτοὺς πλησιάζειν ἁπάντων ὁρώντων.

Λευκοὶ] Colorem Leucosyrorum affinitatem arguere, sed morem notis signandi corporis negare monet Mannert Geogr. vi. p. ii. p. 428.

34. Βαρβαρωτάτους] Diodorus l. c. βαρβαρώτατον δ' ἔφασαν οἱ στρατιῶται τοῦτο διελθεῖν τὸ ἔθνος. Miror, cur Xenophon τοὺς στρατευσαμένους antestetur in re, quam ipse viderat.

ἄλλως δὲ οὐκ ἂν τολμῷεν] Omittit hæc Eton. Pro ἄλλως est ἄλλοι in Junt. Guelf. ἄλλοθι Castal.

μετ' ἄλλων ὄντες] Leonclavii emendationem vulgati ἰόντες recepit post

ἑαυτοῖς, καὶ ἐγέλων ἐφ' ἑαυτοῖς, καὶ ὠρχοῦντο ἐφιστάμενοι, ὅπου τύχοιεν, ὥσπερ ἄλλοις ἐπιδεικνύμενοι.

CAP. V.

ΔΙΑ ταύτης τῆς χώρας οἱ Ἕλληνες, διά τε τῆς πο-
λεμίας καὶ τῆς φιλίας, ἐπορεύθησαν ὀκτὼ σταθμούς·
καὶ ἀφικνοῦνται εἰς Χάλυβας. Οὗτοι ὀλίγοι ἦσαν καὶ
ὑπήκοοι τῶν Μοσυνοίκων· καὶ ὁ βίος ἦν τοῖς πλείστοις
αὐτῶν ἀπὸ σιδηρείας. Ἐντεῦθεν ἀφικνοῦνται εἰς Τιβα-
2 ρηνούς. Ἡ δὲ τῶν Τιβαρηνῶν χώρα πολὺ ἦν πεδινωτέρα,
καὶ χωρία εἶχεν ἐπὶ θαλάττῃ ἧττον ἐρυμνά. Καὶ οἱ
στρατηγοὶ ἔχρῃζον πρὸς τὰ χωρία προσβάλλειν, καὶ τὴν
στρατιὰν ὀνηθῆναί τι· καὶ τὰ ξένια, ἃ ἧκε παρὰ τῶν
Τιβαρηνῶν, οὐκ ἐδέχοντο, ἀλλ' ἐπιμεῖναι κελεύσαντες,
3 ἔστε βουλεύσαιντο, ἐθύοντο. Καὶ πολλὰ καταθυσάν-
των, τέλος ἀπεδείξαντο οἱ μάντεις πάντες γνώμην, ὅτι
οὐδαμῇ προσίεντο οἱ θεοὶ τὸν πόλεμον. Ἐντεῦθεν δὴ τὰ
ξένια ἐδέξαντο, καὶ ὡς διὰ φιλίας πορευόμενοι δύο ἡμέ-
ρας, ἀφίκοντο εἰς Κοτύωρα, πόλιν Ἑλληνίδα, Σινωπέων
ἀποίκους, οἰκοῦντας ἐν τῇ Τιβαρηνῶν χώρᾳ.

Welsium et Hutchinsonum Weiske. Vulgatum non solum defendit Zeune ex loco Eustathii ad Dionysii vers. 766. ubi est ex h. l. ἐν δὲ τῷ ἰέναι μόνοι, πράττοντες, ἅπερ ἂν μετ' ἀλλήλων ἰόντες, sed etiam μόνοι τε ἰόντες scriptum maluit. Margo Steph. Paris. Eton. μετ' ἀλλήλων habet.

διελέγοντό τε] Zeune γὰρ in locum copulæ substitutum malebat. Deinceps ἄλλους habent Edd. vett. cum Guelf.

1. ὀκτὼ σταθμούς] Eton. αὐτοὺς τοὺς στ. Diodorus xiv. 30. ἐν ἡμέραις ὀκτὼ διεπορεύθησαν.

ὀλίγοι ἦσαν] Eton. ὀλίγοι ὄντες ἦσαν. Chalybum antiquissima memoria in scriptis Græcorum cum ferri elaborandi artificio est conjuncta ubique. De regione disputat Mannert Geogr. tom. vi. p. ii. p. 429.

2. οἱ στρατηγοὶ] Margo Steph. οἱ στρατιῶται. Sequens ὀνηθῆναι comprobat Suidas sub h. v. ὠνηθῆναι Edd. vett. Guelf. Postea ἔστ' ἐβουλεύσαντο Edd. vett. ἔστ' ἐβουλεύσαντο Guelf. ἔστ' ἂν βουλεύσωνται Eton.

3. προσίεντο] Paris. προσίοιντο. quod placet.

δύο ἡμέρας] Diodorus: τὴν δὲ ἐχομένην ἐν τρισὶν ἡμέραις ἣν ἐκάλουν Τιβαρήνην διεπορεύθησαν.

ἀφίκοντο] Adventum mensi Julio ineunti anni 4. Olympiadis 94. A. C. 400. assignat Larcher.

ἀποίκους] Eton. ἀποικίαν ὄντες ἐν τῇ. Arrianus Peripli p. 128. et Diodorus ἄποικον legisse videntur scriptum h. l.

Μέχρις ἐνταῦθα ἐπέζευσεν ἡ στρατιά. Πλῆθος τῆς 4
καταβάσεως τῆς ὁδοῦ ἀπὸ τῆς ἐν Βαβυλῶνι μάχης ἄχρι
εἰς Κοτύωρα, σταθμοὶ ἑκατὸν εἴκοσι δύο, παρασάγγαι
ἑξακόσιοι εἴκοσι, στάδιοι μύριοι ὀκτακισχίλιοι καὶ ἑξα-
κόσιοι· χρόνου πλῆθος, ὀκτὼ μῆνες. Ἐνταῦθα ἔμειναν 5
ἡμέρας τετταράκοντα καὶ πέντε. Ἐν δὲ ταύταις πρῶ-
τον μὲν τοῖς θεοῖς ἔθυσαν, καὶ πομπὰς ἐποίησαν κατὰ
ἔθνος ἕκαστος τῶν Ἑλλήνων, καὶ ἀγῶνας γυμνικούς.
Τά δ᾽ ἐπιτήδεια ἐλάμβανον, τὰ μὲν ἐκ τῆς Παφλαγο- 6
νίας, τὰ δ᾽ ἐκ τῶν χωρίων τῶν Κοτυωριτῶν· οὐ γὰρ παρ-
εῖχον ἀγορὰν, οὐδ᾽ εἰς τὸ τεῖχος τοὺς ἀσθενοῦντας ἐδέ-
χοντο.

Ἐν δὲ τούτῳ ἔρχονται ἐκ Σινώπης πρέσβεις, Φοβού- 7
μενοι περὶ τῶν Κοτυωριτῶν τῆς τε πόλεως, (ἦν γὰρ ἐκεί-
νων, καὶ φόρους ἐκείνοις ἔφερον) καὶ περὶ τῆς χώρας, ὅτι
ἤκουον δῃουμένην· καὶ ἐλθόντες ἐς τὸ στρατόπεδον, ἔλε-
γον· (προηγόρει δὲ Ἑκατώνυμος, δεινὸς νομιζόμενος εἶναι
λέγειν.) Ἔπεμψεν ἡμᾶς, ὦ ἄνδρες στρατιῶται, ἡ τῶν 8
Σινωπέων πόλις, ἐπαινέσοντάς τε ὑμᾶς, ὅτι ἐνικᾶτε Ἕλ-
ληνες ὄντες βαρβάρους, ἔπειτα δὲ καὶ συνησθησομένους,
ὅτι διὰ πολλῶν τε καὶ δεινῶν (ὡς ἡμεῖς ἀκούομεν) πρα-
γμάτων σεσωσμένοι πάρεστε. Ἀξιοῦμεν δὲ, Ἕλληνες 9
ὄντες καὶ αὐτοὶ, ὑφ᾽ ὑμῶν ὄντων Ἑλλήνων ἀγαθὸν μέν τι

Sed οἰκοῦντας reluctatur correctioni; igitur ad πολίτας in πόλιν latentes referendum ἀποίκους οἰκοῦντας. Historiam oppidi Cotyora enarrat Mannert Geogr. Gr. vi. p. ii. p. 390. seqq.

4. ἐνταῦθα] Edd. vett. ἐπέζευσεν ἐντεῦθεν ἡ στ. Guelf. Ἐντεῦθεν ἐπέζευσεν ἡ στ. Deinceps ἄχρις Guelf.

μύριοι ὀκτακισχίλιοι καὶ ἑξακόσιοι] Hunc numerum, quem habent Paris. Eton. Regii B. C. Larcherus et Zeune præferunt vulgato μύριοι ὀκτακισχίλιοι εἴκοσι, quoniam Xenophon faciat parasangam stadiorum triginta. Cf. ii. 2, 6.

5. καὶ πέντε] Eton. καὶ omittit. Diodorus posuit πεντήκοντα.

ἕκαστος] Steph. sec. ἕκαστον, Paris. ἕκαστοι.

7. Ἐν δὲ τούτῳ] Eton. δὲ omisit; quod probo.

φόρους] Ita Ald. Steph. φόρον Junt. Guelf. Paris. margo Steph.

προηγόρει] Suidas sub h. v. προέλεγε, προηγόρευε interpretatur ex h. l.

πάσχειν, κακὸν δὲ μηδέν· οὐδὲ γὰρ ἡμεῖς ὑμᾶς οὐδὲν
10 πώποθ' ὑπήρξαμεν κακῶς ποιοῦντες. Κοτυωρῖται δὲ οὗ-
τοι εἰσὶ μὲν ἡμέτεροι ἄποικοι· καὶ τὴν χώραν ἡμεῖς αὐ-
τοῖς ταύτην παραδεδώκαμεν, βαρβάρους ἀφελόμενοι· διὸ
καὶ δασμὸν ἡμῖν φέρουσιν οὗτοι τεταγμένον, καὶ Κερα-
σούντιοι καὶ Τραπεζούντιοι ὡσαύτως· ὥσθ' ὅ τι ἂν τού-
τους κακὸν ποιήσητε, ἡ Σινωπέων πόλις νομίζει πάσχειν.
11 Νῦν δὲ ἀκούομεν, ὑμᾶς, εἴς τε τὴν πόλιν βίᾳ παρεληλυ-
θότας, ἐνίους σκηνοῦν ἐν ταῖς οἰκίαις, καὶ ἐκ τῶν χωρίων
12 λαμβάνειν, ὧν ἂν δέησθε, οὐ πείθοντας. Ταῦτ' οὖν οὐκ
ἀξιοῦμεν· εἰ δὲ ταῦτα ποιήσητε, ἀνάγκη ἡμῖν, καὶ Κορύ-
λαν καὶ Παφλαγόνας, καὶ ἄλλον, ὅντινα ἂν δυνώμεθα,
φίλον ποιεῖσθαι.

13 Πρὸς ταῦτα ἀναστὰς Ξενοφῶν ὑπὲρ τῶν στρατιωτῶν
εἶπεν· Ἡμεῖς δὲ, ὦ ἄνδρες Σινωπεῖς, ἥκομεν ἀγαπῶντες,
ὅτι τὰ σώματα διεσωσάμεθα καὶ τὰ ὅπλα· οὐ γὰρ
ἡμῖν ἦν δυνατὸν, ἅμα τε χρήματα ἄγειν καὶ φέρειν, καὶ
14 τοῖς πολεμίοις μάχεσθαι. Καὶ νῦν, ἐπειδὴ εἰς τὰς
Ἑλληνίδας πόλεις ἤλθομεν, ἐν Τραπεζοῦντι μὲν (παρεῖ-
χον γὰρ ἡμῖν ἀγορὰν) ὠνούμενοι εἴχομεν τὰ ἐπιτήδεια,
καὶ ἀνθ' ὧν ἐτίμησαν ἡμᾶς, καὶ ξένια ἔδωκαν τῇ στρα-
τιᾷ, ἀντετιμῶμεν αὐτούς· καὶ εἴ τις αὐτοῖς φίλος ἦν τῶν
βαρβάρων, τούτων ἀπειχόμεθα· τοὺς δὲ πολεμίους αὐ-

10. εἰσὶ μὲν] Edd. vett. Guelf. εἰσὶν οἱ μέν. Sequens ὡσαύτως omittit Eton.

11. λαμβάνειν] Margo Steph. Paris. Eton. βίᾳ λαμβάνειν.

12. οὐκ ἀξιοῦμεν] Negationem omittunt Paris. Eton. Sequentia εἰ—ποιήσητε sana equidem non præsto. Scio tamen esse, quibus placeat εἰ conjunctivo junctum.

13. ἡμῖν ἦν δυνατὸν] Ex Etonensi ἦν interserui.

14. ἐπειδὴ] Hanc scripturam Edd. vett. Guelf. revocavit Zeune: ἐπεὶ Eton. ἐπειδὰν Stephanus dedit. In Euripidis Suppl. 1112. ex Plutarcho Porson ad h. l. reponit ἐπειδὰν μηδὲν ὠφελῶσι γῆν pro vulgato ὠφελουν πόλιν.

καὶ εἴ τις αὐτοῖς] Ita cum Eton. scripsi. Vulgo est καὶ μὴ εἴ τις αὐτοῖς. Junt. Guelf. καὶ νῦν εἴ τις.

ἀπειχόμεθα] Liber Brodæi ἀπεμαχόμεθα. Deinde ἤγοντο pro ἡγοῖντο Edd. vett. Guelf. Postea κακῶς ἐποιοῦμεν Guelf. et Eton.

τῶν, ἐφ' οὓς αὐτοὶ ἡγοῖντο, κακὸν ἐποιοῦμεν, ὅσον ἐδυνά-
μεθα. Ἐρωτᾶτε δὲ αὐτοὺς, ὁποίων τινῶν ἡμῶν ἔτυχον· 15
πάρεισι γὰρ ἐνθάδε, οὓς ἡμῖν ἡγεμόνας διὰ φιλίαν ἡ
πόλις συνέπεμψεν. Ὅποι δ' ἂν ἐλθόντες ἀγορὰν μὴ 16
ἔχωμεν, ἄν τε εἰς βάρβαρον γῆν ἄν τε εἰς Ἑλληνίδα, οὐχ
ὕβρει ἀλλ' ἀνάγκῃ λαμβάνομεν τὰ ἐπιτήδεια. Καὶ 17
Καρδούχους καὶ Χαλδαίους καὶ Ταόχους, καίπερ βασι-
λέως οὐχ ὑπηκόους ὄντας, ὅμως, καὶ μάλα φοβεροὺς
ὄντας, πολεμίους ἐκτησάμεθα, διὰ τὸ ἀνάγκην εἶναι
λαμβάνειν τὰ ἐπιτήδεια, ἐπεὶ ἀγορὰν οὐ παρεῖχον.
Μάκρωνας δὲ, καίπερ βαρβάρους ὄντας, ἐπεὶ ἀγορὰν, 18
οἵαν ἐδύναντο, παρεῖχον, φίλους τε ἐνομίζομεν εἶναι, καὶ
βίᾳ οὐδὲν ἐλαμβάνομεν τῶν ἐκείνων. Κοτυωρίτας δὲ, 19
οὓς ὑμετέρους φατὲ εἶναι, εἴ τι αὐτῶν εἰλήφαμεν, αὐτοὶ
αἴτιοι εἰσίν· οὐ γὰρ ὡς φίλιοι προσεφέροντο ἡμῖν, ἀλλὰ
κλείσαντες τὰς πύλας, οὔτ' εἴσω ἐδέχοντο, οὔτ' ἔξω ἀγο-
ρὰν ἔπεμπον· ᾐτιῶντο δὲ τὸν παρ' ὑμῶν ἁρμοστὴν τούτων
αἴτιον εἶναι. Ὃ δὲ λέγεις, βίᾳ παρελθόντας σκηνοῦν, 20
ἡμεῖς ἠξιοῦμεν, τοὺς κάμνοντας εἰς τὰς στέγας δέξα-

15. Ἐρωτᾶτε] Ita Paris. dedit pro vulgato Ἐρώτα. Xenophon enim ἄνδρες Σινωπεῖς initio orationis dixit. Legationis dux vel orator erat Hecatonymus. Deinceps ἔπεμψεν habet simplex Eton. liber.

17. Χαλδαίους] Nullibi Chaldæos sed Chalybes nominavit hucusque; sed iterum extremo libro vii. 8, 25. seorsim nominantur Καρδοῦχοι, Χάλυβες, Χαλδαῖοι, sed omittuntur Τάοχοι. Obiter tantum iv. 3, 4. in exercitu Orontæ et Artuchi commemorantur Χαλδαῖοι μισθοφόροι. De Chalybum sedibus vicinis Armeniæ loquitur Cyri Disciplina, cujus loca posuit Mannert Geogr. v. p. ii. p. 412. et ante eum doctissimus Gallus *de Ste Croix*, cujus Disputationem adjunxi Editioni meæ Cyropædiæ. Sunt hi Plinii *Armenochalybes*, incolentes regionem, quam Menippus Stephani Byzantini Χαλδίαν appellabat. Hecatæus ejusdem Stephani: Χαλύβοισι πρὸς νότον Ἀρμένιοι ὁμοῦ ναίουσι.

28. δὲ, καίπερ βαρβάρους] Ita cum Paris. probante Porsono vulgatum δέ γε καὶ β. correxi. Eton. δὲ καὶ β. habet.

19. Κοτυωρίτας] Expectabas verbum huc referendum; nunc absolute ponitur nomen. Intellige *quod attinet ad Cot.*

φίλιοι] Eton. φίλοι. recte, puto. Sequens ἔπεμπον ex margine Steph. et Paris. recepi pro ἔφερον.

20. παρελθόντας] Eton. παρεληλυθότας habet; deinceps Guelf. ἀξιοῦμεν.

σθαι· ἐπεὶ δὲ οὐκ ἀνέῳγον τὰς πύλας, ᾗ ἡμᾶς οὐκ ἐδέ-
χοντο, αὐτὸ τὸ χωρίον ταύτῃ εἰσελθόντες, ἄλλο μὲν οὐδὲν
βίαιον ἐποιήσαμεν· σκηνοῦσι δ' ἐν ταῖς στέγαις οἱ κάμ-
νοντες, τὰ ἑαυτῶν δαπανῶντες· καὶ τὰς πύλας φρουροῦ-
μεν, ὅπως μὴ ἐπὶ τῷ ὑμετέρῳ ἁρμοστῇ ὦσιν οἱ κάμνον-
τες ἡμῶν, ἀλλ' ἐφ' ἡμῖν ᾖ κομίσασθαι, ὅταν βουλώμε-
21 θα. Οἱ δ' ἄλλοι, ὡς ὁρᾶτε, σκηνοῦμεν ὑπαίθριοι ἐν τῇ
τάξει, παρεσκευασμένοι, ἂν μέν τις εὖ ποιῇ, ἀντευποιεῖν·
22 ἂν δὲ κακῶς, ἀλέξασθαι. Ἃ δὲ ἠπείλησας, ὡς, ἢν
ὑμῖν δοκῇ, Κορύλαν καὶ Παφλαγόνας συμμάχους ποιή-
σεσθε ἐφ' ἡμᾶς· ἡμεῖς δὲ, ἢν μὲν ἀνάγκη ᾖ, πολεμή-
σομεν καὶ ἀμφοτέροις· (ἤδη γὰρ καὶ ἄλλοις πολλα-
πλασίοις ὑμῶν ἐπολεμήσαμεν) ἂν δὲ δοκῇ ἡμῖν, καὶ τὸν
23 Παφλαγόνα ποιούμεθα φίλον. Ἀκούομεν δὲ αὐτὸν καὶ
ἐπιθυμεῖν τῆς ὑμετέρας πόλεως, καὶ χωρίων τῶν ἐπι-
θαλαττίων. Πειρασόμεθα οὖν, συμπράττοντες αὐτῷ,
ὧν ἐπιθυμεῖ, φίλοι γενέσθαι.
24 Ἐκ τούτου μάλα μὲν δῆλοι ἦσαν οἱ συμπρέσβεις τῷ
Ἑκατωνύμῳ χαλεπαίνοντες τοῖς εἰρημένοις. Παρελθὼν
δ' αὐτῶν ἄλλος, εἶπεν, ὅτι οὐ πόλεμον ποιησόμενοι
ἥκοιεν, ἀλλ' ἐπιδείξοντες, ὅτι φίλοι εἰσί. Καὶ ξενίοις,

ἀνέῳγον] Similiter Thucyd. iv. 111. ἀνεῴγοντο et Plato Phædonis sect. 3. ἀνεῴγετο.

ᾗ ἡμᾶς οὐκ ἐδέχοντο] Eton. οὐκ omisit. *qua nos parte non admittebant* vertunt. Hoc si ad præcedentia referatur, est admodum puerile; si vero ad sequentia referas, qui fieri potuit, ut, qua parte non admittebantur, ea oppidum ipsum ingrederentur? Quid si ἐδέχοντο esse pro προσεδέχοντο aut hoc ipsum a Xenophonte scriptum suspicer? Nam de vi adhibita ne suspicemur, vetat verbum lene εἰσελθόντες; et quid tum opus erat addere ᾗ ἡμᾶς οὐκ ἐδέχοντο?

φρουροῦμεν] Margo Steph. cum Paris. φρουροῦντες. Sequens ᾗ omittunt Edd. vett. cum Guelf.

22. ποιήσεσθε] Edd. vett. Guelf. Paris. ποιήσασθαι.

τὸν Παφλαγόνα ποιούμεθα φίλον] Junt. Guelf. φίλον ποιεῖσθαι Κορύλαν καὶ τὸν Παφλαγόνα. Aldina, Steph. φίλον ποιεῖσθαι Κορύλαν καὶ τὸν Παφλαγόνα ποιούμεθα φίλον. Ita etiam margo Villois. Contra φίλον ποιήσομεν τὸν Παφλαγόνα margo Steph. Eton. Paris. quos secutus est Hutchinson. Nobiscum Weiske sequitur Zeunium.

23. Πειρασόμεθα οὖν] Guelf. πειρασώμεθα γοῦν—γίγνεσθαι.

24. ἥκοιεν] Edd. vett. Guelf. ἥκομεν

ἢν μὲν ἔλθητε πρὸς τὴν Σινωπέων πόλιν, ἐκεῖ δεξόμεθα· νῦν δὲ τοὺς ἐνθάδε κελεύσομεν διδόναι, ἃ δύνανται· ὁρῶμεν γὰρ πάντα ἀληθῆ ὄντα, ἃ λέγετε. Ἐκ τούτου ξένιά 25
τε ἔπεμπον οἱ Κοτυωρῖται, καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων ἐξένιζον τοὺς τῶν Σινωπέων πρέσβεις· καὶ πρὸς ἀλλήλους πολλά τε καὶ ἐπιτήδεια διελέγοντο, τά τε ἄλλα καὶ περὶ τῆς λοιπῆς πορείας ἐπυνθάνοντο, καὶ ὧν ἑκάτεροι ἐδέοντο.

CAP. VI.

ΤΑΥΤῌ μὲν οὖν τῇ ἡμέρᾳ τοῦτο τὸ τέλος ἐγένετο. Τῇ δ' ὑστεραίᾳ συνέλεξαν οἱ στρατηγοὶ τοὺς στρατιώτας, καὶ ἐδόκει αὐτοῖς περὶ τῆς λοιπῆς πορείας, παρακαλέσαντας τοὺς Σινωπέας, βουλεύεσθαι. Εἴτε γὰρ πεζῇ δέοι πορεύεσθαι, χρήσιμοι ἂν ἐδόκουν εἶναι οἱ Σινωπεῖς ἡγούμενοι· (ἔμπειροι γὰρ ἦσαν τῆς Παφλαγονίας) εἴτε κατὰ θάλατταν, προσδεῖν ἐδόκει Σινωπέων· μόνοι γὰρ ἂν ἐδόκουν ἱκανοὶ εἶναι πλοῖα παρασχεῖν ἀρκοῦντα τῇ
στρατιᾷ. Καλέσαντες οὖν τοὺς πρέσβεις συνεβουλεύον- 2
το, καὶ ἠξίουν, Ἕλληνας ὄντας Ἕλλησι τούτῳ πρῶτον

habent; sed sequitur εἰσι. Deinceps ἀλλὰ δείξοντες Eton.

Καὶ ξενίοις] Juntina, Guelf. ξένοις, Aldina δεξενίοις. unde Castalio φίλοι εἰσὶ καὶ ξένοι scripsit. Equidem ex Aldina scriptura efficio: καὶ ξενίοις δὲ, ἢν μὲν &c.

διδόναι] Eton. διαδιδόναι. Sequens ὄντα omittit Eton.

25. ἐπιτήδεια] Margo Steph. Paris. Eton. φιλικὰ dant, quam vulgatæ interpretationem esse statuit cum Zeunio Weiske, cum Grammatici vocabulum ἐπιτήδειος interpretentur per φίλος. Comparaverim equidem locum Cyrop. iv. 1, 12. ἐκ τούτου εἵποντό τε πάντες καὶ ἔλεγον οἷα ἐπιτήδεια ἐδόκουν εἶναι ὑπὲρ ὧν ἐδέοντο. Ita etiam h. l. vertit *Halbkart.*

καὶ ὧν ἑκάτεροι] Eton. καὶ omittit.

1. Ταύτῃ μὲν οὖν] Ex Guelf. οὖν cum Zeunio adscivi. Sequens τὸ omittunt Edd. vett. Guelf.

δέοι] Eton. ἐδόκει. Sequens χρήσιμοι vulgato χρήσιμον ex Guelf. substitui cum Zeunio. Postea ἡγούμενοι deest in Eton.

γὰρ ἂν ἐδόκουν] Ex Eton. ἂν adscivi; ita paulo antea erat: χρήσιμοι ἂν ἐδόκουν εἶναι ἡγούμενοι.

2. Ἕλληνας ὄντας Ἕλλησι] Structuram impeditam verborum interpretes varie explicare conati sunt. Stephanus dativum Ἕλλησι ad ὄντας referens vertebat: *ut Græcos se Græcis exhibentes.* Cum Hutchinsono Zeune dativum ad εὔνους refert per trajectionem verborum, cujus exemplum si-

καλῶς δέχεσθαι, τῷ εὔνους τε εἶναι καὶ τὰ βέλτιστα
συμβουλεύειν.
3 Ἀναστὰς δὲ Ἑκατώνυμος, πρῶτον μὲν ἀπελογήσατο,
περὶ οὗ εἶπεν, ὡς τὸν Παφλαγόνα φίλον ποιήσοιντο, ὅτι
οὐχ, ὡς τοῖς Ἕλλησι πολεμησόντων σφῶν, εἴποι, ἀλλ᾽
ὅτι, ἐξὸν τοῖς βαρβάροις φίλους εἶναι, τοὺς Ἕλληνας
αἱρήσονται. Ἐπεὶ δὲ συμβουλεύειν ἐκέλευον, ἐπευξάμε-
4 νος ὧδε εἶπεν· Εἰ μὲν συμβουλεύοιμι, ἃ βέλτιστά μοι
δοκεῖ εἶναι, πολλά μοι κἀγαθὰ γένοιτο· εἰ δὲ μὴ, τὰ-
ναντία· αὕτη γὰρ ἡ ἱερὰ συμβουλὴ λεγομένη εἶναι, δοκεῖ
μοι παρεῖναι· νῦν γὰρ δὴ, ἂν μὲν εὖ συμβουλεύσας φα-
νῶ, πολλοὶ ἔσεσθε οἱ ἐπαινοῦντές με· ἂν δὲ κακῶς,
5 πολλοὶ ἔσεσθε οἱ καταρώμενοι. Πράγματα μὲν οὖν
οἶδ᾽ ὅτι πολὺ πλείω ἕξομεν, ἐὰν κατὰ θάλατταν κομί-
ζησθε· ἡμᾶς γὰρ δεήσει τὰ πλοῖα πορίζειν· ἢν δὲ κατὰ
γῆς στέλλησθε, ὑμᾶς δεήσει τοὺς μαχομένους εἶναι.
6 Ὅμως δὲ λεκτέα, ἃ γιγνώσκω· ἔμπειρος γάρ εἰμι καὶ
τῆς χώρας τῶν Παφλαγόνων, καὶ τῆς δυνάμεως· ἔχει
γὰρ ἡ χώρα ἀμφότερα, καὶ πεδία κάλλιστα καὶ ὄρη
7 ὑψηλότατα. Καὶ πρῶτον μὲν οἶδα εὐθὺς, ᾗ τὴν εἰσβο-

mile in Platonis Phædro p. 226. Heindorfii annotavit Buttmann. Weiskio videtur certior ratio hæc, ut verba τούτῳ πρῶτον referantur ad Ἕλληνας ὄντας, hoc sensu: *hanc primam et præcipuam ob causam:* dativus Ἕλλησι sit commodi, aut ad δέχεσθαι pertineat pro ὑφ᾽ Ἑλλήνων; denique ut pro τῷ εὔνους legatur τὸ εὔνους, id est εἰς τὸ εὔνους &c. Mihi cum Buttmanno ratio Hutchinsoni unice placet, nec probo Valckenarii conjecturam ad Herodoti iii. 72. δείκνυσθαι pro δέχεσθαι rescribentis.

βέλτιστα] Margo Steph. Paris. Eton. κάλλιστα.

3. ἐκέλευον] Juntina, Guelf. με κελεύετε. Margo Villois. μὲν κελεύετε.

4. κἀγαθὰ] Cum Zeunio copulam ex Guelf. adsumsi, antiquum ἀγαθὰ revocavit Weiske.

ἡ ἱερὰ συμβουλὴ] Proverbio jactabatur ἱερὸν ἡ συμβουλὴ χρῆμα, quod habet Plato Theagis p. 5. et alii.

δοκεῖ μοι παρεῖναι] *Nunc mihi locus is et tempus id adesse videtur, quo licebit adhibere vetus illud ἱερὸν ἡ συμβουλή.*

νῦν γὰρ δὴ] Cum Zeunio δὴ ex Eton. adsumsi. Sequens ἔσεσθε idem liber bis in ἔσονται mutavit.

5. πορίζειν] Eton. πορίζεσθαι habet.

6. καὶ τῆς χώρας] Eton. copulam omittit, ut sequens ἡ χώρα.

7. πρῶτον μὲν] Intellige ὄρος. Pro ᾗ Juntina ἡ ὅπου habet, unde Castalio in margine ᾗ καὶ ὅπου effecit. ᾗ ὅπου Guelf. ὅπου Aldina, Steph. Solum ᾗ habent margo Steph. Paris. Eton.

λὴν ἀνάγκη ποιεῖσθαι· οὐ γάρ ἐστιν ἄλλη, ἢ ἡ τὰ
κέρατα τοῦ ὄρους τῆς ὁδοῦ καθ' ἑκάτερά ἐστιν ὑψηλά·
ἃ κρατεῖν κατέχοντες καὶ πάνυ ὀλίγοι δύναιντ' ἄν· τού-
των δὲ κατεχομένων, οὐδ' ἂν οἱ πάντες ἄνθρωποι δύ-
ναιντο διελθεῖν. Ταῦτα δὲ καὶ δείξαιμι ἄν, εἴ μοι τινὰ
βούλοισθε συμπέμψαι. Ἔπειτα δὲ οἶδα καὶ πεδία 8
ὄντα καὶ ἱππείαν, ἣν αὐτοὶ οἱ βάρβαροι νομίζουσι κρείττω
εἶναι ἁπάσης τῆς βασιλέως ἱππείας. Καὶ νῦν οὗτοι οὐ
παρεγένοντο βασιλεῖ καλοῦντι· ἀλλὰ καὶ μεῖζον φρονεῖ ὁ
ἄρχων αὐτῶν. Ἢν δὲ καὶ δυνηθῆτε τά τε ὄρη κλέψαι, 9
ἢ φθάσαι λαβόντες, καὶ ἐν τῷ πεδίῳ κρατῆτε μαχόμενοι
τούς τε ἱππέας τούτων καὶ πεζῶν μυριάδας πλέον ἢ δώ-
δεκα, ἥξετε ἐπὶ ποταμοὺς, πρῶτον μὲν τὸν Θερμώδοντα,
εὖρος τριῶν πλέθρων, ὃν χαλεπὸν οἶμαι διαβαίνειν, ἄλ-
λως τε καὶ πολεμίων πολλῶν μὲν ἔμπροσθεν ὄντων,
πολλῶν δὲ ὄπισθεν ἑπομένων· δεύτερον δ' Ἶριν, τρίπλε-

ἄλλη, ἢ ἡ] Edd. vett. Guelf. ἄλλη· τὰ κέρατα. Eton. ἄλλη κατὰ κέρατα. Mihi locus hic vitiosus esse videtur, quod et ipsa varietas scripturæ arguit et κακοφωνία vulgatæ lectionis docet. Suspicor fuisse olim οὐ γάρ ἐστιν ἄλλη· (scilicet ποιεῖσθαι τὴν εἰσβολὴν) καὶ τὰ κέρατα &c.

τοῦ ὄρους τῆς ὁδοῦ] Hunc ordinem verborum ex Regiis B. C. præeunte Larchero fecit Zeune, cum prius esset τῆς ὁδοῦ τοῦ ὄρους.

βούλοισθε] Ita Eton. Vulgo βούλεσθε. Edd. vett. βούλεσθαι.

8. καὶ πεδία ὄντα] Ex Eton. libro καὶ inserui. Idem liber verba ἣν αὐτοὶ—ἱππείας omisit.

καλοῦντι] Noster de Cotye, Paphlagoniæ rege, Hellenic. iv. 1, 3. ἦλθε Κότυς καὶ ξυμμαχίαν ἐποιήσατο· (cum Agesilao) καὶ γὰρ καλούμενος ὑπὸ βασιλέως οὐκ ἀναβεβήκει. Hæc pertinent ad Olympiadis 96. annum $\frac{2}{3}$. De eodem est in Agesilao iii. 4. Κότυς δὲ ὁ τῶν Παφλαγόνων ἄρχων (in Hellenicis vocatur βασιλεὺς) βασιλεῖ μὲν οὐχ ὑπήκουσε δεξιὰν πέμποντι. Cotys idem deinde Ariobarzanis imperio subjectam urbem Sestum oppugnavit, teste nostro Agesilai ii. 26. Ariobarzanes autem is a rege defecerat Persarum. Corylæ imperium, quod iter Græcorum attigit, pertinet ad Olympiadis 94. annum 4. Cotyi successit Θῦς, eique Ariobarzanes. De Thyo dixi ad Xenophontis Agesilaum.

9. Ἢν δὲ] Eton. εἰ habet, deinde cum Paris. et margine Steph. κρατῆσαι. Sequens ἱππέας pro vulgato ἱππεῖς dedit Zeune.

τούτων καὶ πεζῶν μυριάδας] Ita margo Steph. Paris. Eton. cum libro Brodæi. Vulgo erat inepte τούτους καὶ πεζοὺς, μυριάδας.

ἐπὶ ποταμοὺς] Eton. τοὺς interserit. quod ferri potest. Notos enim sibi et suis fluvios loquitur Hecatonymus.

Θερμώδοντα] Cf. *Mannert* Geogr. vi. p. ii. p. 441.

δ' Ἶριν] Margo Steph. cum Paris. δὲ Τίγριν. Hodie *Kasalmak* audit. Cf. *Mannert* Geogr. vi. p. ii. p. 445.

θρον ὡσαύτως· τρίτον δ' Ἅλυν, οὐ μεῖον δυοῖν σταδίοιν, ὃν οὐκ ἂν δύναισθε ἄνευ πλοίων διαβῆναι· πλοῖα δὲ τίς ἔσται ὁ παρέχων; ὡς δ' αὔτως καὶ ὁ Παρθένιος ἄβατος· ἐφ' ὃν ἔλθοιτε ἄν, εἰ τὸν Ἅλυν τοῦτον διαβαίητε.
10 Ἐγὼ μὲν οὖν οὐ χαλεπὴν ὑμῖν εἶναι νομίζω τὴν πορείαν, ἀλλὰ παντάπασιν ἀδύνατον. Ἂν δὲ πλέητε, ἔστιν ἐνθένδε μὲν εἰς Σινώπην παραπλεῦσαι, ἐκ Σινώπης δὲ εἰς Ἡρακλείαν· ἐξ Ἡρακλείας δὲ οὔτε πεζῇ, οὔτε κατὰ θάλατταν ἀπορία· πολλὰ γάρ ἐστι πλοῖα ἐν Ἡρακλείᾳ.
11 Ἐπεὶ δὲ ταῦτα ἔλεξεν, οἱ μὲν ὑπώπτευον, φιλίας ἕνεκα τῆς Κορύλα λέγειν, (καὶ γὰρ ἦν πρόξενος αὐτῷ) οἱ δὲ καὶ ὡς δῶρα ληψόμενον διὰ τὴν συμβουλὴν ταύτην· οἱ δ' ὑπώπτευον, καὶ τούτου ἕνεκα λέγειν, ὡς μὴ πεζῇ ἰόντες τὴν Σινωπέων χώραν κακόν τι ἐργάζοιντο. Οἱ δ' οὖν Ἕλληνες ἐψηφίσαντο, κατὰ θάλατταν τὴν πορείαν
12 ποιεῖσθαι. Μετὰ ταῦτα Ξενοφῶν εἶπεν· Ὦ Σινωπεῖς, οἱ μὲν ἄνδρες ᾕρηνται πορείαν, ἣν ὑμεῖς συμβουλεύετε· οὕτω δ' ἔχει· εἰ μὲν μέλλει πλοῖα ἔσεσθαι ἱκανὰ ἀριθμῷ, ὡς ἕνα μὴ καταλείπεσθαι ἐνθάδε, ἡμεῖς δὴ πλέ-

ὡσαύτως] Ex Edd. vett. Guelf. *οὕτως* addidit Zeune, et comparat Cyrop. i. 1, 4. ubi libri optimi scripti *οὕτως* additum habent, sed Stephanus omisit.

Ἅλυν] Aldina et Guelf. cum leni *Ἄλυν* scribunt. Hodie *Kisil-Irmak*. Cf. *Mannert* Geogr. vi. p. ii. p. 452. seqq.

μεῖον] Eton. *μείω* habet; quod a correctore esse putabat Zeune, comparans Cyrop. ii. 1, 5.

οὐκ ἂν δύναισθε] Vulgabatur *δύνησθε*. Sed vide annotata ad ii. 5, 19.

Παρθένιος] Græcis hodiernis *Bartin*, Turcis *Dolap*. Cf. *Mannert* Geogr. vi. p. iii. p. 28.

10. *ὑμῖν*] Eton. liber omittit; deinde habet *πολλὰ γὰρ καί ἐστι*.

11. *τῆς Κορύλα*] Margo Steph. *τῆς εἰς Κορύλαν*, quod recepit Welsius. Ante *λέγειν* inserit Eton. *ταῦτα*. Postea *πεζοὶ ὄντες* Paris. habet.

τὴν πορείαν] Eton. *ταύτην πορείαν* habet.

12. *ᾕρηνται*] Edd. pleræque ante Zeunianam et Guelf. *εἰ ᾕρηνται*, sed Castalio, Paris. Eton. *εἰ* omittunt. Muretus *εἰ* in *οἵδε* vel *οὗτοι* mutari voluit.

οὕτω δ' ἔχει] *Sed hac conditione* interpretatur Zeune.

μέλλει πλοῖα ἔσεσθαι] Eton. *πλοῖα ἔσεται*. Sequens *ἱκανὰ ἀριθμῷ, ὡς ἕνα μὴ* dedi pro vulgato *ἱκανὰ, ὡς ἀριθμῷ ἕνα*. Video nunc mecum sentire Weiskium. Præterea *ὡς μηδ' ἕνα* malim.

ἡμεῖς δὴ πλέοιμεν ἄν] Hanc Castalionis scripturam dedit Zeune; Edd.

οιμεν ἄν· εἰ δὲ μέλλοιμεν οἱ μὲν καταλείψεσθαι, οἱ δὲ
πλεύσεσθαι, οὐκ ἂν ἐμβαίημεν εἰς τὰ πλοῖα. Γιγνώ- 13
σκομεν γάρ, ὅτι, ὅπου μὲν ἂν κρατῶμεν, δυναίμεθ' ἂν
καὶ σώζεσθαι, καὶ τὰ ἐπιτήδεια ἔχειν· εἰ δέ που ἥτ-
τους τῶν πολεμίων ληφθησόμεθα, εὔδηλον δή, ὅτι ἐν ἀν-
δραπόδων χώρᾳ ἐσόμεθα. Ἀκούσαντες ταῦτα οἱ πρέσ- 14
βεις, πέμπειν ἐκέλευον πρέσβεις. Καὶ πέμπουσι Καλ-
λίμαχον Ἀρκάδα καὶ Ἀρίστωνα Ἀθηναῖον καὶ Σαμό-
λαν Ἀχαιόν· καὶ οἱ μὲν ᾤχοντο.

Ἐν δὲ τούτῳ τῷ χρόνῳ Ξενοφῶντι, ὁρῶντι μὲν πολλοὺς 15
ὁπλίτας τῶν Ἑλλήνων, ὁρῶντι δὲ πολλοὺς πελταστάς, πολλοὺς δὲ καὶ τοξότας καὶ σφενδονήτας, καὶ ἱππέας δέ, καὶ μάλα ἤδη διὰ τὴν τριβὴν ἱκανοὺς ὄντας, ἐν τῷ Πόντῳ (ἔνθα οὐκ ἂν ἀπ' ὀλίγων χρημάτων τοσαύτη δύναμις παρεσκευάσθη) καλὸν αὐτῷ ἐδόκει εἶναι καὶ χώ-

vett. Guelf. ἡμεῖς δὲ habent. Stephani ἡμεῖς ἂν πλέοιμεν revocavit Weiske.

εἰ δὲ μέλλοιμεν] Margo Villois. εἰ μέλλοιμεν δὲ dat.

13. ἥττους Juntina cum Guelf. ἧττον habet. Ceterum monet Weiske facile vel ab initio vel in fine hujus sectionis desiderari posse sententiam necessariam, *Græcos conjunctis porro viribus facile omnibus gentibus, per quas iter faciendum sit, superiores fore; distractos vero fortasse fore impares:* quæ est posita in sect. 32. Sed ibi Xenophon milites ipsos alloquitur; hic vero tam aperta oratione non erat opus, ubi sermo fit ad legatos Sinopenses. Inest tamen ea ipsa sententia, quam desiderabat vir doctus, in oratione Xenophontis, sed verbis lectis et ambiguis tecta. Vide mihi hæc: ὅπου ἂν κρατῶμεν—εἰ δέ που ἥττους τῶν πολεμίων ληφθησόμεθα, quæ ad numerum distracti exercitus unice referenda videntur esse.

15. πολλοὺς δὲ] Omittunt hæc Paris. et Eton. ideo seclusit Zeune. Fateor abesse posse nec facile desiderari: sed naturalem orationis Xenophonteæ simplicitatem decent, et multa similia exempla in his libris habentur.

οὐκ ἂν—παρεσκευάσθη] *In quo tantus exercitus non potuisset comparari.* Ita hæc interpretatur Weiske, cum reliqui Interpretes pro futuro potentiali aoristum habuerint, veluti Larcherus vertens: *où l'on ne pourroit rassembler.* Quod rei quidem aptius fore censet Weiske; sed ita scriptum oportuisse παρασκευασθείη. Sed in vulgata lectione et ea interpretatione, quam ipse posuit Weiske, nihil equidem video, quod a sententia scriptoris sit alienum. Xenophonti enim, videnti tantum adhuc Græcorum militum numerum superstitem ex suscepta frustra expeditione, visa res est digna gloria Græci nominis et honore virtutis bellicæ in bello contra regem Persarum declaratæ, tanto militum numero, quantus in Ponto non facile sine magnis sumtibus comparari potuisset, abuti ad ditionem Græcorum proferendam et imperium ampliandum.

ἐδόκει εἶναι] Edd. vett. Guelf. Eton. ἔδοξεν. sed verba εἶναι καὶ omittit Eton.

ραν καὶ δύναμιν τῇ Ἑλλάδι προσκτήσασθαι, πόλιν
16 κατοικίσαντας. Καὶ γενέσθαι ἂν ἐδόκει αὐτῷ μεγάλη,
καταλογιζομένῳ τό τε αὐτῶν πλῆθος, καὶ τοὺς περιοι-
κοῦντας τὸν Πόντον. Καὶ ἐπὶ τούτοις ἐθύετο, πρίν τινι
εἰπεῖν τῶν στρατιωτῶν, Σιλανὸν παρακαλέσας, τὸν Κύ-
17 ρου μάντιν γενόμενον, τὸν Ἀμβρακιώτην. Ὁ δὲ Σιλα-
νὸς, δεδιὼς, μὴ γένοιτο ταῦτα, καὶ καταμείνειέ που ἡ
στρατιὰ, ἐκφέρει εἰς τὸ στράτευμα λόγον, ὅτι Ξενοφῶν
βούλεται καταμεῖναι τὴν στρατιὰν, καὶ πόλιν οἰκίσαι,
18 καὶ ἑαυτῷ ὄνομα καὶ δύναμιν περιποιήσασθαι. Αὐτὸς
δὲ ὁ Σιλανὸς ἐβούλετο ὅτι τάχιστα εἰς τὴν Ἑλλάδα
ἀφικέσθαι· οὓς γὰρ παρὰ Κύρου ἔλαβε τρισχιλίους
δαρεικοὺς, ὅτε τὰς δέκα ἡμέρας ἠλήθευσε θυόμενος Κύρῳ,
19 διεσεσώκει. Τῶν δὲ στρατιωτῶν, ἐπεὶ ἤκουσαν, τοῖς μὲν
ἐδόκει βέλτιστον εἶναι καταμεῖναι, τοῖς δὲ πολλοῖς οὔ.
Τιμασίων δὲ ὁ Δαρδανεὺς, καὶ Θώραξ ὁ Βοιώτιος, πρὸς
ἐμπόρους τινὰς παρόντας τῶν Ἡρακλεωτῶν καὶ Σινω-
πέων λέγουσιν, ὅτι, εἰ μὴ ἐκποριοῦσι τῇ στρατιᾷ μισθὸν,
ὥστε ἔχειν τὰ ἐπιτήδεια ἐκπλέοντας, ὅτι κινδυνεύσει μεῖ-
ναι τοσαύτη δύναμις ἐν τῷ Πόντῳ· βουλεύεται γὰρ Ξε-
νοφῶν, καὶ ἡμᾶς παρακαλεῖ, ἐπειδὰν ἔλθῃ τὰ πλοῖα,
20 τότ᾽ εἰπεῖν ἐξαίφνης τῇ στρατιᾷ· Ἄνδρες, νῦν μὲν ὁρῶμεν
ἡμᾶς ἀπόρους ὄντας, καὶ ἐν τῷ ἀπόπλῳ ἔχειν τὰ ἐπιτή-

16. Ἀμβρακιώτην] Guelf. Ἀβρακιώτην.

17. γένοιτο] Eton. γένηται. at ita debebat etiam sequi καταμείνῃ.

ἐκφέρει] Eton. εἰσφέρει habet; deinceps Guelf. βουλεύεται. non inepte. Sed pejus idem cum Edd. vett. οἰκῆσαι habet.

18. διεσεσώκει] Eton. διέσωσε. De daricis illis cf. i. 7, 18.

19. τῶν δὲ στρατιωτῶν] Eton. ἐκ τῶν δὲ στρ.—τοῖς δὲ πλείοσι.

ὁ Δαρδανεὺς] Eton. hæc omittit, sed idem mox ἐμπόρους μέν τινας habet.

ἐκποριοῦσι] Margo Steph. cum libro Paris. et Eton. ἐξευποριοῦσι dant. Sed vide annotanda ad v. 8, 25.

ὅτι κινδυνεύσει] Post longiorem parenthesin iterat ὅτι scriptor, ne lector a sensu aberret. Hæc recte contra Leonclavium monet Zeune; ille enim priore loco ὅτι deleri voluit.

20. ἡμᾶς ἀπόρους ὄντας] Primum vulgatum ὑμᾶς mutavi sententia postulante, quæ multo fit efficacior ad movendum militum animum, si orator ipse et dux inopiam suam reliquorum angustiis æquiparat. Dein-

δεια, καὶ οἴκαδε ἀπελθόντας ὀνῆσαί τι τοὺς οἴκοι. Εἰ δὲ βούλεσθε τῆς κύκλῳ χώρας περὶ τὸν Πόντον οἰκουμένης ἐκλεξάμενοι, ὅπη ἂν βούλησθε, κατασχεῖν, καὶ τὸν μὲν θέλοντα, ἀπιέναι οἴκαδε, τὸν δὲ ἐθέλοντα, μένειν αὐτοῦ, πλοῖα δὲ ὑμῖν πάρεστιν, ὥστε, ὅπη ἂν βούλησθε, ἐξαίφνης ἂν ἐπιπέσοιτε.

Ἀκούσαντες ταῦτα οἱ ἔμποροι ἀπήγγελλον ταῖς πό- 21 λεσι· συνέπεμψε δ᾽ αὐτοῖς Τιμασίων ὁ Δαρδανεὺς Ἐρύμαχόν τε τὸν Δαρδανέα, καὶ Θώρακα τὸν Βοιώτιον, τὰ

de Edd. vett. Guelf. Eton. εὐπόρους dant. Male. ἀπόρους ὄντας est pro ἀποροῦντας, sequente infinitivo, ut ἀπορέω χρῆσθαι in Œconomico. Quare ὡς, quod ante οἴκαδε inserit margo Steph. cum Paris. merito repudiavit Zeune.

καὶ τὸν μὲν θέλοντα] Ex Paris. ἐθέλοντα recepit Zeune propter sequens ἐθέλοντα. Sed vix mihi persuadebit aliquis, græce verba δὲ ἐθέλοντα ita pronunciatione fuisse distincta, ut geminatum ε audiri posset. Ceterum hucusque sententia bene processit. Nunc vero sententia fit cum oratione obscura, intricata et difficilis; in qua Interpretes ceteri apodosin quæsiverant in verbis πλοῖα δ᾽ ὑμῖν πάρεστιν, ubi Zeune ex conjectura Stephani πλοῖά γ᾽ ὑμῖν posuit, quam recte non recepit Weiske; reliquam orationis difficultatem silentio transierunt. Unde enim pendent verba καὶ τὸν μὲν θέλοντα—μένειν αὐτοῦ? Certe non a præcedente εἰ δὲ βούλεσθε! Solus Weiske vidit vitium loci, cui mederi voluit ita, ut scriberet κατασχεῖν, ἐξέσται τὸν μὲν θέλοντα &c. Tum nova sententia infit a verbis πλοῖα δ᾽ ὑμῖν πάρεστι, ubi de Leonclavii sententia πλοῖα δὴ posuerunt Welsius et Hutchinson. Medicinam meliorem equidem nondum reperi. Sed præterea vitium orationis latius patere suspicor. Quid enim? Post illud initium εἰ δὲ βούλεσθαι τῆς κύκλῳ χώρας ἐκλεξάμενοι κατασχεῖν, quam inepte intruditur ὅπη ἂν βούλησθε? Quæ mihi formula repetita videtur ex membro sequenti, ubi est ὅπη βούλεσθαι, sed Eton. ὅπη ἂν βούλοισθε habet, quod debet mutari in ὅπη ἂν βούλησθε. Si retinentur verba hoc loco ὅπη ἂν βούλησθε, tum vero sequens κατασχεῖν interpretari oportet *appellere:* quanquam vulgo *occupare* interpretantur; quod tum demum locum habet, si formula ὅπη ἂν βούλησθε hinc tollatur. Sed fateor, ita singularem quidem prioris membri difficultatem levari; sed sententiarum consequentia, etiamsi Weiskianam emendationem probaveris, tamen laborabit. Cum proposita enim terræ Ponticæ optione nihil habet commune concessa simul libertas domum abeundi. Accedit, quod oratio desinit in consilio terræ Ponticæ occupandæ: ὥστε, ὅπη ἂν βούλησθε, ἐξαίφνης ἂν ἐπιπέσοιτε. Quare plura orationi vitia inesse videntur. Germanicus interpres *Halbkart* difficultatem non annotavit, sed vertendo quasi promontorium flexit ita: *wenn ihr daher in dem Umkreise des Pontus eine Landschaft, die ihr nach Belieben wählen könnt, einnehmen und dann jedem freystellen wollt, nach Hause zu reisen oder da zu bleiben, so habt ihr jetzt Schiffe* &c. Hæc tamen versio rationem mihi aliam suggessit, qua tentabam verbum ἀπιέναι mutare in ἀφιέναι, *dimittere*, et totum locum ita ordinabam: ἐκλεξάμενοι, τὸν μὲν θέλοντα ἀφιέναι οἴκαδε, τὸν δὲ θέλοντα μένειν αὐτοῦ, κατασχεῖν, πλοῖα δὴ ὑμῖν πάρεστιν, ὥστε, ὅπη ἂν βούλησθε,—ἐπιπέσοιτε. Videant acutiores!

21. ἀπήγγελλον] Ita cum Edd. vett. Guelf. Zeune. ἀπήγγελον cum Stephano Weiske. Sequens τὰ αὐτὰ omittit Eton.

αὐτὰ ταῦτα ἐροῦντας. Σινωπεῖς δὲ καὶ Ἡρακλεῶται
ταῦτα ἀκούσαντες πέμπουσι πρὸς Τιμασίωνα, καὶ κε-
λεύουσι προστατεῦσαι, λαβόντα χρήματα, ὅπως ἐκπλεύσῃ
22 ἡ στρατιά. Ὁ δὲ, ἄσμενος ἀκούσας, ἐν συλλόγῳ τῶν
στρατιωτῶν ὄντων, λέγει τάδε· Οὐ δεῖ προσέχειν μονῇ, ὦ
ἄνδρες, οὐδὲ τῆς Ἑλλάδος οὐδὲν περὶ πλείονος ποιεῖσθαι.
Ἀκούω δέ τινας θύεσθαι ἐπὶ τούτῳ, οὐδ᾽ ὑμῖν λέγοντας.
23 Ὑπισχνοῦμαι δὲ ὑμῖν, ἐὰν ἐκπλέητε ἀπὸ νουμηνίας, μι-
σθοφορὰν παρέξειν ὑμῖν Κυζικηνὸν ἑκάστῳ τοῦ μηνός·
καὶ ἄξω ὑμᾶς εἰς τὴν Τρωάδα, ἔνθεν καὶ εἰμὶ φυγάς·
καὶ ὑπάρξει ὑμῖν ἡ ἐμὴ πόλις· ἑκόντες γάρ με δέξονται.
24 Ἡγήσομαι δὲ αὐτὸς ἐγὼ, ἔνθεν πολλὰ χρήματα λήψε-
σθε. Ἔμπειρος δέ εἰμι τῆς Αἰολίδος καὶ τῆς Φρυγίας
καὶ τῆς Τρωάδος καὶ τῆς Φαρναβάζου ἀρχῆς πάσης· τῆς
μὲν, διὰ τὸ ἐκεῖθεν εἶναι, τῆς δὲ, διὰ τὸ ἐστρατεῦσθαι ἐν
αὐτῇ σὺν Κλεάρχῳ τε καὶ Δερκυλλίδᾳ.
25 Ἀναστὰς δ᾽ εὐθὺς Θώραξ ὁ Βοιώτιος, (ὃς ἀεὶ περὶ
στρατηγίας Ξενοφῶντι ἐμάχετο) ἔφη, εἰ ἐξέλθοιεν ἐκ τοῦ
Πόντου, ἔσεσθαι αὐτοῖς Χεῤῥόνησον, χώραν καλὴν καὶ
εὐδαίμονα· ὥστε τῷ βουλομένῳ, ἐνοικεῖν, τῷ δὲ μὴ βου-

ἀκούσαντες] Ex Eton. anteposui ταῦτα.

22. ποιεῖσθαι] Eton. ποιῆσαι. Sed περὶ παντὸς ποιεῖσθαι est ii. 4, 3.

23. μισθοφορὰν] Eton. μισθόν. Sequens ὑμῖν omittit Paris.

ὑπάρξει ὑμῖν] Paris. Eton. ὑμᾶς. male!

24. τῆς μὲν—τῆς δὲ] Eton. τὰ μὲν —τὰ δὲ—συνεστρατεῦσθαι. Contra Edd. vett. Guelf. στρατεύεσθαι habent.

Κλεάρχῳ] Cum esset harmostes Byzantii. Cf. ad ii. 6, 3. et fortasse etiam postquam in Asia exsul cum exercitu oberrabat.

Δερκυλλίδᾳ] Cum esset Abydo præfectus. Cf. Hellenic. iii. 1, 9.

25. εὐθὺς] Paris. αὖτις, Eton. αὖθις habet.

ὃς ἀεὶ] Paris. et Eton. ἀεὶ omittunt; præterea Paris. ξένων ἐμηχανᾶτο, Eton. Ξενοφῶντι διεμάχετο habet.

καλὴν] Eton. μεγάλην, quod supra in descriptione Asiaticarum urbium frequenter junctum reperimus cum εὐδαίμονι.

τῷ δὲ μὴ βουλομένῳ] Paris. Eton. μὴ omittunt. Quo facto fieri orationem similem superiori sect. 10. ait Zeune. Contra Weiske ad ὥστε et sequentia repetendum censet ex superiori membro verbum ἔσεσθαι. Quæ quidem ratio mihi videtur non magis elegans esse, quam illa sect. 20. εἰ δὲ βούλεσθε τῆς κύκλῳ χώρας ἐκλεξάμενοι, ὅπη ἂν βούλησθε, κατασχεῖν. Mihi vero locus ita corrigi debere videbatur: καλὴν καὶ εὐδαίμονα, τῷ μὲν βουλομένῳ,

λομένῳ, ἀπιέναι οἴκαδε· γελοῖον δ' εἶναι, ἐν τῇ Ἑλλάδι
οὔσης χώρας πολλῆς καὶ ἀφθόνου, ἐν τῇ βαρβάρων μα-
στεύειν. Ἔστε δ' ἂν, ἔφη, ἐκεῖ γένησθε, κᾀγὼ, κα- 26
θάπερ Τιμασίων, ὑπισχνοῦμαι ὑμῖν τὴν μισθοφοράν.
Ταῦτα δ' ἔλεγεν, εἰδὼς, ἃ Τιμασίωνι οἱ Ἡρακλεῶται
καὶ οἱ Σινωπεῖς ἐπαγγέλοιντο, ὥστε ἐκπλεῖν. Ὁ δὲ 27
Ξενοφῶν ἐν τούτῳ ἐσίγα. Ἀναστὰς δὲ Φιλήσιος καὶ
Λύκων, οἱ Ἀχαιοὶ, ἔλεγον, ὡς δεινὸν εἴη, ἰδίᾳ μὲν Ξενο-
φῶντα πείθειν τε καταμένειν, καὶ θύεσθαι ὑπὲρ τῆς
μονῆς, μὴ κοινούμενον τῇ στρατιᾷ· εἰς δὲ τὸ κοινὸν μηδὲν
ἀγορεύειν περὶ τούτων· ὥστε ἠναγκάσθη ὁ Ξενοφῶν ἀνα-
στῆναι καὶ εἰπεῖν τάδε·

Ἐγὼ, ὦ ἄνδρες, θύομαι μὲν, (ὡς ὁρᾶτε) ὁπόσα δύνα- 28
μαι, καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ ἐμαυτοῦ, ὅπως ταῦτα
τυγχάνω καὶ λέγων καὶ νοῶν καὶ πράττων, ὁποῖα μέλ-
λει τε ὑμῖν κάλλιστα καὶ ἄριστα ἔσεσθαι καὶ ἐμοί.
Καὶ νῦν ἐθυόμην περὶ αὐτοῦ τούτου, εἰ ἄμεινον εἴη ἄρχε-
σθαι λέγειν εἰς ὑμᾶς καὶ πράττειν περὶ τούτων, ἢ παν-
τάπασι μηδ' ἅπτεσθαι τοῦ πράγματος. Σιλανὸς δέ 29
μοι ὁ μάντις ἀπεκρίνατο, τὸ μὲν μέγιστον, τὰ ἱερὰ καλὰ
εἶναι· (ᾔδει γὰρ καὶ ἐμὲ οὐκ ἄπειρον ὄντα, διὰ τὸ ἀεὶ
παρεῖναι τοῖς ἱεροῖς) ἔλεξε δὲ, ὅτι ἐν τοῖς ἱεροῖς φαίνοιτό
τις δόλος καὶ ἐπιβουλὴ ἐμοὶ, ὡς ἄρα γιγνώσκων, ὅτι

ἐνοικεῖν, τῷ δὲ μὴ βουλομένῳ, ἀφιέναι οἴκαδε.

26. Ἔστε] Guelf. ἔστε habet, deinceps μισθοφορίαν Eton.

ταῦτα δ' ἔλεγεν] Guelf. ταῦτ' ἔλεγε μέν. Sequens εἰδὼς omittit Eton.

ἐπαγγέλοιντο] Junt. Guelf. ἐπαγγέλλοιντο. quod præfero. Paris. Eton. ὑπισχνοῦντο.

27. κοινούμενον] Ita cum Paris. scripsi pro κοινοῦντα. Castalio et Guelf. a secunda manu habet κοινωνοῦντα. Cf. dicenda ad sect. 36. Stephanus eandem veteris Codicis a se inspecti scripturam probavit; cui locum Thucydidis iv. 4. καὶ τοῖς ταξιάρχοις κοινώσας opposuit Hutchinson.

εἰς δὲ τὸ κοινὸν] Ita recte Guelf. et Eton. Articulum vulgo omittunt.

29. οὐκ ἄπειρον ὄντα] τῶν ἱερῶν nempe, ex præcepto Cyrop. i. 6, 2. Stephanus tamen scriptum malebat ἱερῶν pro ἱεροῖς.

ἐμοὶ, ὡς ἄρα] Vulgatum ὀρθῶς ἄρα, γιγνώσκων, erat ex Hutchinsoni distinctione, ut ὀρθῶς referretur ad ἔλε-

αὐτὸς ἐπεβούλευε διαβάλλειν με πρὸς ὑμᾶς. Ἐξήνεγκε
γὰρ τὸν λόγον, ὡς ἐγὼ πράττειν ταῦτα διανοοίμην ἤδη,
30 οὐ πείσας ὑμᾶς. Ἐγὼ δὲ, εἰ μὲν ἀποροῦντας ὑμᾶς
ἑώρων, τοῦτ' ἂν ἐσκόπουν, ἀφ' οὗ ἂν γένοιτο, ὥστε λα-
βόντας ὑμᾶς πόλιν, τὸν μὲν βουλόμενον, ἀποπλεῖν ἤδη,
τὸν δὲ μὴ βουλόμενον, ἐπεὶ κτήσαιτο ἱκανὰ, ὥστε καὶ
31 τοὺς ἑαυτοῦ οἰκείους ὠφελῆσαί τι. Ἐπεὶ δ' ὁρῶ ὑμῖν
καὶ τὰ πλοῖα πέμποντας Ἡρακλεώτας καὶ Σινωπεῖς,
ὥστε ἐκπλεῖν, καὶ μισθὸν ὑπισχνουμένους ὑμῖν ἄνδρας
ἀπὸ νουμηνίας, καλόν μοι δοκεῖ εἶναι, σωζομένους, ἔνθα
βουλόμεθα, μισθὸν τῆς σωτηρίας λαμβάνειν· καὶ αὐτός
τε ἀναπαύομαι ἐκείνης τῆς διανοίας, καὶ ὁπόσοι πρός με
προσῄεσαν, λέγοντες, ὡς χρὴ ταῦτα πράττειν, ἀναπαύ-
32 σασθαι φημὶ χρῆναι. Οὕτω γὰρ γινώσκω· ὁμοῦ μὲν
ὄντες πολλοὶ, ὥσπερ νυνὶ, δοκεῖτε ἄν μοι καὶ ἔντιμοι εἶναι,
καὶ ἔχειν τὰ ἐπιτήδεια· (ἐν γὰρ τῷ κρατεῖν ἐστι καὶ τὸ
λαμβάνειν τὰ τῶν ἡττωμένων) διασπασθέντες δὲ, καὶ
κατὰ μικρὰ γενομένης τῆς δυνάμεως, οὔτ' ἂν τροφὴν
δύναισθε λαμβάνειν, οὔτε χαίροντες ἂν ἀπαλλάξαιτε.

ξε; antiquam distinctionem ὀρθῶς ἄρα γιγνώσκων, ubi ὀρθῶς cum γιγνώσκων copulandum, revocavit Weiske. Ratio prior mihi verior videtur, quia in conscientia Silani nihil est, quod possit ὀρθῶς appellari. Ferrem, si esset εὖ ἄρα γιγνώσκων. Verum libri scripti optimi Paris. et Eton. ἐμοὶ, ὡς ἄρα dederunt, quod recipere non duitavi.

διαβάλλειν] Equidem διαβάλλων præfero.

30. ἀποροῦντας] Margo Villois. ἀργοῦντας. Male Zeune εἰ μὲν interpretatur *quandoquidem*.

ἤδη—ἐπεὶ κτήσαιτο] *Statim—tum demum, quum.* Male Paris. habet ἐπικτήσαιτο.

31. ὥστε ἐκπλεῖν] Hæc verba ex Paris. adscivi; contra margo Steph. et Eton. ὥστε ἐκπλεῖν, ὦ ἄνδρες post ὑπισχνουμένους ὑμῖν reponunt. Zeune præeunte Hutchinsono additamentum tanquam ex sect. 26. repetitum a librario damnavit. Verum hoc in loco repositum id bene habere et necessarium mihi videbatur.

σωτηρίας] Liber Brodæi πορίας, margo Steph. πορείας, Paris. Eton. ἀπορίας. Leonclavius πορείας vertit, Welsius et Hutchinson receperunt, σωτηρίας cum Edd. vett. Guelf. Regius A. habet.

ἀναπαύσασθαι] Mihi scriptura Eton. ἀναπαύεσθαι placet.

32. ὁμοῦ μὲν ὄντες] Cum Hutchinsono delevit Zeune intersertum vulgo γὰρ post μὲν, quod omitti voluit jam olim Stephanus et abest a Codice Etonensi.

ἡττωμένων] Eton. liber ἡττόνων habet; idem deinceps διασπασθέντες δ' ἄν.

δύναισθε] Edd. vett. δυναίμεθα,

Δοκεῖ οὖν μοι, ἅπερ ὑμῖν, ἐκπορεύεσθαι εἰς τὴν Ἑλλάδα· καὶ ἄν τις μείνῃ, ἢ ἀπολιπών τινα ληφθῇ, πρὶν ἐν ἀσφαλεῖ εἶναι πᾶν τὸ στράτευμα, κρίνεσθαι αὐτὸν ὡς ἀδικοῦντα. Καὶ ὅτῳ δοκεῖ, ἔφη, ταῦτα, ἀράτω τὴν χεῖρα. Ἀνέτειναν πάντες. 33

Ὁ δὲ Σιλανὸς ἐβόα, καὶ ἐπεχείρει λέγειν, ὡς δίκαιον εἴη ἀπιέναι τὸν βουλόμενον. Οἱ δὲ στρατιῶται οὐκ ἠνείχοντο, ἀλλ' ἠπείλουν αὐτῷ, εἰ λήψονται ἀποδιδράσκοντα, ὅτι τὴν δίκην ἐπιθήσοιεν. Ἐντεῦθεν, ἐπεὶ ἔγνωσαν οἱ Ἡρακλεῶται, ὅτι ἐκπλεῖν δεδογμένον εἴη, καὶ Ξενοφῶν αὐτὸς ἐπεψηφικὼς εἴη, τὰ μὲν πλοῖα πέμπουσι, τὰ δὲ χρήματα, ἃ ὑπέσχοντο Τιμασίωνι καὶ Θώρακι, ἐψευσμένοι ἦσαν τῆς μισθοφορᾶς. Ἐνταῦθα ἐκπεπληγμένοι ἦσαν, καὶ ἐδεδίεσαν τὴν στρατιάν, οἱ τὴν μισθοφορὰν ὑπεσχημένοι. Καὶ παραλαβόντες οὗτοι καὶ τοὺς ἀλ- 34 35 36

Guelf. δυνάμεθα. Stephani scripturam firmant Paris. Eton.

ἀπαλλάξαιτε] Vulgatum ἀπαλλάξητε. Eton. ἀπαλλάξετε. ex Stephani correctione mutavit Hutchinson.

33. ἄν τις μείνῃ, ἢ ἀπολιπών] Margo Steph. et Eton. ἄν τις μέν τι ἀπολιπὼν, unde Hutchinson efficiebat ἄν τις μέντοι ἀπολιπὼν, satis infelici conjectura. Ceterum Xenophontis oratio contenta erat contra Silani consilium abeundi seorsim.

καὶ ὅτῳ] Eton. addit δέ. Sequens ἀράτω ex libro Brodæi, Paris. Eton. prætulit Zeune; vulgatum αἱρέτω revocavit Weiske. Sed supra iii. 2, 9. 33. 38. est ἀνατεινάτω τὴν χεῖρα. Infra vii. 3, 5. est ipsum ἀράτω τὴν χεῖρα.

34. δίκαιον εἴη] Edd. vett. Guelf. εἶναι—ἐπιθήσοι. Castalio ἐπιθήσουσι dedit.

35. καὶ Ξενοφῶν—εἴη] Hæc desunt in Junt. et Guelf. αὐτὸ ἀπεψηφικὼς est in margine Villois.

τῆς μισθοφορᾶς] Cum verbis τὰ χρήματα copulanda vidit et monuit Hutchinson, qui tamen deleri maluit hoc alieno loco additum membrum.

36. καὶ παραλαβόντες] Liber Eton. οὖν adjungit. Sequens ἀνεκεκοίνωντο dedi pro vulgato ἀνεκεκοίνωτο. Guelf. habet propius a vero scriptum ἀνακεκοίνωντο. Supra sect. 27. μὴ κοινοῦντα τῇ στρατιᾷ ex Paris. et libro Stephani in κοινούμενον mutavi. Ibi tamen Thucydidis auctoritatem iv. 4. opposuit Hutchinson. Supra iii. 1, 5. sine varietate est ἀνακοινοῦται Σωκράτει περὶ τῆς πορείας. sed statim sequitur ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πορείας. ubi tamen margo Villois. ἀνακοινώσασθαι annotavit. Sed infra vi. 1, 22. sine varietate est τοῖς θεοῖς ἀνακοινῶσαι. Cyrop. v. 4. 15. οὔτε ἀνακοινωσάμενος οὔτε εἰπὼν οὐδὲν τῷ Κύρῳ. In Hellenicis vii. 1, 27. τῷ μὲν θεῷ οὐδὲν ἐκοινώσαντο. vii. 2, 20. ἀνακοινῶσαι τοῖς θεοῖς θυόμενος. vi. 3, 8. οὐκ ἀνακοινούμενοι τοῖς συμμάχοις. Memorab. iii. 7, 3. ὅταν τι ἀνακοινῶνταί σοι. Vana igitur est annotatio Mœridis: ἀνακοινῶσαι Ἀττικῶς, ὡς Θουκυδίδης, ἀνακοίνωσον τοῖς φίλοις· ἀνακοινώσασθαι Ἑλληνικῶς. ubi Isocratis locum ad Demonicum p. 18. opposuerunt Interpretes. κοινοῦν τινι πρᾶγμα est in

λους στρατηγοὺς, οἷς ἀνεκεκοίνωντο, ἃ πρόσθεν ἔπραττον, (ἅπαντες δ' ἦσαν, πλὴν Νέωνος τοῦ Ἀσιναίου, ὃς Χειρισόφῳ ὑπεστρατήγει· Χειρίσοφος δὲ οὔπω παρῆν) ἔρχονται πρὸς Ξενοφῶντα, καὶ λέγουσιν, ὅτι μεταμέλοι αὐτοῖς, καὶ δοκοίη κράτιστον εἶναι πλεῖν εἰς Φᾶσιν, ἐπεὶ πλοῖα ἐκεῖ ἐστι, καὶ κατασχεῖν τὴν Φασιανῶν χώραν.
37 Αἰήτου δ' υἱὸς ἐτύγχανε βασιλεύων αὐτῶν. Ξενοφῶν δ' ἀπεκρίνατο, ὅτι οὐδὲν ἂν τούτων εἴποι εἰς τὴν στρατιάν· ὑμεῖς δὲ συλλέξαντες, ἔφη, εἰ βούλεσθε, λέγετε. Ἐνταῦθα ἀποδείκνυται Τιμασίων ὁ Δαρδανεὺς γνώμην, μὴ ἐκκλησιάζειν, ἀλλὰ τοὺς ἑαυτοῦ ἕκαστον λοχαγοὺς πρώτους πειρᾶσθαι πεῖσαι. Καὶ ἀπελθόντες ταῦτα ἐποίουν.

CAP. VII.

OI δὲ στρατιῶται ἀνεπύθοντο ταῦτα πραττόμενα. Καὶ ὁ Νέων λέγει, ὡς Ξενοφῶν, ἀναπεπεικὼς τοὺς ἄλλους στρατηγοὺς, διανοεῖται ἄγειν ἐξαπατήσας τοὺς

Aristophanis Nub. 197. sed ἀνακοινοῦσθαι versu 470. Lysistr. 1177. ἀνακοινοῦν. Æschyli Suppl. 370. ἀστῶν δὲ πᾶσι τῶνδε κοινώσας πέρι. Secutus igitur sum in Xenophonte librorum optimorum auctoritatem.

Νέωνος] Paris. Μένωνος. deinceps Ἀσινέως margo Steph. Villois. Guelf. quam formam Stephanus Byzant. ut vitiosam improbat.

οὔπω παρῆν] Ita liber Brodæi et Eton. Vulgatum οὐ παρῆν correxit Zeune.

ἐπεὶ πλοῖα ἐκεῖ ἐστι] Miror Interpretum silentium, et versionem vulgatam *quandoquidem ibi adsunt navigia.* De Phaside enim mentio antecessit. Heracleotæ vero naves submiserant postulatas. Quid hæc ad Phasin attinent? Solus *Halbkart* posuit: *da man jetzt Schiffe hätte*; quasi scriptum sit: ἐπεὶ πλοῖα ἤδη πάρεστι. Mihi ἐκεῖ vitiosum videtur, et πλοῖα vel τὰ πλοῖα πάρεστι scribendum.

37. υἱὸς] Ita cum Juntina Guelf. Eton. υἱῶς Aldina, Steph. υἱϊδοῦς margo Steph. et Paris. Pluribus Colchorum regibus commune nomen Æetæ fuisse testatur Strabo libro i. καὶ ἔστι τοῖς ἐκεῖ τοῦτ' ἐπιχώριον τοὔνομα.

μὴ ἐκκλησιάζειν] Eton. οὐκ ἐκκλ. habet, deinceps πείθειν cum Parisiensi.

1. ἀνεπύθοντο] Herodotus ἀναπυνθάνομαι τὸν ποιήσαντα, Aristophanes Pacis versu 693. ἀναπυθέσθαι σου habet, notione quærendi. Sed h. l. videtur eo sensu verbum positum esse, quo poetæ ἀνάπυστα fieri dicunt, *quæ vulgantur, in vulgus efferuntur, publicantur.* Ceterum liber Eton. h. l. habet ita scriptum: Ταῦτα οὖν στρατιῶται ἀνεπύθοντο τὰ πραττόμενα. Guelf. habet ἀνεπείθοντο.

στρατιώτας πάλιν εἰς Φᾶσιν. Ἀκούσαντες δὲ οἱ στρατιῶ- 2
ται χαλεπῶς ἔφερον· καὶ σύλλογοι ἐγίγνοντο, καὶ κύκλοι
συνίσταντο· καὶ μάλα φοβεροὶ ἦσαν, μὴ ποιήσειαν, οἷα
καὶ τοὺς τῶν Κόλχων κήρυκας ἐποίησαν, καὶ τοὺς ἀγορα-
νόμους· ὅσοι γὰρ μὴ εἰς τὴν θάλατταν κατέφυγον, κατε-
λεύσθησαν. Ἐπεὶ δὲ ᾐσθάνετο ὁ Ξενοφῶν, ἔδοξεν αὐτῷ 3
ὡς τάχιστα συναγαγεῖν αὐτῶν ἀγορὰν, καὶ μὴ ἐᾶσαι
συλλεγῆναι αὐτομάτους· καὶ ἐκέλευσε τὸν κήρυκα συλ-
λέξαι ἀγοράν. Οἱ δ', ἐπεὶ τοῦ κήρυκος ἤκουσαν, συνέ- 4
δραμον καὶ μάλα ἑτοίμως. Ἐνταῦθα Ξενοφῶν τῶν μὲν
στρατηγῶν οὐ κατηγόρει, ὅτι ἦλθον πρὸς αὐτὸν, λέγει δὲ
ὧδε·

Ἀκούω τινὰ διαβάλλειν, ὦ ἄνδρες, ἐμὲ, ὡς ἐγὼ ἄρα 5
ἐξαπατήσας ὑμᾶς μέλλω ἄγειν εἰς Φᾶσιν. Ἀκούσατε
οὖν ἐμοῦ, πρὸς θεῶν· καὶ ἐὰν μὲν ἐγὼ φαίνωμαι ἀδι-
κῶν, οὐ χρή με ἐνθένδε ἀπελθεῖν, πρὶν ἂν δῶ τὴν δίκην·
ἂν δ' ὑμῖν φαίνωνται ἀδικοῦντες οἱ ἐμὲ διαβάλλοντες,
οὕτως αὐτοῖς χρῆσθε, ὥσπερ ἄξιον. Ὑμεῖς δὲ ἐπίστα- 6
σθε δήπου, ὁπόθεν ὁ ἥλιος ἀνίσχει, καὶ ὅποι δύεται·
καὶ ὅτι, ἐὰν μέν τις εἰς τὴν Ἑλλάδα μέλλῃ ἰέναι, πρὸς
ἑσπέραν δεῖ πορεύεσθαι· ἐὰν δέ τις βούληται εἰς τοὺς
βαρβάρους, τοὔμπαλιν πρὸς ἕω. Ἔστιν οὖν, ὅστις τοῦτο
δύναιτ' ἂν ὑμᾶς ἐξαπατῆσαι, ὡς ὁ ἥλιος, ἔνθα μὲν
ἀνίσχει, δύεται δ' ἐνταῦθα· ἔνθεν δὲ δύεται, ἀνίσχει δ'

2. ἀκούσαντες δὲ] Eton. ἀκούσαντες ταῦτα.

Κόλχων κήρυκας] Nihil de Colchorum legatis antecessit; sed respicit Xenophon narranda demum sect. 13. et seqq.

ὅσοι γὰρ] Eton. γὰρ omittit.

3. συναγαγεῖν αὐτῶν ἀγορὰν] Est hoc uno in loco pro ἐκκλησίαν. Antecedens αὐτῷ deest in Guelf. Articulum ante Ξενοφῶν omittit Eton. Deinceps συλλέγειν Eton.

4. λέγει δὲ ὧδε] Edd. vett. Guelf. λέγει δ' ὅτε.

5. οὖν ἐμοῦ] Ita cum Guelf. Zeune. Vulgatum μου revocavit Weiske.

6. ἐπίστασθε] Margo Steph. εὖ ἴσθε. Paris. ἐφῆσθε. deinde ὅθεν Paris. Eton. ἀνίσχοι Edd. vett. Guelf.

ἔνθεν δὲ δύεται, ἀνίσχει δ' ἐντεῦθεν ;] Hæc mihi inepta et spuria videntur verba. Primum enim repetitur, quod jam antea dictum erat; sed inepte repetitur. Antea erat ἔνθα ἀνίσχει,

7 ἐντεῦθεν; Ἀλλὰ μὴν καὶ τοῦτό γε ἐπίστασθε, ὅτι ὁ
Βορέας μὲν ἔξω τοῦ Πόντου εἰς τὴν Ἑλλάδα φέρει, Νότος
δὲ εἴσω εἰς Φᾶσιν· καὶ λέγετε, ὅταν ὁ Βορρᾶς πνέῃ, ὡς
καλοὶ πλοῖ εἰσιν εἰς τὴν Ἑλλάδα. Τοῦτο οὖν ἐστιν
ὅπως τις ἂν ὑμᾶς ἐξαπατήσαι, ὥστ' ἐμβαίνειν, ὁπόταν
8 Νότος πνέῃ; Ἀλλὰ γὰρ ὑμᾶς, ὁπόταν γαλήνη ᾖ, ἐμ-
βιβῶ. Οὐκοῦν ἐγὼ μὲν ἐν ἑνὶ πλοίῳ πλευσοῦμαι, ὑμεῖς

ἐνταῦθα δύεται. recte hoc dicitur; non minus bene sect. 6. ὅθεν ἀνίσχει, ὅποι δύεται. Sed minime probari potest ἔνθεν δύεται, etiamsi probari possit ἐντεῦθεν ἀνίσχει. Deinde finge tibi simul animo Xenophontem digito una demonstrantem cæli regionem occidentis, dum ait ἔνθα μὲν ἀνίσχει, et conversum ad orientem subjungere δύεται δ' ἐνταῦθα. Quod si vim aliquam repetendæ eidem orationi et demonstrandis iisdem cœli regionibus inesse putaveris, tum Xenophon consistens et ad orientem etiamnum conversus repetet non, ut vulgo est, ἔνθεν δὲ δύεται, (variata oratione, re manente eadem, et inepte variata; nam sol non ἔνθεν sed ἐνταῦθα δύεσθαι dicitur) sed repetitis iisdem verbis, sed ordine inverso: ἔνθα μὲν δύεται, ἀνίσχει δὲ ἐνταῦθα. Contra repetitum δὲ δὲ in hac inversione locum plane alienum occupat. Sed nego vim inesse aliquam repetitæ et inversæ orationi; idemque video sensisse mecum Interpretes. Vertunt enim: *solem isthic oriri, ubi occidit*; *ibi occidere, qua oritur*. Sic etiam *Halbkart*. Ita vero perit omnis vis demonstrationis δεικτικῆς, quæ inest vocabulis ἐνταῦθα, ἐντεῦθεν, quam tamen agnovit etiam Weiske; contra tribuitur illis notio aliena. Dicendum enim fuisset: ἔνθα μὲν ἀνίσχει, ὅπου δύεται, ἐνταῦθα δὲ δύεται, ὅθεν ἀνίσχει. Sed video Weiskium ad h. l. posuisse: *Deinde commode, quam brevissime tamen, idem illud repetitione urgetur: ἔνθεν δὲ δύεται* &c. *ex quo etiam oritur figura ἐπανόδου, quæ ab interrogatione plus gravitatis nanciscitur.* Pudebat me pæne infantiæ meæ, cum hæc legerem in annotatione satis longa scripta, nec tamen intelligere possem, quid ea faceret ad locum explicandum et difficultatem verborum expediendam. Tandem suspicari cœpi, virum doctum et acutum rei magis quam verbis animum habuisse attentum, cum hunc locum tractaret; quod ei sæpiuscule in Xenophonte interpretando accidisse doleo. Equidem verba, uti dixi, ἔνθεν δὲ δύεται—ἐντεῦθεν spuria esse censeo et delenda.

7. ἐπίστασθε] Ita cum Paris. Eton. Zeune. Antiquum ἐπιστάμεθα revocavit Weiske.

καὶ λέγετε] Hanc Stephani lectionem ductam ex Paris. (ubi tamen λέγεται est) prætulit Zeune et Weiske. Edd. vett. Guelf. Eton. margo Steph. habent ἀεὶ λέγετε, ὅτι ὁ βορρᾶς πνεῖ, ὥστε καλὸν πλοῖα εἶναι καὶ ἀπελθεῖν εἰς τὴν Ἑλλάδα. Mihi contra καλοὶ πλοῖ vehementer displicent, et in plurimorum librorum scriptura ita leviter correcta, καὶ ἀεὶ λέγετε, ὅτι ὁ βορρᾶς πνεῖ, καλὸν πλοῦν εἶναι, ὥστε καὶ ἀπελθεῖν εἰς τὴν Ἑλλάδα, nihil equidem esse video, quod possit improbari aut reprehendi.

ὑμᾶς ἐξαπατήσῃ] Ex Eton. Paris. ὑμᾶς adjecit Zeune.

8. Ἀλλὰ γὰρ ὑμᾶς] Ita Stephanus cum Paris. scripsit; in Paris. tamen et Eton. ὑμᾶς abest. Equidem Edd. vett. Guelf. et Etonensis scripturam ἀλλ' ἄρα præfero, sine interrogationis nota, quam etiam in vulgata sustuli.

ἐμβιβῶ] Mœris: διαβιβῶ, Ἀττικῶς· διαβιβάσω, Ἑλληνικῶς.

οὐκοῦν] Ita sublata nota interrogationis cum Stephano scripsit Weiske pro οὐκ οὖν.

πλευσοῦμαι] Paris. πλεύσομαι, Eton. πορεύσομαι. Pro ἑκατὸν Edd. vett. Guelf. ἕκαστον habent. Sequens οὖν omittit Eton.

δὲ τοὐλάχιστον ἐν ἑκατόν. Πῶς ἂν οὖν ὑμᾶς ἐγὼ ἢ
βιασαίμην σὺν ἐμοὶ πλεῖν, μὴ βουλομένους, ἢ ἐξαπατή-
σας ἄγοιμι; Ποιῶ δ' ὑμᾶς ἐξαπατηθέντας καὶ κατα- 9
γοητευθέντας ὑπ' ἐμοῦ ἥκειν εἰς Φᾶσιν· καὶ δὴ καὶ ἀπο-
βαίνομεν εἰς τὴν χώραν· γνώσεσθε δήπου, ὅτι οὐκ ἐν τῇ
Ἑλλάδι ἐστέ· καὶ ἐγὼ μὲν ἔσομαι ὁ ἐξηπατηκὼς εἷς
ὑμᾶς, ὑμεῖς δὲ οἱ ἐξηπατημένοι ἐγγὺς μυρίων, ἔχοντες
ὅπλα. Πῶς ἂν οὖν εἷς ἀνὴρ μᾶλλον δοίη δίκην, ἢ οὕτω
περὶ αὑτοῦ τε καὶ ὑμῶν βουλευόμενος; Ἀλλ' οὗτοί εἰσιν 10
οἱ λόγοι ἀνδρῶν ἠλιθίων, καὶ ἐμοὶ φθονούντων, ὅτι ἐγὼ
ὑφ' ὑμῶν τιμῶμαι. Καίτοι οὐ δικαίως γ' ἄν μοι φθο-
νοῖεν. Τίνα γὰρ αὐτῶν ἐγὼ κωλύω ἢ λέγειν, εἴ τίς τι
δύναται ἀγαθὸν ἐν ὑμῖν, ἢ μάχεσθαι, εἴ τις ἐθέλει,
ὑπὲρ ὑμῶν τε καὶ ἑαυτοῦ, ἢ ἐγρηγορέναι περὶ τῆς ὑμετέ-
ρας ἀσφαλείας ἐπιμελόμενον; Τί γάρ; ἄρχοντας αἱ-
ρουμένων ὑμῶν, ἐγὼ τίνι ἐμποδών εἰμι; Παρίημι, ἀρχέ-
τω· μόνον ἀγαθόν τι ποιῶν ὑμᾶς φαινέσθω. Ἀλλὰ 11
γὰρ ἐμοὶ μὲν ἀρκεῖ περὶ τούτων τὰ εἰρημένα· εἰ δέ τις
ὑμῶν ἢ αὐτὸς ἂν ἐξαπατηθῆναι οἴεται ταῦτα, ἢ ἄλλον

9. ποιῶ δ' ὑμᾶς] *Ponam vero.* Valckenaer ad Herodoti vii. 184. malebat scriptum ποιῶ δή. Sed Euripideum καὶ δὴ Medeæ 386. Helenæ 465. diversum est; quo ipso Xenophon statim utitur.

καὶ δὴ καὶ] *Ponamus etiam nos descendere.* Hunc usum particularum καὶ δὴ docuit Valckenaer l. c. p. 591. et Hermann ad Vigerum p. 793. Vana igitur Hutchinsoni est conjectura εἰ δὲ καί.

εἷς ὑμᾶς] εἰς ὑμᾶς Junt. Guelf. εἷς εἰς ὑμᾶς Aldina, margo Villois. εἷς plane deest in Eton.

ἢ οὕτω] Porson malebat ἢ ἐγὼ οὕτω. Ita quidem sententia generalis converteretur in specialem; quod num voluerit facere Xenophon, an illud, dubitari potest.

10. δικαίως γ' ἄν μοι φθονοῖεν] Edd. vett. Guelf. τ' ἄν, Castalio τε omisit. deinceps Welsius et Hutchinson φθονεῖεν, quod vitium corrigi jussit Porson.

ἐγὼ κωλύω] Ex Eton. ἐγὼ addidit Zeune. Sequens τις idem liber omittit.

ἐθέλει] Ita cum Guelf. Zeune, alii ἐθέλοι dederunt. Deinceps ἐπιμελούμενον habet liber Brodæi.

Τί γάρ] Edd. vett. Guelf. τί γὰρ ἂν ἄρχοντας. sequens ὑμῶν omittit Juntina cum Guelf. postea ἐροῦμεν ὧν Paris. verum exhibet margo Villois.

ποιῶν ὑμᾶς] Ex Eton. ὑμᾶς adjunxi, necessarium ad sententiam loci absolvendam.

11. Ἀλλὰ γὰρ] *Sed verbum amplius non addo: nam adversus malevolorum criminationes satis dixisse videor.* Ita h. l. interpretatur Zeune.

ἢ αὐτὸς] Hæc omisit Eton. Verba Guelf. ita ordinat, ut ἢ ἐξαπ. ἂν αὐτὸς

12 ἐξαπατῆσαι ταῦτα, λέγων διδασκέτω. Ὅταν δὲ τούτων ἅλις ἔχητε, μὴ ἀπέλθητε, πρὶν ἂν ἀκούσητε, οἷον ὁρῶ ἐν τῇ στρατιᾷ ἀρχόμενον πρᾶγμα· ὃ εἰ ἔπεισι, καὶ ἔσται, οἷον ὑποδείκνυσιν, ὥρα ἡμῖν βουλεύεσθαι περὶ ἡμῶν αὐτῶν, μὴ κάκιστοί τε καὶ αἴσχιστοι ἄνδρες φανῶμεν καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων καὶ φιλίων
13 καὶ πολεμίων, καὶ καταφρονηθῶμεν. Ἀκούσαντες ταῦτα οἱ στρατιῶται, ἐθαύμασάν τε, τί εἴη, καὶ λέγειν ἐκέλευον. Ἐκ τούτου ἄρχεται πάλιν· Ἐπίστασθέ που,

ponat. Stephanus scribendum conjecit ἢ αὐτὸς ἀκούων, quia λέγων sequens cum ἐξαπατῆσαι copulabat. Zeune vulgatam interpretatur: *Si quis vero vestrum putat, vel fieri posse, ut ipse in hoc genere decipiatur, vel alium jam in eo decepisse, is oratione doceat.* Weiske posterius ταῦτα in ταὐτὰ mutandum censens aut plane tollendum verba λέγων διδασκέτω interpretatur *profiteatur et doceat*; recte. Totum locum ita vernacule vertit: *Wenn jemand glaubt, dass er wohl in diesem Punkte möchte betrogen werden, oder dass jemand in diesem Punkte auf Betrug umgehe, der sage und beweise es.* Plane diversus abit Halbkart ita vertens: *Glaubt aber Jemand von euch, dass er sich, entweder durch eignen Irrthum, oder durch fremde Ueberredung in seiner guten Meinung von mir geirrt habe, der beweise dies öffentlich.* Sed ea sententia ex verbis græcis nullo modo potest exsculpi, in quibus vir doctus non animadvertit adjunctum ἂν infinitivo ἐξαπατηθῆναι postulare, ut cum Zeunio vertas *fieri posse, ut ipse ita* (ταῦτα respicit ad sect. 5.) *decipiatur aut alium ita decipiat.* Scilicet ad sequens ἐξαπατῆσαι repetendum est ἂν, quod egregie monuit vir doctus, qui censuram dedit versionis Halbkartianæ in Ephemerid. litterariis Lipsiensibus anni 1804. p. 1775.

12. ὃ εἰ ἔπεισι] *Quod facinus si latius serpserit et tale fuerit, quale ex specimine edito cognitum habemus.* Ita Zeune interpretatur. Contra Weiske: *quæ res si ingruet seu late vagabitur: ἐπιδείκνυσιν, se ostendit.* Halbkart: *wenn dies* (*Verfahren*) *in der Art, wie wir schon ein Beyspiel haben, fortgesezt wird, und sich weiter verbreitet.* Mihi viri docti a vera sententia aberrasse videntur, falsam lectionem ἐπιδείκνυσι secuti, et vim verbo ἔπεισι facere, quod *accedet, ingruet in exercitum* significat. ὑποδείκνυσι vero, quod est in libro Eton. et Parisiensibus, dicitur de rebus et hominibus, qui subito existunt et ostendunt se non opinatis, et significationem aliquam futuri habent. Sensu neutro Polybius ii. 39, 12. τῷ μὴ δύνασθαι φῦναι προστάτην ἄξιον τῆς προαιρέσεως, ἀεὶ δὲ τὸν ὑποδείξαντα ποτὲ μὲν ὑπὸ τῆς Λακεδαιμονίων ἀρχῆς ἐπισκοτεῖσθαι καὶ κωλύεσθαι, ποτὲ δὲ μᾶλλον ὑπὸ τῆς Μακεδόνων. Xenophon sæpius verbum adhibet ita, ut significet exemplo operis vel facti proposito docere aliquem.

ὥρα ἡμῖν] Edd. vett. Guelf. ὑμῖν, et mox ὑμῖν habet Eton.

καὶ πρὸς θεῶν καὶ π. ἀνθρώπων] *Erga deos et homines* interpretatur Zeunianus Index. Sæpenumero Arriani Anabasis habet ὅσα δίκαια καὶ ὅσιά ἐστι πρὸς θεῶν καὶ ἀνθρώπων; et sic Æschylus Choeph. 119. καὶ ταῦτά μοῦ 'στιν εὐσεβῆ θεῶν πάρα. in quo loco adhæsit postremus Editor. Supra ii. 5, 20. ὃς μόνος μὲν πρὸς θεῶν ἀσεβὴς, μόνος δὲ πρὸς ἀνθρώπων αἰσχρός. Æschyli Suppl. 397. ξύμμαχον ἑλόμενος δίκαν κρῖνε σέβας τὸ πρὸς θεῶν.

καὶ φιλίων] Guelf. καὶ φίλων; plane hæc omisit Eton. qui ἀποφαινώμεθα habet pro φανῶμεν, et verba καὶ καταφρονηθῶμεν omittit.

ὅτι χωρία ἦν ἐν τοῖς ὄρεσι τοῖς βαρβαρικοῖς φίλια τοῖς
Κερασουντίοις, ὅθεν κατιόντες τινὲς καὶ ἱερεῖα ἐπώλουν
ἡμῖν, καὶ ἄλλα, ὧν εἶχον. Δοκοῦσι δέ μοι καὶ ὑμῶν
τινες, εἰς τὸ ἐγγυτάτω χωρίον τούτων ἐλθόντες, ἀγορά-
σαντές τι, πάλιν ἐλθεῖν. Τοῦτο καταμαθὼν Κλεάρε- 14
τος ὁ λοχαγὸς ὅτι καὶ μικρὸν εἴη, καὶ ἀφύλακτον, διὰ
τὸ φίλιον νομίζειν εἶναι, ἔρχεται ἐπὶ αὐτοὺς τῆς νυκτὸς,
ὡς πορθήσων, οὐδενὶ ἡμῶν εἰπών. Διενενόητο δὲ, εἰ λά- 15
βοι τὸ χωρίον, εἰς μὲν τὸ στράτευμα μηκέτι ἐλθεῖν, ἐμ-
βὰς δ᾽ εἰς τὸ πλοῖον, ἐν ᾧ ἐτύγχανον οἱ σύσκηνοι αὐτοῦ
παραπλέοντες, καὶ ἐνθέμενος, εἴ τι λάβοι, ἀποπλέων
οἴχεσθαι ἔξω τοῦ Πόντου. Καὶ ταῦτα συνωμολόγησαν
αὐτῷ οἱ ἐν τῷ πλοίῳ σύσκηνοι, ὡς ἐγὼ νῦν αἰσθάνομαι.
Παρακαλέσας οὖν, ὁπόσους ἔπειθεν, ἦγεν ἐπὶ τὸ χωρίον. 16
Πορευόμενον δὲ αὐτὸν φθάνει ἡμέρα γενομένη, καὶ συ-
στάντες οἱ ἄνθρωποι, ἀπὸ ἰσχυρῶν τόπων βάλλοντες καὶ
παίοντες, τόν τε Κλεάρετον ἀποκτείνουσι καὶ τῶν ἄλλων
συχνούς· οἱ δέ τινες καὶ εἰς Κερασοῦντα αὐτῶν ἀποχω-
ροῦσι. Ταῦτα δ᾽ ἦν ἐν τῇ ἡμέρᾳ, ᾗ ἡμεῖς δεῦρο ἐξωρμῶ- 17
μεν πεζῇ. Τῶν δὲ παραπλεόντων ἔτι τινὲς ἦσαν ἐν
Κερασοῦντι, οὔπω ἀνηγμένοι. Μετὰ τοῦτο, ὡς οἱ Κερα-
σούντιοι λέγουσιν, ἀφικνοῦνται τῶν ἐκ τοῦ χωρίου τρεῖς
ἄνδρες τῶν γεραιτέρων, πρὸς τὸ κοινὸν τὸ ἡμέτερον χρῄ-

13. τοῖς βαρβαρικοῖς] Eton. βαρβαρικὰ habet. deinde ἐπώλουν ὑμῖν Guelf.

χωρίον] Leonclaviana et Welsiana χωρίων habent.

ἐλθεῖν] Paris. ἀπῆλθον habere dicitur.

14. Κλεάρετος] Ita Guelf. hic et infra, ubi vulgo est Κλεάρατος.

καὶ μικρὸν] Ex Guelf. Eton. καὶ et sequens τῆς ante νυκτὸς addidit Zeune.

15. τὸ χωρίον] Eton. τόδε τὸ χωρίον —εἰσβάς.

εἰς τὸ πλοῖον] Articulum ex Castal. adsumsi cum Zeunio.

οἱ ἐν τῷ πλοίῳ] Margo Steph. et Paris. οἱ ἐκ τοῦ πλοίου.

17. ἐν τῇ ἡμέρᾳ] Ita Eton. Vulgo deest ἐν præpositio. Deinde ἐξορμῶμεν Guelf.

τῶν δὲ παραπλεόντων ἔτι τινὲς] Eton. τῶν πλεόντων εἴ τινες λέγουσιν, ἀφικνοῦνται, mediis omissis multis. Intelliguntur, qui v. 4, 1. dicuntur ἐκ Κερασοῦντος κατὰ θάλατταν κομίζεσθαι.

18 ζοντες ἐλθεῖν. Ἐπεὶ δὲ ἡμᾶς οὐ κατέλαβον, πρὸς τοὺς
Κερασουντίους ἔλεγον, ὅτι θαυμάζοιεν, τί ἡμῖν δόξειεν ἐλ-
θεῖν ἐπὶ αὐτούς. Ἐπεὶ μέντοι [σφᾶς λέγειν] ἔφασαν,
ὅτι οὐκ ἀπὸ κοινοῦ γένοιτο τὸ πρᾶγμα, ἥδεσθαί τε αὐ-
τοὺς καὶ μέλλειν πλεῖν δεῦρο, ὡς ἡμῖν λέξαι τὰ γενό-
μενα, καὶ τοὺς νεκροὺς θάπτειν αὐτοὺς κελεύειν λαβόν-
19 τας τοὺς τούτου δεομένους. Τῶν δ᾽ ἀποφυγόντων τινὲς
Ἕλληνες ἔτυχον ἔτι ὄντες ἐν Κερασοῦντι· αἰσθόμενοι δὲ
τοὺς βαρβάρους, ὅποι ἴοιεν, αὐτοί τε ἐτόλμησαν βάλλειν
τοῖς λίθοις, καὶ τοῖς ἄλλοις παρεκελεύοντο. Καὶ οἱ
ἄνδρες ἀποθνήσκουσι, τρεῖς ὄντες οἱ πρέσβεις, καταλευ-
20 σθέντες. Ἐπεὶ δὲ τοῦτο ἐγένετο, ἔρχονται πρὸς ἡμᾶς οἱ
Κερασούντιοι, καὶ λέγουσι τὸ πρᾶγμα· καὶ ἡμεῖς οἱ
στρατηγοὶ ἀκούσαντες ἠχθόμεθα τοῖς γεγενημένοις, καὶ
ἐβουλευόμεθα σὺν τοῖς Κερασουντίοις, πῶς ἂν ταφείησαν
21 οἱ τῶν Ἑλλήνων νεκροί. Συγκαθήμενοι δ᾽ ἔξωθεν τῶν
ὅπλων, ἐξαίφνης ἀκούομεν θορύβου πολλοῦ, παῖε, παῖε,

18. *ἐπὶ αὐτούς*] Ita Eton. Vulgo est *πρὸς αὐτούς.*

Ἐπεὶ μέντοι σφᾶς λέγειν ἔφασαν] Stephanus *ἔπειτα μέντοι* corrigebat; vulgatam Zeune ita defendi posse censebat, ut verba *σφᾶς λέγειν* in Paris. et Eton. libro omissa delerentur. Igitur seclusit. Weiske ferri posse putabat, si vertas *se credere, ita de re pronuntiare.*

ἥδεσθαί τε αὐτοὺς] Repete *οἱ Κερασούντιοι λέγουσιν*, non *ἔφασαν*, quod facere jubet Zeune.

πλεῖν δεῦρο] Ex Paris. et Eton. *ἐνταῦθα* dedit Zeune.

ὡς ἡμῖν λέξαι] Aldina, Steph. Guelf. *ὑμῖν* habent; deinde vulgatum *λέξειαν* ex Eton. et Paris. correxit Zeune.

αὐτοὺς κελεύειν] Propinquos occisorum intelligit, et barbaris opponi censet Weiske, quibus sensum humanitatis tantum tribuerit Xenophon, quo gravius crimen Græcorum istorum appareret. Sed *αὐτοὺς* in *αὐτῶν* mutat Guelf. Idem cum Castal. *θάπτειν* omittit; Juntina habet *αὐτοὺς θάπτειν.*

τοὺς τούτων δεομένους] Hæc absunt a Paris. et Eton. *τούτου* edidit Steph. quod habet a prima manu Guelf. et margo Villois.

19. *τινὲς Ἕλληνες ἔτυχον ἔτι ὄντες*] Paris. et Eton. habent *τινὰς Ἑλλήνων τυχεῖν ἔτι ὄντας.* sed ita sequentia etiam mutanda fuerint.

ὅποι ἴοιεν] Eton. *ὅποι εἶεν.* Sequens *παρεκελεύοντο* ex margine Steph. Paris. et Eton. dedi pro *διεκελεύοντο*, quod sensu diverso et alieno ab h. l. dicitur.

20. *ἠχθόμεθα*] Ex Eton. et Guelf. *τε* adjunxit Zeune. Deinceps *ὅπως ἂν* habet Eton.

21. *ἔξωθεν τῶν ὅπλων*] *Extra* vel *ante castra, ἔμπροσθεν τῶν ὅπλων alibi, ubi conciliabantur duces exercitus.*

παῖε, παῖε] Alterum *παῖε* omittit Eton.

βάλλε, βάλλε. Καὶ τάχα δὴ ὁρῶμεν πολλοὺς προσ-
θέοντας, λίθους δ' ἔχοντας ἐν ταῖς χερσὶ, τοὺς δὲ καὶ
ἀναιρουμένους. Καὶ οἱ μὲν Κερασούντιοι, ὡς ἂν καὶ ἑω- 22
ρακότες τὸ παρ' ἑαυτοῖς πρᾶγμα, δείσαντες ἀποχωροῦσι
πρὸς τὰ πλοῖα. Ἦσαν δὲ, νὴ Δία, οἳ καὶ ἡμῶν ἔδεισαν.
Ἔγωγε μὴν ἦλθον πρὸς αὐτοὺς, καὶ ἠρώτων, ὅ τι ἐστὶ τὸ 23
πρᾶγμα. Τῶν δ' ἦσαν μὲν, οἳ οὐδὲν ᾔδεσαν, ὅμως δὲ
λίθους εἶχον ἐν ταῖς χερσίν. Ἐπεὶ δὲ καὶ εἰδότι τινὶ
ἐνέτυχον, λέγει μοι, ὅτι οἱ ἀγορανόμοι δεινότατα ποιοῦσι
τὸ στράτευμα. Καὶ ἐν τούτῳ τις ὁρᾷ τὸν ἀγορανόμον 24
Ζήλαρχον, πρὸς τὴν θάλατταν ἀποχωροῦντα, καὶ ἀνέ-
κραγεν· οἱ δ', ὡς ἤκουσαν, ὥσπερ ἢ συὸς ἀγρίου ἢ ἐλά-
φου φανέντος, ἵενται ἐπ' αὐτόν. Οἱ δ' αὖ Κερασούν- 25
τιοι, ὡς εἶδον ὁρμῶντας καθ' ἑαυτοὺς, νομίσαντες ἐπὶ
σφᾶς ἵεσθαι, φεύγουσι δρόμῳ, καὶ ἐμπίπτουσιν εἰς τὴν
θάλατταν. Συνεισέπεσον δὲ καὶ ἡμῶν αὐτῶν τινες, καὶ
ἐπνίγετο, ὅστις μὴ ἐτύγχανεν ἐπιστάμενος νεῖν. Καὶ 26
τούτους τί δοκεῖτε; ἠδίκουν μὲν οὐδὲν, ἔδεισαν δὲ, μὴ
λύσσα τις ὥσπερ κυσὶν ἡμῖν ἐμπεπτώκοι. Εἰ οὖν ταῦτα
τοιαῦτα ἔσται, θεάσασθε, οἵα κατάστασις ἡμῖν ἔσται
τῆς στρατιᾶς. Ὑμεῖς μὲν οἱ πάντες οὐκ ἔσεσθε κύριοι 27
οὔτ' ἀνελέσθαι πόλεμον, ᾧ ἂν βούλησθε, οὔτε καταλύ-

22. παρ' ἑαυτοῖς] Edd. vett. Guelf. αὐτοῖς. Deinceps ἦσαν δ' ἔνδηλοι καὶ ἡμῶν οἵ Paris. Eton.

23. καὶ εἰδότι τινὶ ἐνέτυχον] Eton. omisso καὶ et τινὶ habet ἐπέτυχον.

24. καὶ ἐν τούτῳ] Eton. καὶ omisit; ex eodem vulgatum ἀναχωροῦντα correxi.

ὥσπερ ἢ συὸς] Ex Eton. ἢ adscivi euphoniæ et numeri causa.

25. Οἱ δ' αὖ] Ex eodem Eton. vulgatum Οἱ δὲ Κερ. correxit Zeune.

νομίσαντες ἐπὶ σφᾶς] Stephanus memorat scripturas has: νομίσαντες σαφῶς ἐπὶ σφᾶς ἵεσθαι; alteram: σαφῶς νομίζοντες ἐπὶ σφαγὰς γίνεσθαι. Paris. habet σαφῶς νομίζοντες ἐπὶ σφᾶς γίνεσθαι. Eton. etiam γίνεσθαι habet.

ἐτύγχανεν ἐπιστάμενος] Guelf. ἐπιστ. ἐτύγχανεν.

26. τί δοκεῖτε] Paris. et Eton. addunt δεῖσαι δηλονότι. quod idem addjtamentum in libris scriptis repertum a grammatico aliquo profectum esse censuit Stephanus.

λύσσα] Ita cum Stephano margo Villois. λυσσῶν Edd. vett. Guelf.

27. ἀνελέσθαι] Edd. vett. Guelf. Eton. ἂν ἑλέσθαι. deinceps βούλοισθε—θέλοι Eton.

σαι· ἰδίᾳ δὲ ὁ βουλόμενος ἄξει στράτευμα, ἐφ' ὅ τι ἂν
ἐθέλῃ. Κἄν τινες πρὸς ὑμᾶς ἴωσι πρέσβεις, ἢ εἰρήνης
δεόμενοι ἢ ἄλλου τινὸς, κατακαίνοντες τούτους οἱ βουλό-
μενοι, ποιήσουσιν ὑμᾶς τῶν λόγων μὴ ἀκοῦσαι τῶν πρὸς
28 ὑμᾶς ἰόντων. Ἔπειτα δὲ, οὓς μὲν ἂν ὑμεῖς ἅπαντες ἕλησθε
ἄρχοντας, ἐν οὐδεμιᾷ χώρᾳ ἔσονται· ὅστις δ' ἂν ἑαυτὸν
ἕληται στρατηγὸν, καὶ ἐθέλῃ λέγειν, βάλλε, βάλλε,
οὗτος ἔσται ἱκανὸς καὶ ἄρχοντα κατακαίνειν καὶ ἰδιώτην
ὑμῶν, ὃν ἂν ἐθέλῃ, ἄκριτον, ἂν ὦσιν οἱ πεισόμενοι αὐτῷ,
29 ὥσπερ καὶ νῦν ἐγένετο. Οἷα δ' ὑμῖν καὶ διαπεπράχα-
σιν οἱ αὐθαίρετοι οὗτοι στρατηγοὶ, σκέψασθε. Ζήλαρ-
χος μὲν γὰρ ὁ ἀγορανόμος, εἰ μὲν ἀδικεῖ ὑμᾶς, οἴχεται
ἀποπλέων, οὐ δοὺς ὑμῖν δίκην· εἰ δὲ μὴ ἀδικεῖ, φεύγει
ἐκ τοῦ στρατεύματος, δείσας, μὴ ἀδίκως ἄκριτος ἀπο-
30 θάνῃ. Οἱ δὲ καταλεύσαντες τοὺς πρέσβεις διεπρά-
ξαντο, ὑμῖν μόνοις μὲν τῶν Ἑλλήνων εἰς Κερασοῦντα μὴ
ἀσφαλὲς εἶναι, ἐὰν μὴ σὺν ἰσχύϊ, ἀφικνεῖσθαι· τοὺς δὲ
νεκροὺς, οὓς πρόσθεν αὐτοὶ οἱ κατακανόντες ἐκέλευον
θάπτειν, τούτους διεπράξαντο μηδὲ σὺν κηρυκίῳ ἔτι ἀσ-
φαλὲς εἶναι ἀνελέσθαι. Τίς γὰρ ἐθελήσει κῆρυξ ἰέναι,
31 κήρυκας ἀπεκτονώς; Ἀλλ' ἡμεῖς Κερασουντίων θάψαι
αὐτοὺς ἐδεήθημεν. Εἰ μὲν οὖν καλῶς ἔχει ταῦτα, δο-
ξάτω ὑμῖν· ἵνα, ὡς τοιούτων ἐσομένων, καὶ φυλακὴν ἰδίᾳ

ἢ ἄλλου τινος] Eton. εἶναι οὕστινας κατακτείναντες.

28. κατακαίνειν καὶ ἰδιώτην ὑμῶν] Eton. κατακτανεῖν omisso ὑμῶν; deinde idem πειθόμενοι habet.

29. Οἷα δ' ὑμῖν] Ex Paris. vulgatum ἡμῖν correxit Zeune, et πεπράχασιν mutavit ex margine Steph. Paris. Eton. Ego præterea καὶ ex Paris. adjunxi post ὑμῖν.

μὲν γὰρ] Eton. liber γὰρ omittit, et deinceps ἡμᾶς habet, ut postea ἡμῖν Guelf.

δείσας] Abest a libro Etonensi.

30. ὑμῖν μόνοις] Eton. ἡμῖν μόνοις— ἀφικνῆσθε. Edd. vett. Guelf. ἀφικνεῖσθε.

31. Ἀλλ' ἡμεις] Redi ad sect. 20. Sensum non vidit loci Zeune, quem Weiske his verbis aperuit: *denique nos quidem neminem fore censuimus, qui illam legationem suscipere vellet, rogavimusque Cerasuntios, ut,* &c. Ceterum Eton. θάψαι αὐτῶν habet.

ποιήσῃ τις, καὶ τὰ ἐρυμνὰ ὑπερδέξια πειρᾶται ἔχων σκη-
νοῦν. Εἰ μέντοι δοκεῖ ὑμῖν θηρίων, ἀλλὰ μὴ ἀνθρώ- 32
πων, εἶναι τὰ τοιαῦτα ἔργα, σκοπεῖτε παῦλάν τιν' αὐ-
τῶν· εἰ δὲ μή, πρὸς Διός, πῶς ἢ θεοῖς θύσομεν ἡδέως,
ποιοῦντες ἔργα ἀσεβῆ, ἢ τοῖς πολεμίοις πῶς μαχούμε-
θα, ἢν ἀλλήλους κατακαίνωμεν; Πόλις δὲ φιλία τίς 33
ἡμᾶς δέξεται, ἥτις ἂν ὁρᾷ τοσαύτην ἀνομίαν ἐν ἡμῖν;
Ἀγορὰν δὲ τίς ἄξει θαῤῥῶν, ἢν περὶ τὰ μέγιστα τοιαῦτα
ἐξαμαρτάνοντες φαινώμεθα; Οὗ δὲ δὴ πάνυ οἰόμεθα
τεύξεσθαι ἐπαίνου, τίς ἂν ἡμᾶς τοιούτους ὄντας ἐπαινέ-
σειεν; ἡμεῖς μὲν γὰρ οἶδ' ὅτι πονηροὺς ἂν φαίημεν εἶναι
τοὺς τὰ τοιαῦτα ποιοῦντας.

Ἐκ τούτου ἀνιστάμενοι πάντες ἔλεγον, τοὺς μὲν τούτων 34
ἄρξαντας δοῦναι δίκην, τοῦ δὲ λοιποῦ μηκέτι ἐξεῖναι ἀνο-
μίας ἄρξαι· ἐὰν δέ τις ἄρξῃ, ἄγεσθαι αὐτοὺς ἐπὶ θανά-

ποιήσῃ] Edd. vett. Guelf. *ποιῆσαι.*

32. *μέντοι*] Guelf. *μέντι* habet.

33. *τίς ἄξει*] Edd. vett. Guelf. *ἕξει.* Deinceps Stephanus conjecit scribendum: *περὶ τοὺς ἄλλους τὰ μέγιστα.* Weiske contra monet *τὰ μέγιστα* esse h. l. *τὰ ἐν τῇ ἀγορᾷ.* Ad hæc autem, quorum maximum sit in foro momentum, pertinere *τοὺς ἀγορανόμους*, ad quorum iniquam conditionem respicere Xenophontem. Vitium loci bene sensisse videtur Stephanus, cui Weiskiana interpretatio nullo modo medetur. Aliam rationem iniit Halbkart scribendo *ἣν πέρι τὰ μέγιστα τοιαῦτα—φαινώμεθα*; contra quem monuit Censor Lipsiensis in Ephemeridibus anni 1804. p. 1775. ita *ἀγορὰν* gemina notione poni, deinde debere esse *φαινόμεθα.* Ipse *περὶ τὰ μέγιστα in rebus maximi momenti* interpretatur, et *τοιαῦτα* sensu adverbii dictum censet. Mihi vero locus lacunosus esse videtur, et post verba *ἄξει θαῤῥῶν* excidisse videntur verba aliquot, quæ injuriam *ἀγορανόμοις* illatam, deinde vero cædem legatorum vel præconum significabant. Cædes præconum, utpote gravissima juris gentium violatio, cum impietate conjuncta, inprimis significari videtur verbis *περὶ τὰ μέγιστα.*

δὴ πάνυ] Edd. vett. Guelf. *δεῖ πάνυ οἰώμεθα.* Eton. *οὗ δὴ πάντων οἰώμεθα τεύξεσθαι ἐπαίνων.* Zeune cum Hutchinsono intelligit ante *ἐπαίνου* præpositionem *περὶ*, *Jam quod attinet ad laudem, quam nos omnino consecuturos esse speramus.* Contra Weiske *πάντως* præferebat: difficultatem vertendo obscuravit Halbkart. Mihi *πάντων* præplacet, et structura verborum naturalis talis esse debuisse videtur: *πάντων δὲ (τούτων) ὧν τοῦ ἐπαίνου δὴ οἰόμεθα τεύξεσθαι, τίς ἂν ἡμᾶς—ἐπαινέσειεν*; Sed Xenophon *οὗ* dixit referens ad *ἐπαίνου*, cum exspectares *ὧν* ad *πάντων* relatum. Pro *ἡμᾶς* alii libri præter Edd. vett. Steph. secundam, Codd. Paris. et Guelf. dant *ὑμᾶς.*

34. *ἄρξαντας*] Edd. vett. Guelf. Eton. *ἄρξοντας.* Sequens *μηκέτι* vulgato *οὐκέτι* cum Paris. et Eton. prætulit Zeune.

ἄγεσθαι—θανάτῳ] Juntina, Guelf. Eton. *θανάτου* sine *ἐπί.* Aldina, Steph. *θανάτῳ.* Paris. *ἄγασθαι—θανάτου.*

τῳ· τοὺς δὲ στρατηγοὺς εἰς δίκας πάντας καταστῆσαι· εἶναι δὲ δίκας, καὶ εἴ τι ἄλλο τις ἠδίκητο, ἐξ οὗ Κῦρος ἀπέθανε· δικαστὰς δὲ τοὺς λοχαγοὺς ἐποιήσαντο.
35 Παραινοῦντος δὲ Ξενοφῶντος, καὶ τῶν μάντεων συμβουλευόντων, ἔδοξε καὶ καθᾶραι τὸ στράτευμα. Καὶ ἐγένετο καθαρμός.

CAP. VIII.

ΕΔΟΞΕ δὲ καὶ τοὺς στρατηγοὺς δίκην ὑποσχεῖν τοῦ παρεληλυθότος χρόνου. Καὶ διδόντες, Φιλήσιος μὲν ὦφλε καὶ Ξανθικλῆς τῆς φυλακῆς τῶν γαυλικῶν χρημάτων τὸ μείωμα, εἴκοσι μνᾶς· Σοφαίνετος δὲ, ὅτι ἄρχων αἱρεθεὶς κατημέλει, δέκα μνᾶς. Ξενοφῶντος δὲ κατηγόρησάν τινες, φάσκοντες παίεσθαι ὑπ᾽ αὐτοῦ, καὶ
2 ὡς ὑβρίζοντος τὴν κατηγορίαν ἐποιοῦντο. Καὶ ὁ Ξενοφῶν

Margo Steph. ἄρξεσθαι—θανάτου. Ex Mureti emendatione ἐπὶ θανάτῳ dedit primus Hutchinson, comparans i. 6, 10.

εἰς δίκας] Edd. vett. Guelf. δίκας omittunt. Sequens τις abesse malim.

35. καθαρμός] Eton. liber καθαρὰ habet, quod ex κάθαρμα ortum habere censet Zeune.

1. διδόντες] sc. δίκην. Contra Eton. et Paris. διδόντων dant.

γαυλικῶν] Prætulit hanc scripturam confirmatam a libro Eton. vulgatæ γαυλιτικῶν, quod est etiam in Guelf. (γαυλιτῶν in Paris.) Leonclavius, Welsius et Hutchinson. Hesychius hunc ipsum locum respicere videtur, ubi docet: Γαῦλοι—καὶ τὰ Φοινικικὰ πλοῖα γαῦλοι καλοῦνται· καὶ γαυλικὰ χρήματα τὰ ἀπὸ τῶν πλοίων. Schol. ad Aristophanis Aves versu 599. Γαῦλος Φοινικικὸν σκάφος, καὶ νῦν προπερισπώμενον· ἐπὶ δὲ τοῦ ἀγγείου ὀξυτόνως. Καλλίμαχος Κυπρόθε Σιδόνιός με κατήγαγεν ἐνθάδε γαῦλος. Hesychii interpretationem ad merces navibus vectas recte refert Weiske, de quibus est v. 1, 16. comparans Hellenicorum i. 6, 38. τὰ χρήματα ἐνθεμένους ἐς τὰ πλοῖα. Cum aliis Zeune de naulo (cf. v. 1, 12.) interpretatur naucleris solvendo. Alii intelligunt pecuniam de navigiis coactam. Γαυλιτικῶν tamen exhibet Lexicon MS. rhetoricum a Ruhnkenio ad Hesychium comparatum, et Etymologicum M. p. 221. l. 48. ubi pars interpretationis extat. Lexicon rhetoricum diserte Xenophontem auctorem nominat. In Aristophane γαυλὸς editum habet Editio Brunckiana.

τὸ μείωμα] *Defectum* interpretatur Index Zeunianus, *imminutionem mercium* Weiske, qui totam locutionem explicat: *multatus est ob imminutas merces.* Genitivum casum τῆς φυλακῆς refert ad intelligendum ἕνεκα vel δίκην, ut εἴκοσι μνᾶς per appositionem jungantur.

ἄρχων αἱρεθεὶς] Ex Eton. libro ἄρχων primus restituit Hutchinson, quod vocabulum tamen jam olim Amasæus vertendo expressit: sed hic male κατημέλει reddidit *recusasset*, cum sit de negligentia in munere obeundo. Cf. v. 3, 1. Leonclavius αἱρεθεὶς εἰς τόδε conjecerat.

ἀναστὰς ἐκέλευσεν εἰπεῖν τὸν πρῶτον, πρῶτον λέξαντα,
ποῦ καὶ ἐπλήγη. Ὁ δὲ ἀποκρίνεται· Ὅπου καὶ τῷ
ῥίγει ἀπωλλύμεθα, καὶ χιὼν πλείστη ἦν. Ὁ δ᾽ εἶπεν· 3
Ἀλλὰ μὴν καὶ χειμῶνός γε ὄντος, οἵου λέγεις, σίτου δὲ
ἐπιλελοιπότος, οἴνου δὲ μηδ᾽ ὀσφραίνεσθαι παρόντος, ὑπὸ
δὲ πόνων πολλῶν ἀπαγορευόντων, πολεμίων δὲ ἑπομένων,
εἰ ἐν τοιούτῳ καιρῷ ὕβριζον, ὁμολογῶ καὶ τῶν ὄνων ὑβρι-
στότερος εἶναι· οἷς φασὶν ὑπὸ τῆς ὕβρεως κόπον οὐκ ἐγ-
γίγνεσθαι. Ὅμως δὲ καὶ λέξον, ἔφη, ἐκ τίνος ἐπλή- 4
γης. Πότερον ᾔτουν τι σέ, καί, ἐπεὶ οὐκ ἐδίδως,
ἔπαιον; ἀλλ᾽ ἀπῄτουν; ἀλλὰ περὶ παιδικῶν μαχόμενος,
ἀλλὰ μεθύων παρῴνησα; Ἐπεὶ δὲ τούτων οὐδὲν ἔφησεν, 5
ἐπήρετο αὐτόν, εἰ ὁπλιτεύοι· Οὐκ ἔφη· πάλιν, εἰ πελ-
τάζοι· Οὐδὲ τοῦτ᾽ ἔφη· ἀλλ᾽ ἡμίονον ἤλαυνον, ταχθεὶς

2. ἀναστὰς] Liber Eton. omittit. alterum πρῶτον omittunt Castal. Codex Paris. Eton. Regius B. et in Regio A. erasum erat.

ποῦ καὶ ἐπλήγη] Male Dorville ad Charit. p. 295. vertit: *qua in corporis parte percussus fuerit.*

τῷ ῥίγει] Eton. articulum omittit. Deinceps ἀπολλύμεθα Edd. vett. et Guelf. Ceterum compara de tempore iv. 4, 11.

3. παρόντος] Margo Steph. cum Paris. et Eton. libro παρὸν dat. Porson comparat Philemonem Stobæi Serm. 86. σιτάρια μικρὰ προσφέρων οἴνου θ᾽ ὅσον ὀσμήν. et Alexin Athenæi iv. p. 134. ἅπαντες ὀρχοῦντ᾽ εὐθὺς, ἢν οἴνου μόνον ὀσμὴν ἴδωσιν.

ὑβριστότερος] Proverbium repetit Lucianus in Pseudologista, ubi est ὄνων ἁπάντων ὑβριστότατος. In Piscatore est ἀσελγεστέρους τῶν ὄνων. Proprie asini libidine exardescentes dicuntur lascivire, ὑβρίζειν, atque ita verbo de asinis utitur Herodotus iv. 129. Plinius viii. 69. scribit, *asinas mares fatigatos melius implere.* Cf. ad Columellæ vi. 37. Ceterum verba οἷς φασὶν—οὐκ ἐγγίγνεσθαι Moro visa sunt spuria, quocum sentit Zeune. Hæc est viri docti annotatio: *Plane incongruum est, eum, qui proverbio utitur, quod omnibus notum esse debet, explicationem ejus ex ipsa naturæ historia et observatione repetitam addere.* Contra Weiske: *Hæc verba in Xenophonte me quidem non offendunt, præsertim cum proverbium explicetur minus vulgo frequentatum.* Mihi ita videtur. Proverbium quidem vulgo notum esse debet, quo quis in oratione ad vulgus utitur; itaque interpretationem ejus addere, ineptum foret. Sed utitur Xenophon proverbiali locutione ὄνων ὑβριστότερος non sensu proprio de libidine, sed de animi impotentia hominis in ipsis malis suis alienisque insultantis. Opus igitur erat interpretatione brevi, ut doceretur, apte comparari ejusmodi hominem cum asinis ὑβριστοτάτοις.

κόπον] Margo Steph. τόκον, Paris. τόπον habet.

4. ἔφη, ἐκ τίνος] Ex libro Brodæi et Eton. ἔφη addidit Zeune. ἐκ τίνος est *quam ob causam.* Deinceps Juntina παρῴνημα, Eton. ἐπαρῴνησα.

5. ἤλαυνον] Paris. ἐλαύνειν. quod ferri potest, si repetatur ἔφη. Deinceps ὑπὸ συσκήνων dat Eton.

6 ὑπὸ τῶν συσκήνων, ἐλεύθερος ὤν. Ἐνταῦθα δὴ ἀνα-
γιγνώσκει τε αὐτὸν, καὶ ἤρετο· Ἦ σὺ εἶ ὁ τὸν κάμνοντα
ἀπάγων; Ναὶ μὰ Δί', ἔφη· σὺ γὰρ ἠνάγκαζες· τὰ δὲ
7 τῶν ἐμῶν συσκήνων σκεύη διέῤῥιψας. Ἀλλ' ἡ μὲν διάῤ-
ῥιψις, ἔφη ὁ Ξενοφῶν, τοιαύτη τις ἐγένετο· Διέδωκα ἄλ-
λοις ἄγειν, καὶ ἐκέλευσα πρὸς ἐμὲ ἀπάγειν· καὶ ἀπο-
λαβὼν ἅπαντα σῶα, ἀπέδωκά σοι, ἐπεὶ καὶ σὺ ἐμοὶ
ἀπέδειξας τὸν ἄνδρα. Οἷον δὲ τὸ πρᾶγμα ἐγένετο, ἀκού-
σατε, ἔφη· καὶ γὰρ ἄξιον·
8 Ἀνὴρ κατελείπετο, διὰ τὸ μηκέτι δύνασθαι πορεύε-
σθαι. Καὶ ἐγὼ τὸν μὲν ἄνδρα τοσοῦτον ἐγίγνωσκον, ὅτι
εἷς ἡμῶν εἴη· ἠνάγκασα δέ σε τοῦτον ἄγειν, ὡς μὴ ἀπό-
λοιτο· καὶ γὰρ, ὡς ἐγὼ οἶμαι, πολέμιοι ἐφείποντο.
9 Συνέφη τοῦτο ὁ ἄνθρωπος. Οὐκοῦν, ἔφη ὁ Ξενοφῶν,
ἐπεὶ προὔπεμψά σε, καταλαμβάνω αὖθις, σὺν τοῖς
ὀπισθοφύλαξι προσιὼν, βόθρον ὀρύττοντα, ὡς κατορύ-
10 ξοντα τὸν ἄνθρωπον· καὶ ἐπιστὰς ἐπῄνουν σε. Ἐπεὶ δὲ
παρεστηκότων ἡμῶν συνέκαμψε τὸ σκέλος ὁ ἀνὴρ, ἀνέ-
κραγον οἱ παρόντες, ὅτι ζῇ ὁ ἀνήρ· σὺ δ' εἶπες· Ὁπόσα

6. Ἦ σὺ εἶ] Vulgatum Εἰ σὺ εἶ recte vertunt *Tune is es?* sed εἰ in tali quæstione nuspiam adhibitum vidi; quare solenne ἦ reposui.

διέῤῥιψας] Eton. διέῤῥηξας, margo Villois. ἔῤῥιψας. Simplex verbum præfero, sed sequitur διάῤῥιψις.

7. ἀπάγειν] Ex Paris. ἀγαγεῖν recepit Zeune, propter Thomæ observationem, qui monet verbum κελεύειν infinitivum aoristi junctum solere habere.

8. δέ σε τοῦτον] Pronomen σε ex libro Brodæi, Paris. Eton. et Stephaniana adjunxit Zeune.

ἐφείποντο] Eton. liber anteponit pronomen ἡμῖν. Deinceps Edd. vett. Guelf. συνέφη γ' οὕτως. margo Villois. συνέφη γὰρ οὕτως habet.

9. κατορύξοντα] Male Paris. κατορύττοντα habet scriptum.

10. συνέκαμψε] Margo Steph. συνανέκαμψε dat.

Ὁπόσα γε βούλεται· ὡς ἔγωγε] Vulgatum εἶπες ὁπόσα γ' ἐβούλου, ὡς cum Mureto et Codicibus Regiis A. B. mutavi. Muretus interpretatur: *Vivat sane, quantum vult: nam ego quidem eum hinc non eveham.* Sed Larcherus ita: *Quelque chose qu'on dise, je ne le porterai point.* Intelligit nempe ὅδε ἀνὴρ, id est Xenophon, ad verbum βούλεται; sed plura intelligere oportet, ut sententia ista ex verbis possit extundi. Quare equidem simpliciter Mureti interpretationem amplector, in qua refertur βούλεται ad præcedens ζῇ ὁ ἀνὴρ, quod simul omnes præsentes milites conclamaverant. Accedit tertius liber Regius C. in quo tamen est βούληται. Zeunio lectio vulgaris elegantior videtur, quam

γε βούλεται· ὡς ἔγωγε αὐτὸν οὐκ ἄξω. Ἐνταῦθα
ἔπαισά σε· ἀληθῆ λέγεις· ἔδοξας γάρ μοι εἰδότι ἐοικέ-
ναι, ὅτι ἔζη. Τί οὖν; ἔφη, ἧττόν τι ἀπέθανεν, ἐπεὶ ἐγώ 11
σοι ἀπέδειξα αὐτόν; Καὶ γὰρ καὶ ἡμεῖς, ἔφη ὁ Ξενο-
φῶν, πάντες ἀποθανούμεθα· τούτου οὖν ἕνεκα ζῶντας
ἡμᾶς δεῖ κατορυχθῆναι; Τοῦτον μὲν ἀνέκραγον πάντες 12
ὡς ὀλίγας παίσειεν· ἄλλους δὲ ἐκέλευον λέγειν, διὰ τί
ἕκαστος ἐπλήγη. Ἐπεὶ δ᾽ οὐκ ἀνίσταντο, αὐτὸς ἔλε-
γεν·

Ἐγώ, ὦ ἄνδρες, ὁμολογῶ παῖσαι δὴ ἄνδρας πολλοὺς 13

ita interpretatur: *dicebas cupide, temere, non quæ debebas, sed quæ cupiebas.* Weiske in Mureti ratione reprehendit, quod ita saltem ὁπόσον scriptum oportuerat. Ipse vulgatam ita tuetur, ut ὁπόσα positum putet pro ὁποσάκις; idque cum ἐβούλου junctum significare ait *quam sæpissime. Tu vero pertinaciter idem illud crepabas: Ego eum non portabo.* Exemplum simile non posuit vir doctus; nec uspiam tale repertum iri puto. Distinctionem etiam mutavit et posuit: ἐβούλου, ὡς· Ἔγωγε. Sed qui græce sciunt, norunt particulam ὡς in ejusmodi oratione non anteponi; in altera vero ratione Mureti ὡς solenni more positum sequitur et causam reddit præcedentis orationis.

ἔδοξας] Male Eton. ἔδοξε,

11. καὶ γὰρ καὶ] Cum Hutchinsono et Weiskio Stephani conjecturam, qui alterum καὶ addidit, recepi. πάντες omittit Eton. Deinceps κατορυχθῆναι dedi ex libro Brodæi et Eton. pro vulgato κατορυγῆναι.

12. Τοῦτον μὲν] Stephanus οὖν adjungi voluit; recte, puto. Sequens πάντες omittit Eton. Ad ὀλίγας intellige πληγάς. sed margo Villois. ὀλίγου habet.

παίσειεν] Edd. vett. Guelf. παίσαιεν.

ἄλλους δὲ ἐκέλευον] Vulgatum ἄλλον δὲ ἐκέλευον Stephanus corrigebat ἄλλον δ᾽ ἐκέλευε. Paris. Eton. ἄλλος δ᾽ ἐκέλευε habent. unde Hutchinson effecit ἄλλος δ᾽ ἐκέλευε, quod recepit Zeune. Amasæus etiam vertit: *Tunc alios dicere jusserunt.* Sed recte monuit Weiske ita scriptum oportuisse ἄλλους δὲ ὁ Ξενοφῶν ἐκέλευε. Ipse igitur Weiskium secutus sum, ita tamen, ut locum nondum persanatum esse statuam. Suspicor fuisse olim: Ξενοφῶν δὲ καὶ τοὺς ἄλλους ἐκέλευε λέγειν—ἐπεὶ δὲ οὐδεὶς ἀνίστατο. Certe liber Brodæi et Eton. habent ἀνίστατο.

13. πολλοὺς] Omittit Paris. et Eton. deinceps ἕνεκεν ob εὐφωνίαν dedit Zeune ex Guelf. et Paris.

[Oratio Xenophontis non solum modestior erit et prudentior, sed ipsa etiam periodus verborum arctius colligabitur, si scripturam recipiamus Codicum Paris. et Eton. hanc: Ἐγώ, ὦ ἄνδρες, ὁμολογῶ παῖσαι δὴ ἄνδρας ἕνεκα ἀταξίας, ὅσοις σώζεσθαι μὲν ἤρκει δι᾽ ὑμᾶς, ἐν τάξει τε ἰόντων καὶ μαχομένων, ὅπου δέοι. ubi vulgo editur: ἄνδρας πολλοὺς ἕνεκα ἀταξίας, οἷς et reliqua. Sed offendunt me measque aures genitivi subsequentes ἰόντων μαχομένων post pronominis accusativum ὑμᾶς, nec video, quid lucremur intelligendo ὑμῶν cum Zeunio ad genitivos illos tam dure accusativo proximo reluctantes emolliendos. Quid enim impediit Xenophontem, quominus subjungeret ἰόντας μαχομένους? Exemplum similis inversionis casuum, cujus ratio commoda aut probabilis non appareat, equidem alibi in Xenophonte reperire non memini. *Ex Epistola.*]

ἕνεκα ἀταξίας· οἷς σώζεσθαι μὲν ἤρκει δι' ὑμᾶς, ἐν
τάξει τε ἰόντων καὶ μαχομένων, ὅπου δέοι· αὐτοὶ δὲ λι-
πόντες τὰς τάξεις, προθέοντες ἁρπάζειν ἤθελον, καὶ
ὑμῶν πλεονεκτεῖν. Εἰ δὲ τοῦτο πάντες ἐποιοῦμεν, ἅπαν-
14 τες ἂν ἀπωλόμεθα. Ἤδη δὲ καὶ μαλακιζόμενόν τινα,
καὶ οὐκ ἐθέλοντα ἀνίστασθαι, ἀλλὰ προϊέμενον ἑαυτὸν
τοῖς πολεμίοις, καὶ ἔπαισα, καὶ ἐβιασάμην πορεύεσθαι.
Ἐν γὰρ τῷ ἰσχυρῷ χειμῶνι καὶ αὐτός ποτε ἀναμένων
τινὰς συσκευαζομένους, καθεζόμενος συχνὸν χρόνον, κατ-
έμαθον ἀναστὰς μόγις, καὶ τὰ σκέλη μόγις ἐκτείνας.
15 Ἐν ἐμαυτῷ οὖν πεῖραν λαβὼν, ἐκ τούτου καὶ ἄλλον,
ὁπότε ἴδοιμι καθήμενον καὶ βλακεύοντα, ἤλαυνον· τὸ
γὰρ κινεῖσθαι καὶ ἀνδρίζεσθαι παρεῖχε θερμασίαν τινὰ
καὶ ὑγρότητα· τὸ δὲ καθῆσθαι καὶ ἡσυχίαν ἔχειν ἑώρων
ὑπουργὸν ὂν τῷ τε ἀποπήγνυσθαι τὸ αἷμα, καὶ τῷ ἀπο-
σήπεσθαι τοὺς τῶν ποδῶν δακτύλους· ἅπερ πολλοὺς
16 καὶ ὑμεῖς ἴστε παθόντας. Ἄλλον δέ γε ἴσως ὑπολει-
πόμενόν που διὰ ῥᾳστώνην, καὶ κωλύοντα καὶ ὑμᾶς τοὺς
πρόσθεν καὶ ἡμᾶς τοὺς ὄπισθεν πορεύεσθαι, ἔπαισα
17 πὺξ, ὅπως μὴ λόγχῃ ὑπὸ τῶν πολεμίων παίοιτο. Καὶ
γὰρ οὖν νῦν ἔξεστιν αὐτοῖς σωθεῖσιν, εἴ τι ὑπ' ἐμοῦ ἔπα-
θον παρὰ τὸ δίκαιον, δίκην λαβεῖν. Εἰ δ' ἐπὶ τοῖς

οἷς σώζεσθαι] Paris. Eton. ὅσοις σώζ. deinceps ἡμᾶς Eton. habet.

ἤρκει] Leonclavii versionem laudat Zeune: *quibus satis fiebat, quod opera vestra salvi essent.* Rectius Hutchinson: *qui satis quidem habuerunt vestra opera incolumes evadere.* *Halbkart* venuste: *die es sich zwar gefallen liessen, durch euch geschützt zu seyn.*

ὑμῶν πλεονεκτεῖν] Eton. ἡμῶν habet. Deinde ἀπολώμεθα Edd. vett. Guelf. ἀπωλώμεθα Castalio.

14. μαλακιζόμενον] Eton. μάλα πιεζόμενον. Sequentia comparabam cum Cyrop. vii. 5, 76. ἐπὶ τὸ αὐτίκα ἡδὺ προϊέναι αὐτόν. ubi προΐεσθαι scriptum malo.

κατέμαθον ἀναστὰς] *Sensi me difficulter surgere*, Zeune. Contra Weiske ad h. l. ἀναστὰς scilicet εἶναι, pro ἐμὲ ἀναστῆναι.

μόγις] Alterum μόγις abest a libro Etonensi.

15. ἴδοιμι] Edd. vett. εἴδοιμι.

16. ὑπολειπόμενόν που] Paris. ἀπολειπόμενον, Eton. ὑπολιπόμενον. Sequens που ex margine Steph. Paris. Eton. addidit Zeune.

17. νῦν ἔξεστιν] Eton. νῦν omittit.

πολεμίοις ἐγένοντο, τί μέγα ἂν οὕτως ἔπαθον, ὅτου δίκην
ἂν ἠξίουν λαμβάνειν; Ἁπλοῦς μοι, ἔφη, ὁ λόγος. Ἐγὼ 18
γὰρ, εἰ μὲν ἐπ' ἀγαθῷ ἐκόλασά τινα, ἀξιῶ ὑπέχειν
δίκην, οἵαν καὶ γονεῖς υἱοῖς καὶ διδάσκαλοι παισί. Καὶ
γὰρ καὶ οἱ ἰατροὶ τέμνουσι καὶ καίουσιν ἐπ' ἀγαθῷ.
Εἰ δὲ ὕβρει νομίζετέ με ταῦτα πράττειν, ἐνθυμήθητε, ὅτι 19
νῦν ἐγὼ θαῤῥῶ σὺν τοῖς θεοῖς μᾶλλον, ἢ τότε, καὶ θρα-
σύτερός εἰμι νῦν, ἢ τότε, καὶ οἶνον πλείω πίνω· ἀλλ'
ὅμως οὐδένα παίω· ἐν εὐδίᾳ γὰρ ὁρῶ ὑμᾶς. Ὅταν δὲ 20
χειμὼν ᾖ, καὶ θάλαττα μεγάλη ἐπιφέρηται, οὐχ ὁρᾶτε,
ὅτι καὶ νεύματος μόνου ἕνεκα χαλεπαίνει μὲν πρωρεὺς
τοῖς ἐν πρώρᾳ, χαλεπαίνει δὲ κυβερνήτης τοῖς ἐν πρύμνῃ;
Ἱκανὰ γὰρ ἐν τῷ τοιούτῳ καὶ μικρὰ ἁμαρτηθέντα,
πάντα συνεπιτρῖψαι. Ὅτι δὲ δικαίως ἔπαιον αὐτοὺς, 21
καὶ ὑμεῖς κατεδικάσατε τότε· ἔχοντες γὰρ οὐ ψήφους
ἀλλ' ὅπλα παρειστήκειτε, καὶ ἐξῆν ὑμῖν ἐπικουρεῖν αὐ-
τοῖς, εἰ ἐβούλεσθε. Ἀλλὰ μὰ Δία οὔτε τούτοις ἐπε-

ὅτου δίκην ἂν] Edd. vett. Guelf. Eton. ὅτι habent; sequens ἂν ex Eton. addidit Hutchinson. Amasæus h. l. vertit: *quod si in hostium potestatem venissent, quid tam grave passi essent, ut eo nomine eum, a quo violati essent, judicio persequi possent.* Contra ineptissime interpretatur Zeune: *quod si mea culpa et incuria non servati in hostium potestatem venissent, nonne in gravissimam ita calamitatem incidissent, cujus nomine ab auctore (modo possent) expetere pœnas cuperent?* Weiske ita: *Si vero in hostium venissent potestatem, quæ mea castigatio tam gravis esse posset, cujus nomine pœnas (redemti) expetere vellent?* Cum Amasæo recte, ut mihi videtur, Halbkart: *wegen welcher Beleidigung, und wenn sie auch noch so gross war, hätten sie dann Genugthuung fordern können?*

18. Ἐγὼ γὰρ] Hæc verba desunt in Eton. libro, et abesse commode poterant. Idem liber deinceps habet οἷα γονεῦσι υἱοὶ καὶ διδασκάλοις παῖδες.

καὶ γὰρ καὶ οἱ ἰατροὶ] Vulgatum καὶ γὰρ ἰατροὶ Zeune auxit articulo οἱ addito ex Eton. Sed jam olim Stephanus vitium loci vidit gravius. Aut enim omissum esse aliquid monet, cujus causa reddatur verbis καὶ γὰρ οἱ ἰατροὶ, aut scribendum fuisse: καὶ ἰατροὶ δὲ vel ἀλλὰ καὶ ἰατροί. Zeune difficultatem silentio præteriit, cui medetur correctio Weiskii, quam interim adhibui, addito altero καί.

20. μεγάλη] *Magnum mare* Lucretii ii. 554. comparat Hutchinson.

τοιούτῳ καὶ μικρὰ] Eton. liber τοιούτῳ δικαίως καὶ μικρὰ habet.

21. κατεδικάσατε] *Vestro judicio declarastis*, recte vertit Hutchinson.

ἔχοντες γὰρ οὐ ψήφους] Paris. ἔχοντες ξίφη οὐ ψήφους παρέστητε. Eton. similiter ἔχοντες ξίφη οὐ ψήφους habet. unde facile efficias ἔχοντες γὰρ ξίφη οὐ ψήφους. quam paronomasiam an quæsierit Xenophon, potest dubitari.

22 κουρεῖτε, οὔτε σὺν ἐμοὶ τὸν ἀτακτοῦντα ἐπαίετε. Τοιγαρ-
οῦν ἐξουσίαν ἐποιήσατε τοῖς κακοῖς αὐτῶν, ὑβρίζειν ἐῶν-
τες αὐτούς. Οἶμαι γάρ, εἰ ἠθέλετε σκοπεῖν, τοὺς αὐ-
τοὺς εὑρήσεσθαι τότε κακίστους, καὶ νῦν ὑβριστοτάτους.
23 Βοΐσκος μὲν οὖν ὁ πύκτης ὁ Θετταλὸς τότε μὲν διεμά-
χετο, ὡς κάμνων, ἀσπίδα μὴ φέρειν· νῦν δ', ὡς ἐγὼ
24 ἀκούω, Κοτυωριτῶν πολλοὺς ἀποδέδυκεν. Ἂν οὖν σω-
φρονῆτε, τούτῳ τἀναντία ποιήσετε, ἢ τοὺς κύνας ποιοῦσι·
τοὺς μὲν γὰρ κύνας τοὺς χαλεποὺς τὰς μὲν ἡμέρας δι-
δέασι, τὰς δὲ νύκτας ἀφιᾶσι· τοῦτον δέ, ἂν σωφρονῆτε,
25 τὴν νύκτα μὲν δήσετε, τὴν δὲ ἡμέραν ἀφήσετε. Ἀλλὰ
γάρ, ἔφη, θαυμάζω, ὅτι, εἰ μέν τινι ὑμῶν ἀπηχθόμην,
μέμνησθε, καὶ οὐ σιωπᾶτε· εἰ δέ τῳ ἢ χειμῶνα ἐπεκού-
ρησα, ἢ πολέμιον ἀπήρυξα, ἢ ἀσθενοῦντι ἢ ἀποροῦντι
συνεξεπόρισά τι, τούτων οὐδεὶς μέμνηται· οὐδ' εἴ τινα

22. *ἠθέλετε—εὑρήσεσθαι*] Aldina, Castal. Guelf. *εὑρήσεσθε*, Eton. *εὑρήσετε*. Weiskio pro *εὑρεθήσεσθαι* positum videtur; idem simul *ἂν* desiderat ante id verbum. Recte! sed si *ἐθέλετε* scripseris mecum, *εὑρήσεσθαι* pro *εὑρήσειν* positum recte habere videtur.

23. *μὲν οὖν—ἀσπίδα μὴ φέρειν*] Eton. *γοῦν—τὴν ἀσπίδα φέρειν*. Idem sequens *ἐγὼ* omittit. Deinceps *ἤδη ἀποδέδυκεν* margo Steph. et Paris.

24. *τούτῳ τἀναντία*] Stephanus *τούτων*, certe *τοῦτον* scriptum voluit; recte, puto. Sequens *μὲν* ante *ἡμέρας* omisit Castalio.

διδέασι] Hanc libri Paris. scripturam, quam tamen nullibi annotatam reperi, nec Larcheri versio nunc est ad manus, vulgatæ *δεσμεύουσι* prætulit Porson ad h. l. et ad Odysseam Oxoniensem anno 1800. editam cum Scholiis ineditis. Comparat Hesychii *διδείασι, δεσμεύουσι*, et Homericam Iliada Λ. 105.

25. *πολέμιον*] Eton. *πόλεμον*. deinceps *ἀπεκήρυξα* Edd. vett. Guelf. Eton.

συνεξεπόρισα] Vulgatum, quod est etiam in Guelf. *συνεξευπόρησα*, præeunte Stephano, in *συνεξευπόρισα* mutarunt Welsius, Hutchinson, Zeune et Weiske. Paris. *συνεξεπόρησα*, Eton. dat *συνεπόρησα*. Supra v. 6, 19. *εἰ μὴ ἐκποριοῦσι τῇ στρατιᾷ μισθὸν*, ubi margo Steph. cum libro Paris. et Eton. dant *ἐξευποριοῦσι*. Porson ad h. l. hæc annotavit: *In Lexicis nec comparet nec comparere debet verbum συνεξευπόρισα. Est enim plane barbarum. Ex MS. Paris. scribendum συνεξεπόρισα. Supra* v. 6, 19. *recte editur ἐκποριοῦσι, idem MS. perperam habet ἐξευποριοῦσι. In Aristoph. Eccles.* 820. *extabat εὐπόρισα, sed contra metrum, quod vitium dudum notarunt viri docti et nuper sustulit Brunckius.* Hucusque Porson. *ἡμᾶς ἅπαντα δέοι ἐκπορίζεσθαι* est in libro Nostri de Vectig. iv. 38. *ἐκπορίζειν χρήματα* Cyrop. iii. 1, 30. sine varietate scripturæ. Similiter est in Hellenicis vii. 4, 33. Contra in Platonis de Legibus xi. p. 132. est *πᾶσιν ἐπικουρίαν ταῖς χρείαις ἐξευπορεῖν καὶ ὁμαλότητα τῆς οὐσίας*. ubi nescio quid varietatis sit in Editionibus veteribus et libris scriptis. *εὐπορίζειν* recentioris ævi testatur derivatum inde vocabulum *εὐπορίστων*

καλῶς τι ποιοῦντα ἐπήνεσα, οὐδ᾽ εἴ τιν᾽ ἄνδρα ἀγαθὸν ὄντα ἐτίμησα, ὡς ἐδυνάμην, οὐδὲ τούτων μέμνησθε. Ἀλλὰ μὴν καλόν γε καὶ δίκαιον, καὶ ὅσιον καὶ ἥδιον, 26 τῶν ἀγαθῶν μᾶλλον, ἢ τῶν κακῶν μεμνῆσθαι.

Ἐκ τούτου μὲν δὴ ἀνίσταντο καὶ ἀνεμίμνησκον· καὶ περιεγένετο, ὥστε καλῶς ἔχειν.

medicamentorum. In Athenæi ix. p. 367. 6. est: ἡμεῖς μὲν οὖν σοι ταῦτα ζητοῦντι συνεισευπορήσαμεν, ubi nihil varietatis annotavit nuperus Interpres. Puto tamen συνεισευπορίσαμεν scriptum olim ibi fuisse. Sed iterum me dubium faciunt loca plura Demosthenis, veluti c. Apaturium p. 894. ἐδεῖτό μου συνευπορῆσαι τριάκοντα μνᾶς. et paulo postea: ὡμολογηκὼς δ᾽ εὐπορήσειν αὐτῷ δέκα μνᾶς. p. 980. τοὺς ταῦτα συνευπορήσαντας καὶ γενομένους αἰτίους τοῦ τὰ δίκαια ποιῆσαι τοῖς συμβαλοῦσιν. Sed p. 1369. συνευπορήσας ἀναλωμάτων est cum genitivo casu. In quibus locis omnibus nihil varietatis enotatum e Codicibus reperio. Isæus orator p. 290. ὡς ἐγὼ οὐδεμιᾷ τολμῶ συνευπορῆσαι προικὸς, i. e. præbere de meo dotem.

τούτων] Stephanus τούτων δὲ edidit, quem sequitur Weiske.

καλῶς τι] Paris. et Eton. omittunt τι, deinde habent οὐδὲν τούτων.

26. καλόν γε] Male Paris. Eton. καλόν τε habent scriptum. Semper enim ἀλλὰ μὴν hoc sensu cum γε copulare solet Xenophon.

ἀνεμίμνησκον] *Commemorabant beneficia Xenophontis.* Amasæus: *se memores esse testificati sunt.*

καὶ περιεγένετο—ἔχειν] Vulgatum περιεγένοντο ex margine Steph. et Paris. præeunte Welsio et Hutchinsono correxit Zeune. Eton. liber ἐγένετε habet. Brodæus interpretatur: *et huc ad ultimum res evasit, ut pulcre se haberent omnia.* Amasæus: *Atque in posterum inita ratio est, ut multo omnia commodius gererentur.* Stephanus: *et res ista hunc exitum habuit*, vel *huc evasit*, vel *hic exitus fuit.* Muretus: *et vicit Xenophon eos, qui sibi calumniam intendebant.* Morus: *Xenophon hac oratione pervicit, ut hæc omnia bene se habere et probanda viderentur.* Weiske apposuit Ablancurtii versionem: *ils s'en allerent donc alors chantant sa louange au delà même de la vérité, de sorte qu'il eut sujet d'être content.* Ipse Weiske novam interpretationem addidit hanc: *res contra cecidit, atque illi Xenophontis accusatores sperarant*, Budæi auctoritate confisus, qui περιγίνεσθαι ait etiam significare εἰς ἐναντίον συμβαίνειν. Sed exemplum nullum additum, igitur significationem incertam esse, ipse agnoscit. Igitur antiquum περιεγένοντο revocavit, interpretatus: *vicerunt hi illos, qui Xenophontem accusarant. In quo verbo si intelligas τοσοῦτοι, reliqua ὥστε κ. ἔχειν reddere possis: sat magno numero. Nam καλῶς ἔχει passim idem est, quod ἀπόχρη, ἱκανόν ἐστι. Sed malim reddere: ut recte (et e Xenophontis sententia) res haberet.* In nostra ratione, si ad περιεγένετο intelligatur τὸ πρᾶγμα, *huc res rediit, eum habuit exitum*, desiderat Weiske usum loquendi, et significationem vix usitatam esse putat. Mihi Brodæi et Stephani ratio unice vera visa est. De conversione rerum in contrarium dicitur hic περιγίγνεσθαι, ut alibi περιΐστασθαι. Thucydides vi. 24. καὶ τοὐναντίον περιέστη αὐτῷ, i. e. res ipsi cessit aliter ac speraverat. i. 32. καὶ περιέστηκεν ἡ δοκοῦσα ἡμῶν πρότερον σωφροσύνη—νῦν ἀβουλία καὶ ἀσθένεια φαινομένη. iv. 12. ἐς τοῦτό τε περιέστη ἡ τύχη, ὥστε Ἀθηναίους μὲν ἐκ γῆς ἀμύνεσθαι ἐκείνους ἐπιπλέοντας. Plura exempla apposui in Lexico Gr.

CAP. IX. (VULGO VI. CAP. I.)

ΕΚ τούτου δὲ ἐν τῇ διατριβῇ οἱ μὲν ἀπὸ τῆς ἀγορᾶς
ἔζων, οἱ δὲ, ληϊζόμενοι ἐκ τῆς Παφλαγονίας. Ἐκλώ-
πευον δὲ καὶ οἱ Παφλαγόνες εὖ μάλα τοὺς ἀποσκεδαν-
νυμένους, καὶ τῆς νυκτὸς δὲ τοὺς πρόσω σκηνοῦντας ἐπει-
ρῶντο κακουργεῖν· καὶ πολεμικώτερον πρὸς ἀλλήλους
2 εἶχον ἐκ τούτων. Ὁ δὲ Κορύλας, ὃς ἐτύγχανε τότε Πα-
φλαγονίας ἄρχων, πέμπει παρὰ τοὺς Ἕλληνας πρέ-
σβεις, ἔχοντας ἵππους καὶ στολὰς καλὰς, λέγοντας,
ὅτι Κορύλας ἕτοιμος εἴη, τοὺς Ἕλληνας μήτ' ἀδικεῖν αὐ-
3 τὸς, μήτ' ἀδικεῖσθαι. Οἱ δὲ στρατηγοὶ ἀπεκρίναντο,
ὅτι περὶ μὲν τούτων σὺν τῇ στρατιᾷ βουλεύσοιντο, ἐπὶ
ξενία δὲ ἐδέχοντο αὐτούς· παρεκάλεσαν δὲ καὶ τῶν ἄλ-
4 λων ἀνδρῶν, οὓς ἐδόκει δικαιότατον εἶναι. Θύσαντες δὲ
βοῦς τῶν αἰχμαλώτων καὶ ἄλλα ἱερεῖα, εὐωχίαν μὲν
ἀρκοῦσαν παρεῖχον, κατακείμενοι δὲ ἐν στιβάσιν ἐδεί-

Cap. ix. feci, quod vulgo primum fertur libri vi. Rationem reddam ad caput iii. libri vi. quod primum est in nostra Editione.

1. Ἐκλώπευον] Vulgatum ἐκλόπευον ex Suida in h. v. corrigendum esse monuit Porson ad iv. 6, 17. ubi vulgatum κλοπῶν eodem auctore correximus ex Suida, cujus C. C. C. Oxon. Manuscriptos inspexerat vir doctus. Similiter De Lacedæmon. Republica ii. 8. scribendum, ubi sine varietate scriptum legitur κλοπεύειν.

πολεμικώτερον] Margo Steph. Paris. Eton. πολεμικώτατα habent.

2. αὐτὸς, μήτ' ἀδικεῖσθαι] Eton. liber αὐτὸς omittit, eumque secutus Weiske distinxit verba ita: ὅτι K. ἕτοιμος εἴη, τοὺς Ἕλληνας μήτ' ἀδικεῖν, μήτ' ἀδικεῖσθαι. Ad quæ annotat, verba τοὺς Ἕλληνας videri ponenda post μήτ' ἀδικεῖν, quia non pertineant communiter ad ἀδικεῖν et ἀδικεῖσθαι. Sed posse etiam accusativum absolutum esse κατὰ τοὺς Ἕλληνας, *quod attinet ad Græcos.* αὐτὸς autem ideo omisisse ait, quod desit in libro Etonensi, nec sect. 14. sit: μήτ' αὐτοὶ ἀδικῆσαι; maxime vero, quia formula μήτ' ἀδικεῖν μήτ' ἀδικεῖσθαι elliptica videatur esse, similisque formulæ εὖ ποιεῖν καὶ εὖ πάσχειν. Tanto conatu opus non erat, si mecum αὐτὸς ante alterum μήτε reposueris. Abesse enim non potest.

[In Annotatione omisi monere, vulgatam lectionem verba habere hoc ordine collocata: μήτ' ἀδικεῖν, μήτ' αὐτὸς ἀδικεῖσθαι. *Ex Epistola.*]

3. σὺν τῇ στρατιᾷ] Ita Paris. Eton. margo Villois. Vulgo est ἐν τῇ στρ.

ἐδόκει δικαιότατον] Paris. Eton. ἐδόκουν δικαιοτάτους.

4. βοῦς τῶν αἰχμαλώτων] Ita iidem libri habent. Vulgo est τῶν αἰχμαλώτων βοῶν.

στιβάσιν] Margo Steph. Paris. Eton. σκίμποσιν habent; sed Athenæi libri editi et manuscripti libro xi. p. 476. vulgatam scripturam habent.

πνουν, καὶ ἔπινον ἐκ κερατίνων ποτηρίων, οἷς ἐνετύγχανον
ἐν τῇ χώρᾳ.
Ἐπεὶ δὲ αἵ σπονδαί τ' ἐγένοντο καὶ ἐπαιώνισαν, ἀνέ- 5
στησαν πρῶτον Θρᾷκες, καὶ πρὸς αὐλὸν ὠρχοῦντο σὺν
τοῖς ὅπλοις, καὶ ἥλλοντο ὑψηλά τε καὶ κούφως, καὶ
ταῖς μαχαίραις ἐχρῶντο· τέλος δὲ ὁ ἕτερος τὸν ἕτερον
παίει, ὡς πᾶσι δοκεῖν πεπληγέναι τὸν ἄνδρα· ὁ δ'
ἔπεσε τεχνικῶς πως. Καὶ ἀνέκραγον οἱ Παφλαγόνες. 6
Καὶ ὁ μὲν, σκυλεύσας τὰ ὅπλα τοῦ ἑτέρου, ἐξῄει ᾄδων
Σιτάλκαν· ἄλλοι δὲ τῶν Θρᾳκῶν τὸν ἕτερον ἐξέφερον ὡς
τεθνεῶτα· ἦν δὲ οὐδὲν πεπονθώς. Μετὰ τοῦτο Αἰνιᾶνες 7
καὶ Μάγνητες ἀνέστησαν, οἳ ὠρχοῦντο τὴν καρπαίαν κα-
λουμένην ἐν τοῖς ὅπλοις. Ὁ δὲ τρόπος τῆς ὀρχήσεως ἦν 8
ὅδε· Ὁ μὲν παραθέμενος τὰ ὅπλα σπείρει καὶ ζευγη-
λατεῖ, πυκνὰ μεταστρεφόμενος, ὡς φοβούμενος· λῃστὴς

ἐκ κερατίνων] Edd. vett. Guelf. Eton. κερατίνοις ποτηρίοις. Stephanus ἐκ κερατίνων ποτηρίων cum libro Paris. dedit, quem cum Weiskio sequor, quanquam Zeune vulgatam etiam Athenæi librorum auctoritate defendat, et elegantiorem affirmet. Laudat eam in rem Cuperi Observ. ii. 8. et P. Burmannum ad Phædri Fab. i. 25, 3.

5. ἐπαιώνισαν] Paulo antea Athenæus i. 13. dat ἐπειδὴ σπονδαὶ, hic vero Juntina cum Guelf. ἐπαιάνισαν. Deinde πρῶτοι Athenæus, πρῶτον μὲν liber Eton.

ὠρχοῦντο] Ita cum Athenæo scripsi pro ὠρχήσαντο. Sequens vulgo τε cum eodem, Edd. vett. et Guelf. omisi. Ex eodem et Junt. cum Guelf. vulgatum ἥλοντο correxi; et sic esse in MS. Paris. ait Porson.

ὡς πᾶσι δοκεῖν] Edd. vett. cum Guelf. ὡς πᾶσιν εἶναι δοκεῖν. Sequens πεπληγέναι ex Athenæo et libris Paris. Eton. dedi pro πεπληχέναι. Deinde τὸν ἄνδρα iisdem auctoribus pro τὸν ἄνθρωπον rescripsit Zeune; alterum revocavit Weiske.

ὁ δ' ἔπεσε] Vulgatum ἔπαισε recte jam olim Muretus correxerat; verum habet Athenæus cum libro Paris.

6. οἱ Παφλαγόνες] Athenæus καὶ πάντες ἀνέκραγον. sed in Codice A. Schweighäuser inter lineas adscriptum reperit οἱ συνδειπνοῦντες Παφλαγόνες.

Σιτάλκαν] Ita cum margine Steph. Brodæo, libris Paris. Eton. Athenæus. Ante Hutchinsonum vulgabatur σιδαλκὰ, quod est etiam in Guelf. Videtur Sitalcas rex Thracum intelligi, forte is, de quo Diodorus xii. 50. Pro τεθνεῶτα Athenæus τεθνηκότα habet, sed idem recte copulam καὶ post ἄλλοι δὲ omittit cum Edd. vett. Guelf. Eton. quam Stephanus cum Paris. Codice adjecerat.

πεπονθώς] Junt. Guelf. μὴ τεθνεώς. Ald. μείω τεθνεώς.

7. Μετὰ τοῦτο] Eton. μετὰ τούτους. In Athenæo τοῦτον habent libri omnes. Deinde Αἰνειᾶνες MS. Paris. et παρπαῖαν scribitur in Athenæo, qui sequens ὁ δὲ omisit.

8. μεταστρεφόμενος] Cod. Paris. δὲ στρεφόμενος. Sequens προΐδηται cum

δὲ προσέρχεται· ὁ δ', ἐπειδὰν προΐδηται, ἀπαντᾷ ἁρπάσας τὰ ὅπλα, καὶ μάχεται πρὸ τοῦ ζεύγους· (καὶ οὗτοι ταῦτ' ἐποίουν ἐν ῥυθμῷ πρὸς τὸν αὐλὸν) καὶ τέλος ὁ λῃστὴς δήσας τὸν ἄνδρα καὶ τὸ ζεῦγος ἀπάγει· ἐνίοτε δὲ καὶ ὁ ζευγηλάτης τὸν λῃστήν· εἶτα παρὰ τοὺς βοῦς ζεύξας, ὀπίσω τὼ χεῖρε δεδεμένον ἐλαύνει.

9 Μετὰ τοῦτο Μυσὸς εἰσῆλθεν, ἐν ἑκατέρᾳ τῇ χειρὶ ἔχων πέλτην· καὶ τοτὲ μὲν ὡς δύο ἀντιταττομένων μιμούμενος ὠρχεῖτο, τοτὲ δὲ ὡς πρὸς ἕνα ἐχρῆτο ταῖς πέλταις, τοτὲ δὲ ἐδινεῖτο καὶ ἐξεκυβίστα, ἔχων τὰς πέλτας· ὥστε
10 ὄψιν [ἔχων] καλὴν φαίνεσθαι. Τέλος δὲ τὸ Περσικὸν ὠρχεῖτο, κροτῶν τὰς πέλτας· καὶ ὤκλαζε, καὶ ἀνίστατο· καὶ ταῦτα πάντα ἐν ῥυθμῷ πρὸς τὸν αὐλὸν ἐποίει.
11 Ἐπὶ δὲ τούτῳ ἐπιόντες οἱ Μαντινεῖς, καὶ ἄλλοι τινὲς τῶν Ἀρκάδων ἀναστάντες, ἐξοπλισάμενοι ὡς ἐδύναντο κάλ-

Athenæo et Cod. Paris. edidit Stephanus, προσίδῃ Castalio, προσίδῃ τε Edd. vett. Guelf. Eton.

ἀπαντᾷ—καὶ μάχεται] Junt. Guelf. ἅπαντα, plane omittit vocabulum Aldina cum Athenæo; igitur etiam copulam καὶ omittit Athenæus et Castalio. Præterea ἐπὰν dat Athenæus, qui sequentia ita retulit: πρὸ ζεύγους ἐν ῥυθμῷ πρὸς τὸν αὐλόν.

καὶ τὸ ζεῦγος] Athenæus copulam omisit, et pro ζεύξας dedit δήσας. Ceterum hunc locum imitatus est Maximus Tyrius Or. xxviii. 4.

εἶτα παρὰ] Weiske ita ad h. l. "Num est *tamen*, ut post λῃστὴν nihil interpungatur? An est corruptum? Mihi videtur insolentius." Si repetas δήσας ἀπάγει, nihil desiderabis, aut insolentius reperies.

9. ταῖς πέλταις] Guelf. cum Castal. τοῖς πέλταις et paulo post τοὺς πέλτας, quasi esset a πέλτης, a quo καταπέλτης, catapulta nominatur.

ὄψιν [ἔχων]] Participium a MS. Paris. omissum seclusi, quod sententiam turbat.

10. τὸ Περσικὸν] Athenæus omissis antecedentibus: Καί τις, φησὶ, τὸ Π. ὠρχεῖτο καὶ κροτῶν τὰς πέλτας ὤκλαζε καὶ ἐξανίστατο. Paulo post ibidem Veneta editio habet: καὶ ταῦτα πάντα ῥαθύμως πρὸς τὸν ῥυθμὸν ἐποίει. libri scripti: καὶ τ. π. ῥυθμῷ πρὸς τὸν ῥυθμὸν ἐποίει. Ex Athenæo Steph. temere scribi voluit Τέλος δὲ τὸ Π. ὠρχεῖτό τις. Saltationem hanc Persicam alii auctore Polluce iv. 100. nominabant ὄκλασμα, eamque Heliodorus iv. 17. describit, auctore Zeunio. Heliodorus tamen νόμον Ἀσσύριον vocat; nec descriptio plane congruit. ὀρχεῖσθαι τὸ Περσικὸν nominatur obiter in Cyrop. viii. 4. 12.

κροτῶν] Cod. Paris. et margo Steph. κρούων, sed Eton. hoc idem κρούων ante posuit, et cum Athenæo ἐξανίστατο dedit.

11. ἐπιόντες] Vulgatum ἐμπίνοντες, quod est etiam in Guelf. ex Codice Brodæi, Paris. et Eton. correxit Hutchinson. Athenæus brevius: καὶ Ἀρκάδες δὲ, φησὶ, ἀναστάντες, ἐξοπλισάμενοι ᾔεσαν ἐν ῥυθμῷ, πρὸς τὸν ἐνόπλιον ῥ. αὐλ. καὶ ἐνωπλίσαντο καὶ ὠρχήσαντο. Edd. vett. cum Guelf. ἔνοπλον. deinde Junt. Guelf. et margo Steph. ἐπαιάνισαν dant; in libro Eton. est ἐνώπλισαν, ut in Athenæi libris et Editione Veneta ἐνωπλίσαντο.

λιστα, ᾖεσάν τε ἐν ῥυθμῷ, πρὸς τὸν ἐνόπλιον ῥυθμὸν αὐ-
λούμενοι, καὶ ἐπαιώνισαν, καὶ ὠρχήσαντο, ὥσπερ ἐν ταῖς
πρὸς τοὺς θεοὺς προσόδοις. Ὁρῶντες δὲ οἱ Παφλαγό-
νες, δεινὰ ἐποιοῦντο, πάσας τὰς ὀρχήσεις ἐν ὅπλοις εἶναι.
Ἐπὶ τούτῳ ὁρῶν ὁ Μυσὸς ἐκπεπληγμένους αὐτοὺς, πεί- 12
σας τῶν Ἀρκάδων τινὰ, πεπαμένον ὀρχηστρίδα, εἰσάγει,
σκευάσας ὡς ἐδύνατο κάλλιστα, καὶ ἀσπίδα δοὺς κού-
φην αὐτῇ. Ἡ δὲ ὠρχήσατο Πυῤῥίχην ἐλαφρῶς. Ἐν- 13
ταῦθα κρότος ἦν πολύς· καὶ οἱ Παφλαγόνες ἠρώτων, εἰ
καὶ γυναῖκες συνεμάχοντο αὐτοῖς. Οἱ δ᾽ ἔλεγον, ὅτι
αὗται καὶ αἱ τρεψάμεναι εἶεν βασιλέα ἐκ τοῦ στρατο-
πέδου. Τῇ μὲν οὖν νυκτὶ ταύτῃ τοῦτο τὸ τέλος ἐγένετο.
Τῇ δ᾽ ὑστεραίᾳ προσῆγον αὐτοὺς εἰς τὸ στράτευμα· 14
καὶ ἔδοξε τοῖς στρατιώταις, μήτε ἀδικεῖν Παφλαγόνας,
μήτε ἀδικεῖσθαι. Μετὰ τοῦτο οἱ μὲν πρέσβεις ᾤχοντο·
οἱ δ᾽ Ἕλληνες, ἐπειδὴ πλοῖα ἱκανὰ ἐδόκει παρεῖναι,
ἀναβάντες ἔπλεον ἡμέραν καὶ νύκτα πνεύματι καλῷ, ἐν
ἀριστερᾷ ἔχοντες τὴν Παφλαγονίαν. Τῇ δ᾽ ἄλλῃ ἀφι- 15
κνοῦνται εἰς Σινώπην, καὶ ὡρμίσαντο εἰς Ἁρμήνην τῆς
Σινώπης. Σινωπεῖς δὲ οἰκοῦσι μὲν ἐν τῇ Παφλαγονικῇ,

προσόδοις] Ubi pæanes, præcipue Apollini, musicæ juncti diis cantabantur; hinc genus hoc carminum ὑπορχήματα dictum fuit. Cf. dicta in Collectione Pindaricorum Fragmentorum Heyniana p. 38—42. et p. 54.

δεινὰ ἐποιοῦντο] Inepte Zeunianus Index cum Hutchinsono *in difficillimis et periculosis rem habere.* Morus *mirum et inusitatum judicare.* Weiske malebat: δεινὰ ἐποίουν τὸ πάσας &c. hoc sensu: *miros gestus agebant, miris modis admirationem suam prodebant.* Sed δεινὰ ποιεῖν longe diverso sensu est in Aristophanis Ranis versu 1093. in Nubibus versu 388. et 583. δεινότερα ποιεῖν est in Nostri Symposio iv. 36.

12. Ἐπὶ τούτῳ] Eton. ἐπὶ τούτοις. Deinde cum MS. Paris. et margine Steph. ἐκπληττομένους vulgatum correxi.

13. ἠρώτων] Eton. ἤροντο habet. Responsi Paphlagonibus dati rationem bene explicat Demetrius de Elocutione §. 131. qui verba Xenophontis memoriter recitavit.—Sequens οὖν omittit Eton.

14. ὑστεραίᾳ] Junt. cum Guelf. ἡμέρᾳ addit, et deinde Παφλαγόνα dat.

15. ὡρμίσαντο] Edd. vett. ὡρμήσαντο. Sequens nomen urbis Ἁρμήνη ex h. l. memoravit Stephanus Byzant. Alii Ἀρμένη scripserunt. Cf. *Mannert* Geogr. Gr. vi. p. iii. p. 16.

Μιλησίων δ' ἄποικοι εἰσίν. Οὗτοι ξένια πέμπουσι τοῖς
Ἕλλησιν, ἀλφίτων μὲν μεδίμνους τρισχιλίους, οἴνου δὲ
16 κεράμια χίλια καὶ πεντακόσια. Καὶ Χειρίσοφος ἐν-
ταῦθα ἦλθε τριήρεις ἔχων. Καὶ οἱ μὲν στρατιῶται
προσεδόκων, ἄγοντά τι σφίσιν ἥκειν· ὁ δὲ ἦγε μὲν οὐδὲν,
ἀπήγγελλε δὲ, ὅτι ἐπαινοίη αὐτοὺς καὶ Ἀναξίβιος ὁ
ναύαρχος καὶ οἱ ἄλλοι, καὶ ὅτι ὑπισχνεῖτο Ἀναξίβιος,
εἰ ἀφικνοῖντο ἔξω τοῦ Πόντου, μισθοφορὰν αὐτοῖς ἔσε-
σθαι.
17 Καὶ ἐν ταύτῃ τῇ Ἁρμήνῃ ἔμειναν οἱ στρατιῶται ἡμέρας
πέντε. Ὡς δὲ τῆς Ἑλλάδος ἐδόκουν ἐγγὺς γίγνεσθαι,
ἤδη μᾶλλον ἢ πρόσθεν εἰσῄει αὐτοὺς, ὅπως ἂν καὶ ἔχον-
18 τές τι οἴκαδε ἀφίκωνται. Ἡγήσαντο οὖν, εἰ ἕνα ἕλοιντο
ἄρχοντα, μᾶλλον ἂν ἢ πολυαρχίας οὔσης δύνασθαι τὸν
ἕνα χρῆσθαι τῷ στρατεύματι καὶ νυκτὸς καὶ ἡμέρας·
καὶ εἴ τι δέοι λανθάνειν, μᾶλλον ἂν καὶ κρύπτεσθαι·
καὶ εἴ τι αὖ δέοι φθάνειν, ἧττον ἂν ὑστερίζειν· οὐ γὰρ
ἂν λόγων δεῖν πρὸς ἀλλήλους, ἀλλὰ τὸ δόξαν τῷ ἑνὶ
περαίνεσθαι ἄν· τὸν δὲ πρόσθεν χρόνον ἐκ τῆς νικώσης
19 ἔπραττον πάντα οἱ στρατηγοί. Ὡς δὲ ταῦτα διενοοῦντο,
ἐτρέποντο ἐπὶ τὸν Ξενοφῶντα· καὶ οἱ λοχαγοὶ ἔλεγον

Οὗτοι ξένια] Eton. δὲ interserit.

κεράμια] Certam mensuram fuisse conjicit Weiske ex h. l. et capitis sequentis sect. 3. ubi tamen polentæ medimni 3000. cum vini κεραμίοις 2000. mittuntur. Ex diversa igitur proportione nihil arguere licet. Fortasse tamen κεραμίου vocabulum generale fuit mensuræ incertæ.

16. Χειρίσοφος] Redi ad v. 1, 4. deinceps τριήρη habet margo Steph. cum Paris. libro.

ἀπήγγελλε δὲ] Miror omnes Interpretes vulgatum ἀπηγγέλλετο tam patienter tulisse, quod aperte vitiosum est.

ἀφικνοῖντο] Junt. Guelf. ἀφικνοῖτο. Castal. Paris. ἀφικνεῖτο. deinceps μισθοφορίαν habet Eton.

17. εἰσῄει αὐτοὺς] *In mentem illis venit*, intellige ἔννοια cum Zeunio vel ἐπιθυμία. Deinceps cum Aldina Steph. et Weiske ἀφίκοιντο dederunt, nostrum est in Juntina, Guelf. Paris. Eton.

18. λανθάνειν] Edd. vett. Guelf. λαμβάνειν habent. Sequens καὶ ante κρύπτεσθαι omittit Eton. postea ἔμπροσθεν χρόνον Paris.

νικώσης] Intellige γνώμης. Sequens τις post ἕκαστος omittit Eton.

προσιόντες αὐτῷ, ὅτι ἡ στρατιὰ οὕτω γινώσκει· καὶ εὔ-
νοιαν ἐνδεικνύμενος ἕκαστός τις ἔπειθεν αὐτὸν ὑποστῆναι
τὴν ἀρχήν. Ὁ δὲ Ξενοφῶν τῇ μὲν ἐβούλετο ταῦτα, νομί- 20
ζων καὶ τὴν τιμὴν μείζω οὕτως ἑαυτῷ γίγνεσθαι, καὶ
πρὸς τοὺς φίλους καὶ εἰς τὴν πόλιν τοὔνομα μεῖζον ἀφί-
ξεσθαι αὐτοῦ· τυχὸν δὲ καὶ ἀγαθοῦ τινος ἂν αἴτιος τῇ
στρατιᾷ γενέσθαι.

Τὰ μὲν δὴ τοιαῦτα ἐνθυμήματα ἐπῆρεν αὐτὸν, ἐπιθυ- 21
μεῖν αὐτοκράτορα γενέσθαι ἄρχοντα. Ὁπότε δ᾽ αὖ ἐν-
θυμοῖτο, ὅτι ἄδηλον μὲν παντὶ ἀνθρώπῳ, ὅπῃ τὸ μέλλον
ἕξει, διὰ τοῦτο δὲ καὶ κίνδυνος εἴη, μὴ καὶ τὴν προειρ-
γασμένην δόξαν ἀποβάλοι, ἠπορεῖτο. Ἀπορουμένῳ δὲ 22
αὐτῷ διακρῖναι ἔδοξε κράτιστον εἶναι, τοῖς θεοῖς ἀνα-
κοινῶσαι· καὶ παραστησάμενος δύο ἱερεῖα, ἐθύετο τῷ
Διῒ τῷ Βασιλεῖ, ὅσπερ αὐτῷ μαντευτὸς ἦν ἐκ Δελφῶν·

20. *καὶ πρὸς τοὺς φίλους*] Amicos in Græcia et Athenis relictos. Ita tuetur Weiske copulam *καὶ* omissam in Paris. et Eton.

μεῖζον] Edd. vett. Guelf. *μειζόνως*. unde Abreschius ad Æschylum p. 463. effecit *μεῖζον εἰσαφίξεσθαι*. Zeune *μεῖζον ὣς* conjiciebat.

καὶ ἀγαθοῦ] Eton. *καὶ* omittit: *ἂν* sequens deest in Edd. vett. Guelf.

21. *καὶ κίνδυνος*] Copulam ex Paris. Eton. addidit Zeune.

[*διὰ τοῦτο δὲ καὶ κίνδυνος εἴη, μὴ καὶ τὴν προειργασμένην δόξαν ἀποβάλοι*] Copulam *καὶ* ex Paris. et Eton. addidit Zeune; præterea haud scio, an præferenda sit scriptura Paris. *κίνδυνος εἴη καὶ τ. π. δ. ἀποβαλεῖν*. Ecce enim noster infra vii. 7, 31. *Ἀλλὰ μὴν οὐδὲ πλήθει γε ἡμῶν λειφθέντες ὕπειξάν σοι, ἀλλὰ προστατῶν ἀπορίᾳ· οὐκοῦν νῦν καὶ τοῦτο κίνδυνος, μὴ λάβωσι προστάτας αὐτῶν τινας τούτων, οἳ νομίζουσιν ὑπὸ σοῦ ἀδικεῖσθαι*. Qui locus primum confirmat copulam *καὶ* additam ex libris scriptis; deinde monstrat prior locus rationem corrigendi vitii, quod in posteriore indicavi, sed sanare non potui. Scribendum nempe erat: *οὐκοῦν νῦν διὰ τοῦτο καὶ κίνδυνος*. Præterea Edd. veteres cum libro Guelf. etiam in posteriore loco structuram mutant ita, ut scribant: *κίνδυνος, λαβεῖν προστάτας τινὰς αὐτῶν*. Si vulgarem nunc lectionem sequaris, dubitari potest, an hic etiam ad similitudinem prioris loci scribendum sit *μὴ λάβοιεν*. Sed est tertius locus in Memorab. ii. 7, 9. *ἐκ δὲ τούτων κίνδυνος, μείζω τε ἀπέχθειαν γίγνεσθαι καὶ τὴν προγεγονυῖαν χάριν μειοῦσθαι*. Ita Euripides Hecubæ versu 5. *ἐπεὶ Φρυγῶν πόλιν κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλληνικῷ*. Aristophanes Pluti versu 348. *ἔνι γάρ τις, ἔνι κίνδυνος ἐν τῷ πράγματι. ποῖός τις;—ἢν μὲν κατορθώσωμεν, εὖ πράττειν ἀεί· ἢν δὲ σφαλῶμεν, ἐπιτετρῖφθαι τὸ παράπαν*. *Ex Epistola.*]

μὴ—ἀποβάλοι] Paris. omisso *μὴ* habet *ἀποβαλεῖν*.

22. *ἀπορουμένῳ*] Eton. *διαπορουμένῳ*.

ἱερεῖα] Ita liber Brodæi et Paris. Vulgatum *ἱερεῖς* recte damnavit Zeune, annotans, non *ἱερεῖς* sed *μάντεις* dicendum fuisse. Comparat etiam libri vi. cap. 3, 2, 8. et vii. 6, 44. et vii. 1, 40.

[*ὅσπερ αὐτῷ μαντευτὸς ἦν ἐκ Δελ-*

καὶ τὸ ὄναρ δὴ ἀπὸ τούτου τοῦ θεοῦ ἐνόμιζεν ἑωρακέναι, ὃ εἶδεν, ὅτε ἤρχετο ἐπὶ τὸ συνεπιμελεῖσθαι τῆς στρατιᾶς
23 καθίστασθαι. Καὶ ὅτε ἐξ Ἐφέσου δὲ ὡρμᾶτο, Κύρῳ συσταθησόμενος, αἰετὸν ἀνεμιμνήσκετο ἑαυτῷ δεξιὸν φθεγγόμενον, καθήμενον μέντοι, ὅνπερ ὁ μάντις προπέμπων αὐτὸν ἔλεγεν, ὅτι μέγας μὲν οἰωνὸς εἴη καὶ οὐκ ἰδιωτικὸς, καὶ εὔδοξος, ἐπίπονος μέντοι· καὶ γὰρ τὰ ὄρνεα μάλιστα ἐπιτίθεσθαι τῷ αἰετῷ καθημένῳ· οὐ μέντοι χρηματιστικὸν εἶναι τὸν οἰωνόν· τὸν γὰρ αἰετὸν περι-
24 πετόμενον μᾶλλον λαμβάνειν τὰ ἐπιτήδεια. Οὕτω δὲ θυομένῳ αὐτῷ διαφανῶς ὁ θεὸς σημαίνει, μήτε προσδεῖσθαι τῆς ἀρχῆς, μήτ', εἰ αἱροῖντο, ἀποδέχεσθαι. Τοῦτο
25 μὲν δὴ οὕτως ἐγένετο. Ἡ δὲ στρατιὰ συνῆλθε, καὶ πάντες ἔλεγον ἕνα αἱρεῖσθαι· καὶ ἐπεὶ τοῦτο ἔδοξε, προε-

φῶν] Omisi cum Zeunio annotationem Mori positam in Indice Editionis Lipsiensis hanc: *Si ad Jovem referatur, videtur significare*, qui ab eo consuli solebat: *in quo conferri fortasse poterit* iii. 1, 9. *sed ita verba* ἐκ Δελφῶν *obscura sunt. Sin legatur:* ὥσπερ *sive* ὅπερ αὐτῷ μαντευτὸν ἦν ἐκ Δελφῶν, *et verba hæc ponantur post* τοῖς θεοῖς ἀνακοινῶσαι, *sensus erit:* quod illi oraculi responso Delphis præscriptum fuerat, *nempe ut in quavis re deos consuleret, qui in quavis re consulendi essent: idque convenit historiæ ipsi.* Vide iii. 1, 4. Recte dubitasse videtur vir doctus de loci integritate. Delphicus enim Apollo consulenti Xenophonti responderat, uti est iii. 1, 6. ἀνεῖλεν αὐτῷ—θεοῖς οἷς ἔδει, θύειν. ubi suasu Tuo, Buttmanne, scripsi θεοὺς, οἷς ἔδει θύειν. quam emendationem firmare videbatur sect. 8. ὁ μὲν δὴ Ξενοφῶν οὕτω θυσάμενος, οἷς ἀνεῖλεν ὁ θεὸς, ἐξέπλει. Plures igitur deos Xenophonti colendos sacrificio Apollo nominaverat. Statim tamen sect. 12. somnium, quod viderat, a Jove rege sibi missum interpretabatur tunc, et repetit eandem interpretationem hoc in loco. Alter vero locus vii. 8, 4. quem Zeune comparavit cum loco iii. 1, 8. minime pertinet ad Jovem regem, sed ad Jovem μειλίχιον. Nunc igitur Xenophon obiter annotare voluit, inter plures deos ab oraculo Delphico editos, disertim Jovem regem nominatum fuisse. Itaque etiam hinc emendationi Tuæ auctoritatis aliquid accedere videtur. Verba ipsa interpretor: *quem Apollo Delphicus illi inter plures deos consulenti nominaverat.* Manebit tamen vel ita Mori sagacitati honos salvus et integer. *Ex Epistola.*]

ἀπὸ τούτου τοῦ θεοῦ] Missum a Jove rege sibi.

ὃ εἶδεν, ὅτε] Eton. liber habet ὅτε εἶδεν ὡς ἤρχετο. De re confer iii. 1, 12.

23. ὅνπερ ὁ μάντις] Vulgatum ὥσπερ correxit Hutchinson: ὅπερ malebat Leonclavius.

εὔδοξος] Margo Steph. Paris. Eton. ἔνδοξος habent. Xenophon verbum εὐδοξεῖν et εὐδοξία frequentavit.

καὶ γὰρ τὰ ὄρνεα] Ita ex Eton. vulgatum τὰ γὰρ ὄρνεα correxi. Sequens οὐ μέντοι pro vulgato οὐδὲν μέντοι ex margine Steph. Paris. Eton. recepi.

περιπετόμενον] Simplex πετόμενον habet Eton.

24. διαφανῶς] Edd. vett. Guelf. διαφανεῖς dant. Deinceps μὴ προσδεῖσθαι Eton.

βάλλοντο αὐτόν. Ἐπειδὴ δὲ ἐδόκει δῆλον εἶναι, ὅτι αἱρήσονται αὐτὸν, εἴ τις ἐπιψηφίζοι, ἀνέστη, καὶ ἔλεξε τάδε·

Ἐγὼ, ὦ ἄνδρες, ἥδομαι μὲν ὑπὸ ὑμῶν τιμώμενος, εἴ- 26
περ ἄνθρωπός εἰμι, καὶ χάριν ἔχω, καὶ εὔχομαι, δοῦναί
μοι τοὺς θεοὺς αἴτιόν τινος ὑμῖν ἀγαθοῦ γενέσθαι· τὸ
μέντοι ἐμὲ προκριθῆναι ὑφ' ὑμῶν ἄρχοντα, Λακεδαιμο-
νίου ἀνδρὸς παρόντος, οὔθ' ὑμῖν, οὔτ' ἐμοὶ δοκεῖ συμφέρον
εἶναι, ἀλλ' ἧττον ἂν διὰ τοῦτο τυγχάνειν, εἴ τι δέοισθε,
παρ' αὐτῶν· ἐμοὶ δ' αὖ οὐ πάνυ τι νομίζω τοῦτο ἀσφα-
λὲς εἶναι. Ὁρῶ γὰρ, ὅτι καὶ τῇ πατρίδι μου οὐ πρό- 27
σθεν ἐπαύσαντο πολεμοῦντες, πρὶν ἐποίησαν πᾶσαν τὴν
πόλιν ὁμολογεῖν, Λακεδαιμονίους καὶ αὐτῶν ἡγεμόνας
εἶναι. Ἐπεὶ δὲ τοῦτο ὡμολόγησαν, εὐθὺς ἐπαύσαντο 28
πολεμοῦντες, καὶ οὐκέτι πέρα ἐπολιόρκησαν τὴν πόλιν.
Εἰ οὖν, ταῦτα ἐγὼ ὁρῶν, δοκοίην, ὅπου δυναίμην, ἐνταῦθ'
ἄκυρον ποιεῖν τὸ ἐκείνων ἀξίωμα, ἐκεῖνο ἐννοῶ, μὴ λίαν
[ἂν] ταχὺ σωφρονισθείην. Ὃ δ' ὑμεῖς ἐννοεῖτε, ὅτι ἧτ- 29
τον ἂν στάσις εἴη ἑνὸς ἄρχοντος, ἢ πολλῶν, εὖ ἴστε, ὅτι
ἄλλον μὲν ἑλόμενοι οὐχ εὑρήσετέ με στασιάζοντα· νομίζω
γὰρ, ὅστις ἐν πολέμῳ ὢν στασιάζει πρὸς ἄρχοντα, τοῦ-
τον πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν· ἂν δ' ἐμὲ ἕλη-
σθε, οὐκ ἂν θαυμάσαιμι, εἴ τινα εὕροιτε καὶ ὑμῖν καὶ
ἐμοὶ ἀχθόμενον.

25. Ἐπειδὴ δὲ] Juntina, Eton. ἐπεὶ habent; deinde εἴ τι Edd. vett.

26. τοὺς θεοὺς] Edd. vett. Guelf. τοῖς θεοῖς, quod cum εὔχομαι, nisi dura trajectione, copulari non potest.

τινός ὑμῖν] Mureti hanc correctionem vulgato ὑμῶν substituit Hutchinson.

οὔθ' ὑμῖν, οὔτ' ἐμοὶ δοκεῖ] Eton. οὔτε ἡμῖν δοκεῖ, et sequens εἰ ante τι omittit. Postea ἐμοί τε αὖ habet.

28. μὴ λίαν [ἂν]] Cod. Paris. cum Eton. μὴ νῦν. Sed Porson monuit, ἂν, utpote ex syllaba præcedenti natum, esse delendum. Insolens est, jungi ἂν cum μὴ et optativo modo. Igitur seclusi.

29. ὅτι ἧττον] Deest ὅτι in Edd. vett. et Guelf.

γὰρ, ὅστις] Ita liber Brodæi, Paris. Eton. Vulgatum ante Zeunianam γὰρ ὅτι, ὅστις—ἄρχοντα, πρὸς τὴν ἑ. σ. στασιάζει revocavit Weiske.

ἀχθόμενον] Caute non στασιάζοντα

30 Ἐπεὶ δὲ ταῦτ' εἶπε, πολὺ πλείους ἐξανίσταντο, λέγοντες, ὡς δέοι αὐτὸν ἄρχειν. Ἀγασίας δὲ ὁ Στυμφάλιος εἶπεν, ὅτι γελοῖον εἴη, εἰ οὕτως ἔχοι· ὡς ὀργιοῦνται Λακεδαιμόνιοι, καὶ ἐὰν σύνδειπνοι συνελθόντες μὴ Λακεδαιμόνιον συμποσίαρχον αἱρῶνται· ἐπεὶ εἰ οὕτω γε τοῦτ' ἔχει, ἔφη, οὐδὲ λοχαγεῖν ἡμῖν ἔξεστιν, ὡς ἔοικεν, ὅτι Ἀρκάδες ἐσμέν. Ἐνταῦθα δὴ, ὡς εὖ εἰπόντος τοῦ Ἀγασίου, ἀνεθορύβησαν.

31 Καὶ ὁ Ξενοφῶν, ἐπειδὴ ἑώρα πλείονος ἐνδέον, παρελθὼν εἶπεν· Ἀλλ', ὦ ἄνδρες, ἔφη, ὡς πάνυ εἰδῆτε, ὀμνύω ὑμῖν θεοὺς πάντας καὶ πάσας, ἦ μὴν ἐγὼ, ἐπεὶ τὴν ὑμετέραν γνώμην ᾐσθανόμην, ἐθυόμην, εἰ βέλτιον εἴη ὑμῖν τε, ἐμοὶ ἐπιτρέψαι ταύτην τὴν ἀρχὴν, καὶ ἐμοὶ, ὑποστῆναι· καὶ ἐμοὶ οἱ θεοὶ οὕτως ἐν τοῖς ἱεροῖς ἐσήμηναν, ὡς καὶ ἰδιώτην ἂν γνῶναι, ὅτι ταύτης τῆς μοναρχίας ἀπέχεσθαί
32 με δεῖ. Οὕτω δὴ Χειρίσοφον αἱροῦνται. Χειρίσοφος δ' ἐπεὶ ᾑρέθη, παρελθὼν εἶπεν· Ἀλλ', ἔφη, ὦ ἄνδρες, τοῦτο μὲν ἴστε, ὅτι οὐκ ἂν ἔγωγε ἐστασίαζον, εἰ ἄλλον εἵλεσθε. Ξενοφῶντα μέντοι, ἔφη, ὠνήσατε, οὐχὶ ἑλόμενοι· ὡς καὶ νῦν Δέξιππος ἤδη διέβαλεν αὐτὸν πρὸς Ἀνα-

dicit, sed ἀχθόμενον. Ipse vero de se antea στασιάζοντα dixit.

30. εἶπε, πολὺ πλείους] Ita cum Stephano liber Paris. Vetus ἔλεγε, πολὺ μᾶλλον revocavit cum Zeunio Weiske. Hic quidem πολὺ μᾶλλον λέγοντες interpretatur *pluribus verbis majorique contentione dicentes.* Liber Eton. deinceps dat ἀνίσταντο simplex.

εἰ οὕτως ἔχοι] Ita ex libro Paris. scripsi pro ἔχει. Ita antecedens γελοῖον εἴη scribendum esse clamat.

ὡς ὀργιοῦνται] Paris. Eton. omittunt ὡς; Leonclavius ὡς οὐκ scriptum maluit. Deinceps Λακεδαιμόνιον erat in Edd. vett. Guelf.

ἐπεὶ εἰ οὕτω—ἔχει] Ex libro Eton. ita vulgatum ἐπεὶ οὕτω γε τοῦτ', ἔφη correxit Hutchinson. ἔχει est etiam in Guelf. et Paris.

Ἐνταῦθα] Margo Steph. πρὸς ταῦτα annotavit.

31. ἐπειδὴ] Guelf. Eton. ἐπεὶ ἑώρα. Sequens πλείονος ἐνδέον interpretatur Weiske *rem pluribus verbis egere.*

γνώμην] Liber Brodæi χάριν, Eton. χώραν dat. Deinceps ἐμὲ ὑποστῆναι Eton. liber habet.

ὡς καὶ] Eton. ὥστε καὶ habet. Deinceps Edd. vett. Guelf. ἀναγνῶναι. Sequens ταύτης omittit Eton.

32. Ἀλλ', ἔφη] Eton. liber ἔφη omittit; sequens μέντοι ex eodem libro adscivi cum Zeunio; vulgatum μὲν revocavit Weiske.

ξίβιον, ὅ τι ἐδύνατο, καὶ μάλα ἐμοῦ αὐτὸν σιγάζοντος. Ὁ δὲ ἔφη νομίζειν, αὐτὸν Τιμασίωνι μᾶλλον συνάρχειν ἐθελῆσαι, Δαρδανεῖ ὄντι, τοῦ Κλεάρχου στρατεύματος, ἢ ἑαυτῷ, Λάκωνι ὄντι. Ἐπεὶ μέντοι ἐμὲ εἵλεσθε, ἔφη, 33
καὶ ἐγὼ πειράσομαι, ὅ τι ἂν δύνωμαι, ὑμᾶς ἀγαθὸν ποιεῖν. Καὶ ὑμεῖς οὕτω παρασκευάζεσθε, ὡς αὔριον, ἐὰν πλοῦς ᾖ, ἀναξόμενοι· ὁ δὲ πλοῦς ἔσται εἰς Ἡράκλειαν· ἅπαντας οὖν δεῖ ἐκεῖσε πειρᾶσθαι ἥκειν· τὰ δὲ ἄλλα, ἐπειδὰν ἐκεῖσε ἔλθωμεν, βουλευσόμεθα.

CAP. X. (VULGO LIB. VI. CAP. II.)

ΕΝΤΕΥΘΕΝ τῇ ὑστεραίᾳ ἀναγόμενοι πνεύματι καλῷ ἔπλεον ἡμέρας δύο παρὰ τὴν γῆν. Καὶ παραπλέοντες ἐθεώρουν τήν τ' Ἰασονίαν ἀκτὴν, ἔνθα ἡ Ἀργὼ λέγεται

καὶ μάλα ἐμοῦ] Ita margo Steph. Paris. Eton. Vulgatum μάλιστα ita poni non solet. De Dexippo compara v. 1, 15.

σιγάζοντος] Margo Steph. Paris. Eton. dant δοξάζοντος. Sed Hesychius: σιγάζοντος Ξενοφῶν ἐν Ἀναβάσει ἐπὶ τοῦ σιγᾷν λιπαροῦντος. Contra δοξάζειν pro laudare, prædicare non frequentavit ætas Xenophontea Atticorum, quanquam Index Zeunianus ex Cyropædia v. 5, 46. exemplum hujus significationis posuit hoc: ὁ πλείστους χειρωσάμενος ἀλκιμώτατος δοξάζεται εἶναι; sed oppositum illi in altero orationis membro οὗτος—κρίνοιτο ἂν εἶναι satis demonstrat, vulgarem significationem etiam ibi præferendam esse.

συνάρχειν] Eton. ἄρχειν αὐτόν. Quod ait Weiske, verba τοῦ στρατεύματος pendere a verbo συνάρχειν, id verum quidem est; sed præterea monere debebat, in vulgata lectione ad ἐθελῆσαι supplendum esse ἄν, quod librarii culpa excidisse videtur.

33. ἥκειν] Eton. κατασχεῖν ἥκειν, ubi duplex scripturæ varietas simul annotatur: quod apparet ex Paris. libro, qui solum κατασχεῖν habet, id est *appellere*.

1. Ἐντεῦθεν] Eton. ἐνταῦθα. Ex eodem deinceps παρὰ τὴν γῆν dedi. Articulus vulgatis in libris deerat.

Ἰασονίαν] Vulgatum Ἰασωνίαν corrigi jussit Porson ex analogia, idque præeunte Weiskio fecimus. Præterea ἄκραν scribi voluit Larcher, quoniam ita vocent Strabo et Ptolemæus. Cf. *Mannert* Geogr. vi. p. ii. p. 394. Ceterum Larcherus idem monuit præpostere hic commemorari promontorium Iasonium cum ostiis fluviorum Thermodontis, Irios et Halyos, quippe quæ inter Cotyora et Sinopen sita antea commemoranda fuerint. Observat idem *Mannert* Geogr. Gr. vi. p. ii. p. 445. Contra monet amicissimus Buttmann, quando Xenophon voluerit navigationem Græcorum cum Argonautarum itinere comparare, id illi faciendum fuisse aut antea, aut nunc demum. Antea si fecisset, tunc occupanda erant ea, quæ postea demum Græci viderant. Igitur nunc simul omnia repetere, et lectori quasi ob oculos ponere, ut uno velut obtutu Argonautarum iter secundum litus Ponti possit consequi. Idem fere sentientem postea Halbkartium deprehendi,

ὁρμίσασθαι, καὶ τῶν ποταμῶν τὰ στόματα· πρῶτον μὲν
τοῦ Θερμώδοντος, ἔπειτα δὲ τοῦ Ἴριος, ἔπειτα δὲ τοῦ
Ἅλυος, μετὰ δὲ τοῦτον τοῦ Παρθενίου· τοῦτον δὲ παρα-
πλεύσαντες, ἀφίκοντο εἰς Ἡράκλειαν, πόλιν Ἑλληνίδα,
Μεγαρέων ἄποικον, οὖσαν δ' ἐν τῇ Μαριανδυνῶν χώρᾳ.
2 Καὶ ὡρμίσαντο παρὰ τῇ Ἀχερουσιάδι Χεῤῥονήσῳ· ἔνθα
λέγεται Ἡρακλῆς ἐπὶ τὸν Κέρβερον κύνα καταβῆναι, οὗ
νῦν τὰ σημεῖα δεικνύουσι τῆς καταβάσεως, τὸ βάθος
3 πλέον ἢ ἐπὶ δύο στάδια. Ἐνταῦθα τοῖς Ἕλλησιν οἱ
Ἡρακλεῶται ξένια πέμπουσιν, ἀλφίτων μεδίμνους τρισ-
χιλίους, καὶ οἴνου κεράμια δισχίλια, καὶ βοῦς εἴκοσι,
καὶ ὄϊς ἑκατόν. Ἐνταῦθα διὰ τοῦ πεδίου ῥεῖ ποταμὸς,
Λύκος ὄνομα, εὖρος ὡς δύο πλέθρων.
4 Οἱ δὲ στρατιῶται συλλεγέντες ἐβουλεύοντο, τὴν λοιπὴν
πορείαν πότερον κατὰ γῆν ἢ κατὰ θάλατταν χρὴ πορεύ-
εσθαι ἐκ τοῦ Πόντου. Ἀναστὰς δὲ Λύκων Ἀχαιὸς εἶπε·
Θαυμάζω μὲν, ὦ ἄνδρες, τῶν στρατηγῶν, ὅτι οὐ πειρῶν-
ται ἡμῖν ἐκπορίζειν σιτηρέσιον· τὰ μὲν γὰρ ξένια οὐ μὴ
γένηται τῇ στρατιᾷ τριῶν ἡμερῶν σῖτα· ὁπόθεν δ' ἐπισι-
τισάμενοι πορευσόμεθα, οὐκ ἔστιν, ἔφη. Ἐμοὶ οὖν δο-
κεῖ, αἰτεῖν τοὺς Ἡρακλεώτας μὴ ἔλαττον ἢ τρισχιλίους
5 Κυζικηνούς. Ἄλλος δ' εἶπε, μηνὸς μισθὸν, μὴ ἔλατ-

ἔπειτα τοῦ Ἴριος] Hæc ex Aldina, libro Brodæi, Paris. Regiis B. C. margine Villois. recte restituit vulgo omissa Zeune, sed ibi Τίγριος scriptum legitur, verum Ἴριος est in margine Steph. Cf. supra v. 6, 9.

Μεγαρέων] Solus Strabo libro xii. Μιλησίων κτίσμα esse dixit. Cf. Wesseling ad Diodori xiv. 31. Scholia ad Apollonii Argon. ii. 747. οὗτοι οἱ Ἡρακλεῶται Μεγαρέων εἰσὶν ἄποικοι καὶ Βοιωτῶν· κατοικοῦσι δὲ ἐν τῇ Μαριανδυνῶν χώρᾳ.

Μαριανδυνῶν] Vulgatum Μαρυανδηνῶν correxit Zeune ex consensu aliorum scriptorum, ex Cyrop. i. 1, 4. et testimonio Eustathii ad Dionysii Perieg. versu 787.

2. παρὰ τῇ] Margo Villois. ἐπὶ τῇ annotavit. Male Guelf. ὡρμήσαντο. Deinceps ἢ νῦν est in libro Eton.

3. ὄϊς] Guelf. ὄεις habet. Nomen fluvii Paris. liber Λύκιος, Eton. Λυκεῖος scriptum habet. Cf. *Mannert* Geogr. Gr. vi. p. ii. p. 444.

4. πορεύεσθαι] Eton. πορευθῆναι. deinceps σιτία dat.

5. μηνὸς μισθὸν] Verba hæc omittunt Paris. et Eton. Sane post μυρίους commodiorem haberent locum.

τον ἢ μυρίους· καὶ ἑλομένους πρέσβεις αὐτίκα μάλα,
ἡμῶν καθημένων, πέμπειν πρὸς τὴν πόλιν, καὶ εἰδέναι,
ὅ τι ἂν ἀπαγγέλλωσι, καὶ πρὸς ταῦτα βουλεύεσθαι.
Ἐντεῦθεν προὐβάλλοντο πρέσβεις, πρῶτον μὲν Χειρίσο- 6
φον, ὅτι ἄρχων ᾕρητο· εἰσὶ δ᾽ οἳ καὶ Ξενοφῶντα· οἱ δ᾽
ἰσχυρῶς ἀπεμάχοντο· ἀμφοῖν γὰρ ταὐτὰ ἐδόκει, μὴ
ἀναγκάζειν πόλιν Ἑλληνίδα καὶ φιλίαν, ὅ τι μὴ αὐτοὶ
ἐθέλοντες διδοῖεν. Ἐπεὶ δ᾽ οὖν οὗτοι ἐδόκουν ἀπρόθυμοι 7
εἶναι, πέμπουσι Λύκωνα Ἀχαιὸν, καὶ Καλλίμαχον
Παῤῥάσιον, καὶ Ἀγασίαν Στυμφάλιον. Οὗτοι ἐλθόντες
ἔλεγον τὰ δεδογμένα· τὸν δὲ Λύκωνα ἔφασαν καὶ ἐπ-
απειλεῖν, εἰ μὴ ποιήσαιεν ταῦτα [πάντα]. Ἀκούσαντες 8
δ᾽ οἱ Ἡρακλεῶται, βουλεύσεσθαι ἔφασαν· καὶ εὐθὺς
τά τε χρήματα ἐκ τῶν ἀγρῶν συνῆγον, καὶ τὴν ἀγορὰν
εἴσω ἀνεσκεύασαν, καὶ αἱ πύλαι ἐκέκλειντο, καὶ ἐπὶ τῶν
τειχῶν ὅπλα ἐφαίνετο.

Ἐκ τούτου οἱ ταράξαντες ταῦτα τοὺς στρατηγοὺς 9
ᾐτιῶντο διαφθείρειν τὴν πρᾶξιν· καὶ συνίσταντο οἱ Ἀρκά-
δες καὶ οἱ Ἀχαιοί· προειστήκει δὲ μάλιστα αὐτῶν Καλ-
λίμαχός τε ὁ Παῤῥάσιος καὶ Λύκων ὁ Ἀχαιός. Οἱ δὲ 10
λόγοι ἦσαν αὐτοῖς, ὡς αἰσχρὸν εἴη ἄρχειν ἕνα Ἀθηναῖον
Πελοποννησίων καὶ Λακεδαιμονίων, μηδεμίαν δύναμιν

6. ᾕρητο] Eton. liber Χειρίσοφον ὁ ἄρχων ᾑρεῖτο habet. Sequens ταὐτὰ pro ταῦτα debetur Hutchinsono.

ὅ τι μὴ] Zeune cum Hutchinsono putat ὅτι μὴ esse positum pro εἰ μὴ, contra Stephanus ὅ, τι edidit, quod tenendum censuit Weiske. Nam ὅτι μὴ pro εἰ μὴ græcum non esse. Ita enim scriptum oportuisse: ὅτι μὴ ἂν αὐτοὶ vel ὅτι μὴ εἰ αὐτοί. Recte! Ad verbum ἀναγκάζειν repete ex sequenti membro διδόναι.

διδοῖεν] Edd. vett. Guelf. δίδοιεν scribunt.

7. οὖν οὗτοι] Eton. οὖν omisit.

ποιήσαιεν] Ita Castal. et Steph. ποιήσαι Edd. vett. Guelf. ποιήσειεν margo Steph. Paris. Eton. Sequens πάντα omittunt Paris. Eton. igitur seclusi.

8. βουλεύσεσθαι] Edd. vett. Guelf. βουλεύσασθαι. deinceps ἀγορῶν Eton. habet. ἀγορὰ h. l. dicitur pro τὰ ὤνια vel potius ἐπιτήδεια. Cyrop. vi. 2, 25. οὐδὲν εὑρήσομεν τῶν ἐπιτηδείων· ἀνεσκεύασται γὰρ τὰ μὲν ὑφ᾽ ἡμῶν, τὰ δὲ ὑπὸ τῶν πολεμίων.

9. τοὺς στρατηγοὺς] Margo Steph. Paris. Eton. λοχαγοὺς nominant.

10. ἕνα Ἀθηναῖον] Non nomine sed re Xenophontem imperium tenere, criminabantur.

παρεχόμενον εἰς τὴν στρατιάν· καὶ τοὺς μὲν πόνους σφᾶς ἔχειν, τὰ δὲ κέρδη ἄλλους, καὶ ταῦτα, τὴν σωτηρίαν σφῶν κατειργασμένων· εἶναι γὰρ τοὺς κατειργασμένους Ἀρκάδας καὶ Ἀχαιούς· τὸ δ' ἄλλο στράτευμα οὐδὲν εἶναι· (καὶ ἦν δὲ τῇ ἀληθείᾳ ὑπερήμισυ τοῦ ἄλλου στρα-
11 τεύματος Ἀρκάδες καὶ Ἀχαιοὶ) εἰ οὖν σωφρονοῖεν οὗτοι, συστάντες, καὶ στρατηγοὺς ἑλόμενοι ἑαυτῶν, καθ' ἑαυτούς τε ἂν τὴν πορείαν ποιοῖντο, καὶ πειρῷντο ἀγαθόν τι
12 λαμβάνειν. Ταῦτα ἔδοξε· καὶ ἀπολιπόντες Χειρίσοφον, εἴ τινες ἦσαν παρ' αὐτῷ Ἀρκάδες ἢ Ἀχαιοὶ, καὶ Ξενοφῶντα, συνέστησαν· καὶ στρατηγοὺς αἱροῦνται ἑαυτῶν δέκα· τούτους δ' ἐψηφίσαντο ἐκ τῆς νικώσης, ὅ τι δοκοίη, τοῦτο ποιεῖν. Ἡ μὲν οὖν τοῦ παντὸς ἀρχὴ Χειρισόφῳ ἐνταῦθα κατελύθη, ἡμέρᾳ ἕκτῃ ἢ ἑβδόμῃ, ἀφ' ἧς ᾑρέθη.

13 Ξενοφῶν μέντοι ἐβούλετο κοινῇ μετ' αὐτῶν τὴν πορείαν ποιεῖσθαι, νομίζων, οὕτως ἀσφαλέστερον εἶναι, ἢ ἰδίᾳ ἕκαστον στέλλεσθαι· ἀλλὰ Νέων ἔπειθεν αὐτὸν καθ' ἑαυτὸν πορεύεσθαι, ἀκούσας τοῦ Χειρισόφου, ὅτι Κλέανδρος ὁ ἐν Βυζαντίῳ ἁρμοστὴς φαίη, τριήρεις ἔχων ἥξειν εἰς
14 Κάλπης λιμένα· ὅπως οὖν μηδεὶς μετάσχοι, ἀλλ' αὐτοὶ καὶ οἱ αὐτῶν στρατιῶται ἐκπλεύσειαν ἐπὶ τῶν τριήρων, διὰ ταῦτα συνεβούλευε. Καὶ Χειρίσοφος, ἅμα μὲν ἀθυμῶν τοῖς γεγενημένοις, ἅμα δὲ μισῶν ἐκ τούτου τὸ στρά-
15 τευμα, ἐπιτρέπει αὐτῷ ποιεῖν, ὅ τι βούλεται. Ξενοφῶν δὲ ἔτι μὲν ἐπεχείρησεν ἀπαλλαγεὶς τῆς στρατιᾶς ἐκ-

ὑπερήμισυ] Equidem articulum τὸ addendum censeo.

11. ἑαυτούς τε ἂν] Copulam τε omittunt Juntina, Guelf. Eton.

12. Χειρίσοφον] Edd. vett. addunt καὶ, quod anteponi debebat; Guelf. addit τε καί. Ceterum εἴ τινες est pro οἵ τινες. Attice dictum.

13. Κλέανδρος ὁ] Articulum omittunt Edd. vett. Guelf.

14. μετάσχοι] Eton. μετάσχῃ habet. τὸ στράτευμα] Juntina, Guelf. τοῦ στρατεύματος.

ἐπιτρέπει αὐτῷ] Xenophontem intelligit Zeune cum Hutchinsono; equidem Xenophontis mentionem et nomen nimis remotum esse puto; igitur exercitum intelligo.

15. τῆς στρατιᾶς] Guelf. ἐκ τῆς στρατιᾶς.

πλεῦσαι· θυομένῳ δὲ αὐτῷ τῷ Ἡγεμόνι Ἡρακλεῖ, καὶ κοινουμένῳ, πότερα λῷον καὶ ἄμεινον εἴη στρατεύεσθαι, ἔχοντι τοὺς παραμείναντας τῶν στρατιωτῶν, ἢ ἀπαλλάττεσθαι, ἐσήμηνεν ὁ θεὸς τοῖς ἱεροῖς, συστρατεύεσθαι.
Οὕτω γίνεται τὸ στράτευμα τριχῇ· Ἀρκάδες μὲν καὶ 16
Ἀχαιοὶ πλείους ἢ τετρακισχίλιοι καὶ πεντακόσιοι, ὁπλῖται πάντες· Χειρισόφῳ δὲ ὁπλῖται μὲν εἰς τετρακοσίους καὶ χιλίους, πελτασταὶ δὲ εἰς ἑπτακοσίους, οἱ Κλεάρχου Θρᾷκες· Ξενοφῶντι δὲ ὁπλῖται μὲν εἰς ἑπτακοσίους καὶ χιλίους, πελτασταὶ δὲ εἰς τριακοσίους· ἱππικὸν δὲ μόνος οὗτος εἶχεν, ἀμφὶ τοὺς τετταράκοντα ἱππέας.

Καὶ οἱ μὲν Ἀρκάδες, διαπραξάμενοι πλοῖα παρὰ 17
τῶν Ἡρακλεωτῶν, πρῶτοι πλέουσιν, ὅπως ἐξαίφνης ἐπιπεσόντες τοῖς Βιθυνοῖς, λάβοιεν ὅτι πλεῖστα· καὶ ἀποβαίνουσιν εἰς Κάλπης λιμένα, κατὰ μέσον πως τῆς
Θρᾴκης. Χειρίσοφος δ᾽ εὐθὺς ἀπὸ τῆς πόλεως τῶν 18
Ἡρακλεωτῶν ἀρξάμενος, πεζῇ ἐπορεύετο διὰ τῆς χώρας· ἐπεὶ δ᾽ εἰς τὴν Θρᾴκην ἐνέβαλε, παρὰ τὴν θάλατταν
ἐπορεύετο· καὶ γὰρ ἤδη ἠσθένει· Ξενοφῶν δὲ, πλοῖα λα- 19
βὼν, ἀποβαίνει ἐπὶ τὰ ὅρια τῆς Θρᾴκης καὶ τῆς Ἡρακλεώτιδος, καὶ διὰ μεσογαίας ἐπορεύετο.

ἔχοντι — συστρατεύεσθαι] Juntina cum Guelf. hæc omisit, quia librarii oculus a verbo simili ad alterum aberravit.

16. τριχῇ] Guelf. τριχά. Verba καὶ πεντακόσιοι desunt in libro Brodæi, Paris. Eton.

ὁπλῖται πάντες] Exciderunt hæc in Juntina.

μόνος οὗτος] Edd. vett. Guelf. οὗτος μόνον. sequens τοὺς post ἀμφὶ omittit Eton.

18. ἐνέβαλε] Guelf. ἐνέβαλλε. Deinceps Paris. Eton. habet: ᾔει· καὶ γὰρ ἠσθένει, omisso ἤδη, quod Guelf. post ἠσθένει reponit. Chirisophus ἀσφάλειαν itineris secutus esse dicitur libri sequentis cap. 1. sect. 10.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ ϛʹ.

CAPUT I.

ΟΝ μὲν οὖν τρόπον ἥ τε Χειρισόφου ἀρχὴ τοῦ παντὸς
κατελύθη, καὶ τῶν Ἑλλήνων τὸ στράτευμα ἐσχίσθη, ἐν
τοῖς ἐπάνω εἴρηται. Ἔπραξαν δ' αὐτῶν ἕκαστοι τάδε· 2
Οἱ μὲν Ἀρκάδες, ὡς ἀπέβησαν νυκτὸς εἰς Κάλπης λι-
μένα, πορεύονται εἰς τὰς πρώτας κώμας, στάδια ἀπὸ
θαλάττης ὡς πεντήκοντα. Ἐπεὶ δὲ φῶς ἐγένετο, ἦγεν
ἕκαστος στρατηγὸς τὸ αὑτοῦ λάχος ἐπὶ κώμην· ὁποία δὲ
μείζων κώμη ἐδόκει εἶναι, σύνδυο λόχους ἦγον οἱ στρατη-
γοί. Συνεβάλοντο δὲ καὶ λόφον, εἰς ὃν δέοι πάντας 3
ἁλίζεσθαι· καὶ, ἅτε ἐξαίφνης ἐπιπεσόντες, ἀνδράποδά
τε πολλὰ ἔλαβον, καὶ πρόβατα πολλὰ περιεβάλοντο.
Οἱ δὲ Θρᾶκες ἠθροίζοντο οἱ διαφυγόντες· πολλοὶ δὲ 4

1. Ὃν μὲν οὖν τρόπον] Ab hoc capite initium novi libri Xenophontem exorsum fuisse, formula solennis procemii loco posita arguit, et jam olim monuit Muretus, cui nullus Editorum ante me paruit. Mirum tamen, in libro Paris. et Eton. omnium optimis, qui hucusque comparati fuerunt, deesse formulam hanc initialem a verbis inde Ὃν μὲν οὖν τρόπον usque ad εἴρηται.

2. πεντήκοντα] Paris. et Eton. τριάκοντα habent. Deinceps τὸν αὑτοῦ λόχον dat Stephaniana secunda cum libro Brodæi et Paris.

μείζων κώμη] Alterum vocabulum omittit Paris. et Eton. sed recte defendit ex ingenio Xenophontis Zeune.

3. Συνεβάλοντο] Guelf. συνεβάλλοντο habet, quod mihi præferendum videbatur. Paulo post collis hic dicitur τὸ συγκείμενον.

ἁλίζεσθαι] Ita Steph. cum Paris. libro. αὐλίζεσθαι Edd. vett. Guelf. Eton. deinde περιεβάλλοντο Guelf.

4. οἱ διαφυγόντες] Hoc vulgato δια-

διέφυγον, πελτασταὶ ὄντες, ὁπλίτας, ἐξ αὐτῶν τῶν χει-
ρῶν. Ἐπεὶ δὲ συνελέγησαν, πρῶτον μὲν τῷ Σμίκρητος
λόχῳ, ἑνὸς τῶν Ἀρκάδων στρατηγῶν, ἀπιόντι ἤδη εἰς τὸ
συγκείμενον, καὶ πολλὰ χρήματα ἄγοντι, ἐπιτίθενται.
5 Καὶ τέως μὲν ἐμάχοντο ἅμα πορευόμενοι οἱ Ἕλληνες·
ἐπὶ δὲ διαβάσει χαράδρας τρέπονται αὐτούς· καὶ αὐτὸν
μὲν τὸν Σμίκρητα ἀποκτιννύασι, καὶ τοὺς ἄλλους πάν-
τας· ἄλλου δὲ λόχου τῶν δέκα στρατηγῶν, τοῦ Ἡγη-
σάνδρου, ὀκτὼ μόνους κατέλιπον· καὶ αὐτὸς Ἡγήσανδρος
6 ἐσώθη. Καὶ οἱ ἄλλοι μὲν λοχαγοὶ συνῆλθον, οἱ μὲν
σὺν πράγμασιν, οἱ δ' ἄνευ πραγμάτων, οἱ δὲ Θρᾷκες,
ἐπεὶ εὐτύχησαν τοῦτο τὸ εὐτύχημα, συνεβόων τε ἀλλή-
λους, καὶ συνελέγοντο ἐῤῥωμένως τῆς νυκτός. Καὶ ἅμα
τῇ ἡμέρᾳ κύκλῳ περὶ τὸν λόφον, ἔνθα οἱ Ἕλληνες
ἐστρατοπεδεύσαντο, ἐτάττοντο καὶ ἱππεῖς πολλοὶ καὶ
7 πελτασταὶ, καὶ ἀεὶ πλείονες συνέῤῥεον· καὶ προσέβαλ-
λον πρὸς τοὺς ὁπλίτας ἀσφαλῶς· οἱ μὲν γὰρ Ἕλληνες
οὔτε τοξότην εἶχον οὔτε ἀκοντιστὴν οὔτε ἱππέα· οἱ δὲ
προσθέοντες καὶ προσελαύνοντες ἠκόντιζον· ὁπότε δ' αὐ-
τοῖς ἐπίοιεν, ῥᾳδίως ἀπέφευγον· ἄλλοι δὲ ἄλλῃ ἐπετί-
8 θεντο. Καὶ τῶν μὲν πολλοὶ ἐτιτρώσκοντο, τῶν δὲ οὐδείς·

φεύγοντες substituit Weiske. Deinceps ὄντας Edd. vett. Guelf.

ἐπιτίθενται] Ita Eton. cui vulgatum ἐπετίθεντο postponit mecum Porson. Idem liber sequens δὲ post ἐπὶ omittit.

5. τρέπονται] Barbari vel Thraces; quod a Xenophonte non additum miratur Weiske.

αὐτὸν μὲν τὸν] Ita Edd. vett. Guelf. Vulgo est αὐτόν τε τὸν. Etiam Eton. habet τὸν μὲν Σμίκρητα.

ἀποκτιννύασι] Ita Guelf. et Paris. magis Attice, quam quod vulgatur ἀποκτιννύουσι.

ἄλλου δὲ λόχου] Ita Steph. cum libro Brodæi, Paris. et Amasæi versione. Vulgatum λοχαγοῦ revocavit Weiske.

6. Καὶ οἱ ἄλλοι μὲν] Ita liber Eton. habet scriptum, ut voluit Leonclavius vulgatum καὶ ἄλλοι δὲ corrigi. Zeune hanc varietatem cum multis aliis neglexit.

πράγμασιν] Recte Amasæus *prædam* interpretatur, id est χρήματα, uti Hellenic. i. 6, 13. Usum hunc Atticis vindicat Mœris.

ἐπεὶ εὐτύχησαν] Ita ex libro Eton. correxi vulgatum εὐτυχήσαντες.

τῇ ἡμέρᾳ κύκλῳ περὶ] Junt. Guelf. κύκλῳ τῇ ἡμέρᾳ περὶ, Aldina ἦσαν κύκλῳ τῇ ἡμέρᾳ περί. Deinceps ἐστρατοπεδεύοντο Edd. vett. Guelf. Eton.

ἐτάττοντο] Eton. anteponit huic verbum ἐμάχοντο.

ὥστε κινηθῆναι οὐκ ἐδύναντο ἐκ τοῦ χωρίου, ἀλλὰ τελευ-
τῶντες καὶ ἀπὸ τοῦ ὕδατος εἶργον αὐτοὺς οἱ Θρᾶκες.
Ἐπεὶ δ' ἀπορία πολλὴ ἦν, διελέγοντο περὶ σπονδῶν· καὶ 9
τὰ μὲν ἄλλα ὡμολόγητο αὐτοῖς, ὁμήρους δ' οὐκ ἐδίδοσαν
οἱ Θρᾶκες, αἰτούντων τῶν Ἑλλήνων· ἀλλ' ἐν τούτῳ ἴσχε-
το. Τὰ μὲν δὴ τῶν Ἀρκάδων οὕτως εἶχε.

Χειρίσοφος δὲ, ἀσφαλῶς πορευόμενος παρὰ θάλατ- 10
ταν, ἀφικνεῖται εἰς Κάλπης λιμένα. Ξενοφῶντι δὲ διὰ
τῆς μεσογαίας πορευομένῳ οἱ ἱππεῖς προκαταθέοντες ἐν-
τυγχάνουσι πρεσβύταις πορευομένοις ποι. Καὶ ἐπειδὴ
ἤχθησαν πρὸς Ξενοφῶντα, ἐρωτᾷ αὐτοὺς, εἴ που ᾔσθην-
ται ἄλλου στρατεύματος ὄντος Ἑλληνικοῦ. Οἱ δ' ἔλε- 11
γον πάντα τὰ γεγενημένα, καὶ νῦν ὅτι πολιορκοῦνται ἐπὶ
λόφου, οἱ δὲ Θρᾶκες πάντες περικεκυκλωμένοι εἶεν αὐ-
τούς. Ἐνταῦθα τοὺς μὲν ἀνθρώπους τούτους ἐφύλατ-
τεν ἰσχυρῶς, ὅπως ἡγεμόνες εἶεν, ὅπῃ δέοι· σκοποὺς
δὲ καταστήσας δέκα, συνέλεξε τοὺς στρατιώτας, καὶ
ἔλεξεν·

Ἄνδρες στρατιῶται, τῶν Ἀρκάδων οἱ μὲν τεθνᾶσιν, οἱ 12
δὲ λοιποὶ ἐπὶ λόφου τινὸς πολιορκοῦνται. Νομίζω δ'
ἔγωγε, εἰ καὶ ἐκεῖνοι ἀπολοῦνται, οὐδ' ἡμῖν εἶναι οὐδε-
μίαν σωτηρίαν, οὕτω μὲν πολλῶν ὄντων πολεμίων, οὕτω

10. προκαταθέοντες] Eton. liber simplex καταθέοντες habet; verbum cum nomine οἱ ἱππεῖς refertur ad dativum Ξενοφῶντι πορευομένῳ, quem male interpretatur Zeune absolute positum esse.

πρεσβύταις] Ita ex margine Steph. et Paris. cum Brodæo, Mureto, Larchero vulgatum πρεσβευταῖς correxit Zeune.

ἐπειδὴ] Eton. ἐπεί. Sequens ὄντος ex Guelf. receptum Zeune Attice abundare ait, et comparat locum Platonis in Phædone sect. 58. ὡς διὰ τούτου οὐρανοῦ ὄντος τὰ ἄστρα χωροῦντα. Quem locum qui propius inspiciet, falso hoc positum a Zeunio statim animadvertet. Igitur Weiske structura verborum Attica ὄντος positum ait pro εἰ ᾔσθηνται ἄλλο στράτευμα Ἑλληνικόν που εἶναι. Mihi ὄντος displicet.

11. ἐφύλαττεν] Hoc vulgari ἐφύλαττον ex Guelf. prætulit Zeune. Idem liber deinceps habet ὅποι.

δέκα] Numerum omisit Eton. et Paris.

12. εἰ καὶ ἐκεῖνοι] Ex Guelf. καὶ adscivi.

13 δὲ τεθαρσηκότων. Κράτιστον οὖν ἡμῖν, ὡς τάχιστα
βοηθεῖν τοῖς ἀνδράσιν, ὅπως, εἰ ἔτι εἰσὶ σῶοι, σὺν ἐκείνοις
μαχώμεθα, καὶ μὴ, μόνοι λειφθέντες, μόνοι καὶ κινδυ-
14 νεύσωμεν. Νῦν μὲν οὖν στρατοπεδευώμεθα, προελθόν-
τες, ὅσον ἂν δοκῇ καιρὸς εἶναι εἰς τὸ δειπνοποιεῖσθαι·
ἕως δ' ἂν πορευώμεθα, Τιμασίων, ἔχων τοὺς ἱππέας,
προελαυνέτω, ἐφορῶν ἡμᾶς, καὶ σκοπείτω τὰ ἔμπροσθεν,
15 ὡς μηδὲν ἡμᾶς λάθῃ. Παρέπεμψε δὲ καὶ τῶν γυμνή-
των ἀνθρώπους εὐζώνους εἰς τὰ πλάγια καὶ εἰς τὰ
ἄκρα, ὅπως, εἴ πού τι ποθὲν καθορῷεν, σημαίνοιεν· ἐκέ-
λευε δὲ καίειν ἅπαντα, ὅτῳ ἐντυγχάνοιεν καυσίμῳ·
16 Ἡμεῖς μὲν γὰρ ἀποδραίημεν ἂν οὐδαμοῦ ἐνθένδε· πολλὴ
μὲν γὰρ, ἔφη, εἰς Ἡράκλειαν πάλιν ἀπιέναι, πολλὴ δὲ,
εἰς Χρυσόπολιν διελθεῖν· οἱ δὲ πολέμιοι πλησίον· εἰς
Κάλπης δὲ λιμένα, ἔνθα Χειρίσοφον εἰκάζομεν εἶναι, εἰ
σέσωσται, ἐλαχίστη ὁδός. Ἀλλὰ δὴ ἐκεῖ μὲν οὔτε πλοῖά
ἐστιν, οἷς ἀποπλευσούμεθα· μένουσι δὲ αὐτοῦ οὐδὲ μιᾶς
17 ἡμέρας ἐστὶ τὰ ἐπιτήδεια. Τῶν δὲ πολιορκουμένων ἀπο-
λομένων, σὺν τοῖς Χειρισόφου μόνοις κάκιόν ἐστι διακιν-

13. κινδυνεύσωμεν] Paris. liber præsens κινδυνεύωμεν habet.

14. στρατοπεδευώμεθα] Ita Paris. liber. στρατοπεδευσόμεθα Edd. vett. Guelf. στρατοπεδευσώμεθα vulgabatur. Deinceps περιελθόντες est in Paris. Eton. Antecedens μὲν post νῦν omittit Eton.

ὅσον—δειπνοποιεῖσθαι] Non respicere ad cœnæ tempus Xenophontem, sed ad justum exercitationis modum, ut non defatigati salubrem tamen et jucundam cœnam capiant, monet Weiske.

ἱππέας] Vulgatum ἱππεῖς correxit Zeune. Deinde προσελαυνέτω habet Paris.

ἐφορῶν ἡμᾶς] *Ita ut nos observet*, Hutchinson.

15. εἰς τὰ ἄκρα] Ex Brodæi libro et Eton. εἰς adscivit Zeune.

16. Ἡμεῖς μὲν γὰρ] Eton. μὲν omisit. Deinde οὐδαμοῦ ἐνθένδεν· πολὺ μὲν Paris. πολὺ μὲν γὰρ, ἔφη, Eton. unde vulgatam scripturam et distinctionem loci: οὐδαμοῦ· ἐνθένδε δε πολλὴ μὲν, ἔφη, mutavi.

Χρυσόπολιν] Paris. Eton. ἰσχὺς τὸ πάλιν. sequens εἰκάζομεν ex libro Paris. Eton. et margine Steph. vulgato νομίζομεν substitui.

Ἀλλὰ δὴ ἐκεῖ] Edd. vett. Guelf. ἀλλ' ἤδη ἐκεῖσε. Sequens οὐδὲ μιᾶς cum Paris. et Hutchinsono dedit Zeune pro οὐδεμίας.

17. ἀπολομένων] Ita cum Stephano Zeune. ἀπολλομένων Junt. et Guelf. ἀπολλυμένων Castal. ἀπολλουμένων Aldina, ἀπολουμένων Paris.

κάκιον—ἢ σωθέντων] Paris. Eton. κακόν. deinceps Edd. vett. Guelf. dabant σωθέντων δὲ πάντας. Paris. ha-

δυνεύειν, ἢ σωθέντων πάντας εἰς ταυτὸν ἐλθόντας κοινῇ
τῆς σωτηρίας ἔχεσθαι. Ἀλλὰ χρὴ παρασκευασαμέ-
νους τὴν γνώμην πορεύεσθαι, ὡς νῦν ἢ εὐκλεῶς τελευτῆ-
σαί ἐστιν, ἢ κάλλιστον ἔργον ἐργάσασθαι, Ἕλληνας
τοσούτους σώσαντας. Καὶ ὁ θεὸς ἴσως ἄγει οὕτως, ὃς 18
τοὺς μεγαληγορήσαντας, ὡς πλεῖον φρονοῦντας, ταπει-
νῶσαι βούλεται· ἡμᾶς δὲ, τοὺς ἀπὸ τῶν θεῶν ἀρχομέ-
νους, ἐντιμοτέρους ἐκείνων καταστῆσαι. Ἀλλ' ἕπεσθαι
χρὴ, καὶ προσέχειν τὸν νοῦν, ὡς ἂν τὸ παραγγελλόμενον
δύνησθε ποιεῖν.

Ταῦτ' εἰπὼν, ἡγεῖτο. Οἱ δ' ἱππεῖς, διασπειρόμενοι 19
ἐφ' ὅσον καλῶς εἶχεν, ἔκαιον, ἢ ἐβάδιζον. Καὶ οἱ πελ-
τασταὶ ἐπιπαριόντες κατὰ τὰ ἄκρα, ἔκαιον πάντα, ὅσα
καύσιμα ἑώρων· καὶ ἡ στρατιὰ δὲ, εἴ τινι παραλειπο-
μένῳ ἐντυγχάνοιεν· ὥστε πᾶσα ἡ χώρα αἴθεσθαι ἐδόκει,
καὶ τὸ στράτευμα πολὺ εἶναι. Ἐπεὶ δ' ὥρα ἦν, κατε- 20
στρατοπεδεύσαντο ἐπὶ λόφον ἐκβάντες, καὶ τά τε τῶν
πολεμίων πυρὰ ἑώρων, (ἀπεῖχον γὰρ ὡς τετταράκοντα
στάδια) καὶ αὐτοὶ ὡς ἐδύναντο πλεῖστα πυρὰ ἔκαιον.

bet ἢ τῶνδε σωθέντων, πάντας. Margo Villois. ἐκείνων δὲ σωθέντων. Sed ita præcedentia aliter scribenda fuerunt, ita fere: Τῶν δὲ πολιορκουμένων ἀπολομένων μὲν σὺν τοῖς X. κακόν ἐστι διακ. σωθέντων δὲ (addito etiam ἐκείνων) πάντας ἔσται εἰς ταὐτὸν ἐλθόντας—ἔχεσθαι. Equidem cum Zeunio et Weiskio scripturam marginis Steph. et libri Eton. secutus sum.

ὡς νῦν] Edd. vett. Guelf. ὡς omittunt. Deinceps σώσασθαι habet Eton.

18. ὡς πλεῖον] Edd. vett. Guelf. ὥστε πλεῖον. Ad πλεῖον intellige τοῦ καιροῦ.

δύνησθε] Paris. Eton. δυνήσησθε habent.

19. διασπειρόμενοι] Male Eton. σπειρόμενοι, et deinceps cum Guelf. et Edd. vett. εἶχον.

ἔκαιον, ἢ ἐβάδιζον] Exciderunt hæc in Junt. Guelf. Eton. habet Aldina, Steph. Paris. ἢ ἐβάδιζον margo Villois.

ἐπιπαριόντες] Male Paris. Eton. simplex παριόντες habent. Sequens ἄκρα ex margine Steph. Paris. Eton. pro vulgato μακρὰ recepit Welsius et Hutchinson.

τινι παραλειπομένῳ] Edd. vett. Guelf. τι παραλειπόμενον. Sequens ἐντυγχάνοιεν Zeune ex Edd. vett. et Guelf. in ἐντυγχάνειεν mutavit.

αἴθεσθαι] Ita liber Brodæi, Paris. Eton. margo Steph. Ante Hutchinsonianam legebatur καίεσθαι.

20. ἐπὶ λόφον] Eton. ἐπὶ τὸν λόφον. Idem deinceps δὲ pro γὰρ habet. Postea σταδίους Paris.

21 Ἐπεὶ δ᾽ ἐδείπνησαν τάχιστα, παρηγγέλθη τὰ πυρὰ
κατασβεννῦναι πάντα. Καὶ τὴν μὲν νύκτα φυλακὰς
ποιησάμενοι ἐκάθευδον· ἅμα δὲ τῇ ἡμέρᾳ προσευξάμενοι
τοῖς θεοῖς, καὶ συνταξάμενοι ὡς εἰς μάχην, ἐπορεύοντο ᾗ
22 ἐδύναντο τάχιστα. Τιμασίων δὲ καὶ οἱ ἱππεῖς, ἔχοντες
τοὺς ἡγεμόνας καὶ προελαύνοντες, ἔλαθον αὐτοὺς ἐπὶ τῷ
λόφῳ γενόμενοι, ἔνθα ἐπολιορκοῦντο οἱ Ἕλληνες. Καὶ
οὐχ ὁρῶσιν οὔτε τὸ φίλιον στράτευμα, οὔτε τὸ πολέμιον·
(καὶ ταῦτα παραγγέλλουσι πρὸς τὸν Ξενοφῶντα καὶ τὸ
στράτευμα) γραΐδια δὲ καὶ γερόντια καὶ προβάτια ὀλίγα
23 καὶ βοῦς καταλελειμμένους. Καὶ τὸ μὲν πρῶτον θαῦ-
μα ἦν, τί εἴη τὸ γεγενημένον· ἔπειτα δὲ καὶ τῶν κατα-
λελειμμένων ἐπυνθάνοντο, ὅτι οἱ μὲν Θρᾷκες εὐθὺς ἀφ᾽
ἑσπέρας ᾤχοντο ἀπιόντες· ἕωθεν δὲ καὶ τοὺς Ἕλληνας
ἔφασαν οἴχεσθαι· ὅπου δὲ, οὐκ εἰδέναι.
24 Ταῦτα ἀκούσαντες οἱ ἀμφὶ Ξενοφῶντα, ἐπεὶ ἠρίστη-
σαν, συσκευασάμενοι ἐπορεύοντο, βουλόμενοι ὡς τάχιστα
συμμίξαι τοῖς ἄλλοις εἰς Κάλπης λιμένα. Καὶ πο-
ρευόμενοι ἑώρων τὸν στίβον τῶν Ἀρκάδων καὶ Ἀχαιῶν
κατὰ τὴν ἐπὶ Κάλπης ὁδόν. Ἐπεὶ δ᾽ ἀφίκοντο εἰς τὸ
αὐτὸ, ἄσμενοί τε εἶδον ἀλλήλους, καὶ ἠσπάζοντο ὥσπερ
25 ἀδελφούς. Καὶ ἐπυνθάνοντο οἱ Ἀρκάδες τῶν περὶ Ξενο-

21. ἐδείπνησαν τάχιστα] Male vulgo distinguitur ἐδείπνησαν, τάχιστα, recte monente Abreschio in Auctario Dilucid. Thucyd. p. 346. cujus locum annotavit Porson, addens rariorem formam ex Dromone Comico Athenæi ix. p. 409. F. ἐπεὶ δὲ θᾶττον ἦμεν ἠριστηκότες. Liber Eton. τάχιστα omisit.

πάντα. Καὶ] Ita margo Steph. Paris. Eton. Vulgo legitur ἅπαντας.

22. προελαύνοντες] Eton. προσελαύνοντες—ἐλάνθανον.

παραγγέλλουσι] Eton. ἐπαγγέλλουσι. quod præferendum puto, aut απαγγέλλουσι scribendum.

προβάτια] Margo Steph. Paris. Eton. πρόβατα habent.

23. ἔπειτα δὲ καὶ] Ex Eton. καὶ adjeci. Sequens μὲν omittunt Edd. vett. cum Guelf. ut postea εὐθὺς et ἕωθεν δὲ desunt in Eton.

24. τὴν ἐπὶ] Eton. ἐπὶ male omisit. Sequens εἰς τὸ αὐτὸ ex margine Steph. libro Brodæi, Paris. Eton. recepit Zeune, cum antea esset εἰς τὴν ὁδόν. Pro στίβον Amasæus στῖφος legit et *globos* vertit.

25. τῶν περὶ] Male Juntina cum Guelf. τῶν ἐπὶ—οἰόμεθα—ἐπειδὴ τὰ πρῶτα habet.

φῶντα, τί τὰ πυρὰ κατασβέσειαν· ἡμεῖς μὲν γὰρ, ἔφα-
σαν, ᾠόμεθα, ὑμᾶς τὸ μὲν πρῶτον, ἐπειδὴ τὰ πυρὰ οὐχ
ἑωρῶμεν, τῆς νυκτὸς ἥξειν ἐπὶ τοὺς πολεμίους· (καὶ οἱ
πολέμιοι δὲ, ὥς γ' ἡμῖν ἐδόκουν, τοῦτο δείσαντες ἀπῆλ-
θον· σχεδὸν γὰρ ἀμφὶ τοῦτον τὸν χρόνον ἀπῄεσαν.)
Ἐπεὶ δ' οὐκ ἀφίκεσθε, ὁ δὲ χρόνος ἐξῆκεν, ᾠόμεθ', 26
ὑμᾶς, πυθομένους τὰ παρ' ἡμῖν, φοβηθέντας οἴχεσθαι
ἀποδράντας ἐπὶ θάλατταν· καὶ ἐδόκει ἡμῖν, μὴ ἀπολι-
πέσθαι ὑμῶν. Οὕτως οὖν καὶ ἡμεῖς δεῦρο ἐπορεύθη-
μεν.

CAP. II.

ΤΑΥΤΗΝ μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ηὐλίζοντο ἐπὶ τοῦ
αἰγιαλοῦ πρὸς τῷ λιμένι. Τὸ δὲ χωρίον τοῦτο, ὃ καλεῖ-
ται Κάλπης λιμὴν, ἔστι μὲν ἐν τῇ Θρᾴκῃ τῇ ἐν τῇ Ἀσίᾳ·
ἀρξαμένη δὲ ἡ Θρᾴκη αὕτη ἐστὶν ἀπὸ τοῦ στόματος τοῦ
Πόντου μέχρις Ἡρακλείας, ἐπὶ δεξιὰ εἰς τὸν Πόντον εἰσ-
πλέοντι. Καὶ τριήρει μέν ἐστιν εἰς Ἡράκλειαν ἐκ Βυ- 2
ζαντίου κώπαις ἡμέρας μάλα μακρᾶς πλοῦς· ἐν δὲ τῷ
μέσῳ ἄλλη μὲν πόλις οὐδεμία, οὔτε φιλία, οὔτε Ἑλλη-

καὶ οἱ πολέμιοι δὲ] Particulam δὲ ex Eton. inseruit Zeune.

26. ἀφικνεῖσθε] Liber Brodæi, Paris. Eton. ἀφίκεσθε dedit, quod recepi, eoque magis relinquendum erat antiquum ἐξῆκεν, quod in ἐξήκει mutavit Zeune, ut temporum consecutio constaret. Suidas enim ex h. l. ἐξήκει referens παρῴχηκεν interpretatus est. Deinceps πειθομένους pro πυθομένους est in Edd. vett.

1. πρὸς τῷ λιμένι] Ita Stephanus ex libris scriptis sine dubio edidit. Vulgatum ἐν τῷ λ. revocarunt Zeune et Weiske, eodem tamen sensu, quem addita ἐπὶ τοῦ αἰγιαλοῦ suadent. Sed id ipsum membrum impedit, quominus dictionem obscuriorem subjunctam ferre liceat, ubi distincta locorum notatione opus erat. Scio μάχην ἐν Κορίνθῳ Agesilai vii. 5. esse *pugnam ad Corinthum*, ἐν Κορωνείᾳ in Memorab. similesque notationes locorum licet multis in scriptorum locis reperire, ubi tamen notione generali nec distincta loci notatione defungi licebat. Comparat Weiske τὸ ὄρος τὸ ἐν τῷ λιμένι idque ait esse pro πρὸς τῷ λιμένι. Sed unde didicerat vir doctus, montem extremum fuisse, non ipso portu inclusum?

ὃ καλεῖται] Eton. omittit ὅ. Deinceps ἐπὶ δεξιᾷ Guelf. Arrianus in Periplo de eadem re ἐν δεξιᾷ habet.

2. τριήρει] Ita Paris. Eton. et margo Villois. Vulgatum τριήρους ferri non poterat. Sed statim pejus μικρᾶς habet Eton. cum margine Steph.

νὶς, ἀλλ' ἢ Θρᾷκες οἱ Βιθυνοί· καὶ οὓς ἂν λάβωσι τῶν Ἑλλήνων ἢ ἐκπίπτοντας ἢ ἄλλως πως, δεινὰ ὑβρίζειν
3 λέγονται τοὺς Ἕλληνας. Ὁ δὲ Κάλπης λιμὴν ἐν μέσῳ μὲν κεῖται ἑκατέρωθεν πλεόντων ἐξ Ἡρακλείας καὶ Βυζαντίου· ἔστι δ' ἐν τῇ θαλάττῃ προκείμενον χωρίον, τὸ μὲν εἰς τὴν θάλατταν καθῆκον αὐτοῦ, πέτρα ἀπορρὼξ, ὕψος, ὅπῃ ἐλάχιστον, οὐ μεῖον εἴκοσιν ὀργυιῶν· ὁ δὲ αὐχὴν, ὁ εἰς τὴν γῆν ἀνήκων τοῦ χωρίου, μάλιστα τεττάρων πλέθρων τὸ εὖρος· τὸ δ' ἐντὸς τοῦ αὐχένος χωρίον, ἱκανὸν
4 μυρίοις ἀνθρώποις οἰκῆσαι. Λιμὴν δ' ὑπ' αὐτῇ τῇ πέτρᾳ, τὸ πρὸς ἑσπέραν αἰγιαλὸν ἔχων. Κρήνη δὲ ἡδέος ὕδατος καὶ ἀφθόνου ῥέουσα ἐπ' αὐτῇ τῇ θαλάττῃ, ὑπὸ τῇ ἐπικρατείᾳ τοῦ χωρίου. Ξύλα δὲ, πολλὰ μὲν καὶ ἄλλα, πάνυ δὲ πολλὰ καὶ καλὰ ναυπηγήσιμα ἐπ' αὐτῇ
5 τῇ θαλάττῃ. Τὸ δὲ ὄρος τὸ ἐν τῷ λιμένι εἰς μεσόγαιαν μὲν ἀνήκει, ὅσον ἐπὶ εἴκοσι σταδίους, καὶ τοῦτο γεῶδες καὶ ἄλιθον· τὸ δὲ παρὰ θάλατταν, πλέον ἢ ἐπὶ εἴκοσι

ἀλλ' ἢ Θρᾷκες οἱ Βιθυνοί] Paris. Eton. Regii B. C. ἀλλὰ Θρᾷκες Βιθυνοί. Sed ἀλλ' ἢ præcedente ἄλλος ita est in Œcon. ii. 13. Hieronis v. 2. Male Edd. vett. Guelf. Θρᾷκες ἢ Βιθυνοὶ habent. Arrianus Peripli p. 14. de Parthenio fluvio: μέχρι τοῦδε Θρᾷκες οἱ Βιθυνοὶ νέμονται, ὧν καὶ Ξενοφῶν ἐν τῇ συγγραφῇ μνήμην ἐποιήσατο, ὅτι μαχιμώτατοι εἶεν τῶν κατὰ τὴν Ἀσίαν. Zeunianum Θρᾷκες οἱ Βιθυνοὶ deseruit Weiske. Noster Hellenic. i. 3, 2. τοὺς Βιθυνοὺς Θρᾷκας, iii. 2, 2. τὴν Βιθυνίδα Θρᾴκην, sed Herodotus i. 28. Θρῇκες οἱ Θυνοί τε καὶ Βιθυνοὶ habet.

λέγονται τοὺς Ἕλληνας] Eton. ἐλέγχονται. Verba τοὺς Ἑλλ. Muretus delenda censuit; nec video, quomodo ad simplicitatem orationis referri commode possint cum Zeunio. Idem Eton. ἢ post ἐκπίπτοντας omittit.

3. ἐν τῇ θαλάττῃ] Muretus δὲ τῆς θαλάττης scriptum maluit.

ὁ εἰς τὴν γῆν] Articulum ex Paris. Eton. adscivi. Sequens μάλιστα Brodæus cum libro Paris. in οὐ μάλιστα mutari voluit.

οἰκῆσαι] Stephani emendationem vulgato οἴκησις, quod est etiam in Eton. prætulit Hutchinson. οἰκήσεις Paris. οἰκίσειν dedit Stephanus.

4. ἡδέος] Arrianus Peripli p. 13. ὁ δὲ Κάλπης λιμὴν ὁποῖόν τι χωρίον ἐστὶν, καὶ ὁποῖος ὅρμος, καὶ ὅτι πηγὴ ἐν αὐτῷ ψυχροῦ καὶ καθαροῦ ὕδατος, καὶ ὅτι ὗλαι πρὸς τῇ θαλάσσῃ ξύλων ναυπηγησίμων, καὶ αὗται ἔνθηροι, ταῦτα Ξενοφῶντι τῷ πρεσβυτέρῳ λέλεκται. Huc pertinet locus Geoponicorum ii. 6, 9. τινὰ δὲ ὕδατα καὶ ἐπὶ τὴν θάλατταν διὰ τῆς γῆς ἐπὶ πολὺν τόπον ἐν ταῖς φλεψὶν ἐνεχθέντα οὕτως ἀναβλύει, καθάπερ ἐστὶν ἐν Ἀράδῳ ὕδρευμα καὶ τὸ ἐν Ἡρακλείᾳ τοῦ Πόντου. ad quem locum doctissimus interpres Niclas, cum commentarios scriberet, Xenophontei loci non recordabatur.

πάνυ δὲ πολλὰ] Hæc liber Eton. omittit.

5. μὲν ἀνήκει] Juntina μὲν omisit. Sequens ξύλοις esse pro δένδρεσι recte annotavit Hutchinson.

σταδίους, δασὺ πολλοῖς καὶ παντοδαποῖς καὶ μεγάλοις ξύλοις. Ἡ δ' ἄλλη χώρα καλὴ καὶ πολλή· καὶ κῶ- 6 μαι ἐν αὐτῇ εἰσι πολλαὶ καὶ εὖ οἰκούμεναι· φέρει γὰρ ἡ γῆ καὶ κριθὰς καὶ πυροὺς καὶ ὄσπρια πάντα καὶ μελίνας καὶ σήσαμον καὶ σῦκα ἀρκοῦντα καὶ ἀμπέλους πολλὰς καὶ ἡδυοίνους, καὶ τἄλλα πάντα, πλὴν ἐλαιῶν. Ἡ μὲν χώρα ἦν τοιαύτη.

Ἐσκήνουν δὲ ἐν τῷ αἰγιαλῷ ἐπὶ τῇ θαλάττῃ· εἰς δὲ 7 τὸ πόλισμα ἂν γενόμενον οὐκ ἐβούλοντο στρατοπεδεύεσθαι· ἀλλὰ ἐδόκει καὶ τὸ ἐλθεῖν ἐνταῦθα ἐξ ἐπιβουλῆς

6. *εὖ οἰκούμεναι*] Eton. *εὖ* omittit, cujus tamen rationem reddit sequens *γάρ*.

σήσαμον] Edd. vett. Guelf. *σίσαμον*, Paris. Eton. *σήσαμα*. Pollux iii. 22. ex h. l. vites *ἡδυοίνους* posuit.

7. *ἐπὶ τῇ*] Margo Steph. Paris. Eton. *πρὸς τῇ* habent.

εἰς δὲ τὸ πόλισμα ἂν γενόμενον] Vulgatum *γενόμενοι* ex Paris. libro mutavit Zeune, qui *εἰς τὸ πόλ.* positum ait pro *ἐν δὲ τῷ πολίσματι ἂν γενομένῳ*. Vulgatum vertunt: *in oppidum vero licet pervenissent, castra tamen ibi locare nolebant.* Quæ sententia ex græcis verbis extorqueri non potest. Zeune hunc eorum sensum refert: *sed in urbem si venissent, non ibi castra fixissent.* Weiske vulgatum ita interpretari etiam licere ait: *ita vero, ut facile in civitatem coalescerent.* Ipse cum Zeunio *εἰς γενόμενον ἂν πόλισμα* vertit: *in loco, qui facile futurus fuisset oppidum*; sive *in loco urbi condendæ apto.* Priusquam de sensu loci disputemus, locus ipse, ad quem in vicinia castra habebant Græci, diligentius erit examinandus. *Χωρίον* dicit Xenophon portum *Κάλπης*, isthmi genus, quem *μυρίοις ἀνθρώποις* ad habitandum sufficere ait. Extra isthmum in terra continenti et remotæ a portu videntur fuisse *κῶμαι* illæ, de quibus sect. 6. Xenophontem criminantur sect. 14. velle eum *τὸ χωρίον οἰκίσαι.* Hoc idem esse videtur, quod *τὸ ἐρυμνὸν χωρίον*, in quo deponere impedimenta jubet milites Xenophon sect. 21. Sed milites reformidant locum, sect. 22. Eo tamen ducunt duces reliquos ex infelici expeditione milites cap. 3, 1. *εἰς τὸ ἐρυμνὸν χωρίον*, quod fossa et vallo muniunt. De eodem est cap. 4, 4. *ὅτι πολίζει τὸ χωρίον.* Vix igitur dubitare licet, ipsum *Κάλπης λιμένα* esse illud *χωρίον ἐρυμνὸν*, quod Xenophontem velle occupare et colonis græcis ibi collocatis exstruere suspicabantur milites. Tota vero narratio docet, locum tum fuisse vacuum et desertum. Hunc ipsum portum intelligendum censeo in verbis illis, de quibus dubitatur: *εἰς δὲ τὸ πόλισμα ἂν γενόμενον οὐκ ἐβούλοντο στρατοπεδεύεσθαι.* Sed antequam verba *πόλισμα ἂν γενόμενον* adjungerentur, nominandus erat ipse locus. Igitur *εἰς δὲ τὸ χωρίον* excidisse puto. Sequentia vero nec ipsa integra esse censeo, sed deesse quædam, quibus Xenophontis opinio de loco urbi exstruendæ commodo contineretur. Verba enim, uti nunc habent, nimis brevia et abrupta sunt, quam ut commodam inde sententiam extundere liceat. Omnino verba hæc *πόλισμα ἂν γενόμενον* mihi hoc in loco spuria et aliena esse videntur. Causa enim demum redditur timoris militum verbis illis: *ἀλλὰ ἐδόκει—βουλομένων τινῶν κατοικίσαι πόλιν.* Mentio igitur illa prior *πολίσματος ἂν γενομένου* intempestiva et ab illo loco aliena esse mihi videtur.

στρατοπεδεύεσθαι] Eton. *στρατοπεδεῦσαι* habet; deinde Edd. vett. Guelf. Eton. *κατοικῆσαι*.

8 εἶναι, βουλομένων τινῶν κατοικίσαι πόλιν. Τῶν γὰρ στρατιωτῶν οἱ πλεῖστοι ἦσαν οὐ σπάνει βίου ἐκπεπλευκότες ἐπὶ ταύτην τὴν μισθοφορὰν, ἀλλὰ τὴν Κύρου ἀρετὴν ἀκούοντες, οἱ μὲν καὶ ἄνδρας ἄγοντες, οἱ δὲ καὶ προσανηλωκότες χρήματα, καὶ τούτων ἕτεροι ἀποδεδρακότες πατέρας καὶ μητέρας, οἱ δὲ καὶ τέκνα καταλιπόντες, ὡς, χρήματα αὐτοῖς κτησάμενοι, ἥξοντες πάλιν, ἀκούοντες καὶ τοὺς ἄλλους τοὺς παρὰ Κύρῳ πολλὰ καὶ ἀγαθὰ πράττειν. Τοιοῦτοι οὖν ὄντες, ἐπεθύμουν εἰς τὴν Ἑλλάδα σώζεσθαι.

9 Ἐπειδὴ δὲ ὑστεραία ἡμέρα ἐγένετο τῆς εἰς ταὐτὸ συν-

8. *ἄνδρας ἄγοντες*] Juntina et Guelf. *ἄνδρες*, Aldina *ἄνδρας* omittit, Castalio cum Brodæo *ἄνδρας* posuit.

οἱ δὲ καὶ προσανηλωκότες] Junt. Guelf. *ἄγοντες πρὸς ἀνηλωκότα*, Aldina *ἄνδρας προανηλωκότας*. Castalio *ἄνδρας πρὸς ἀνηλωκότα*. et sic Amasæus: *ad eam quam impenderant pecuniam, viros etiam secum traxerant.* *προανηλωκότας* cum Stephano dedit Zeune: *προσανηλωκότες* recepit Weiske ex libro Paris. et Eton. Equidem simplicem et brevissimam emendandi rationem secutus sum, quam idem liber Paris. et Eton. offerunt, ut verba *οἱ δὲ καὶ* adsumerem et hoc in loco insererem. Deinde, ubi vulgo erat *οἱ δὲ καὶ τούτων ἕτεροι*, vitio orationis manifesto, quod miro artificio incrustare conatus est Weiske, iidem illi Codices verba priora *οἱ δὲ* recte omittunt. Ita apparet origo corruptelæ totius loci. Librarii scilicet verba *οἱ δὲ καὶ* posteriorem in locum retulerunt, quæ ad priorem pertinent.

πολλὰ καὶ ἀγαθὰ] Edd. vett. Guelf. *πολλὰ ἄγαν*. De hoc genere Græcorum est in Isocratis Panegyrico sect. 40. de Cyri mercenariis militibus: *οὐκ ἀριστίνδην μὲν ἐπιλελεγμένους, ἀλλ' οἳ διὰ φαυλότητα ἐν ταῖς ἑαυτῶν πόλεσιν οὐχ οἷοί τ' ἦσαν ζῆν.*

Τοιοῦτοι οὖν] Eton *οὖν* omittit. Idem deinceps cum Paris. et margine Steph. *ἐπόθουν* dat pro *ἐπεθύμουν*.

9. *ἡμέρα ἐγένετο*] Pernoctasse Græcos sub dio in litore maris, monuit sect. 1. *ταύτην μὲν οὖν τὴν ἡμέραν ηὐλίζοντο ἐπὶ τοῦ αἰγιαλοῦ.* Nunc dies illucescit: *ἐπειδὴ δὲ ἡμέρα ἐγένετο.* Hucusque bene. Sed sequitur in vulgata, quam sequitur Weiske: *τῆς εἰς ταὐτὸ* (Eton. *αὐτὸν*, Paris. *ταὐτὸν*) *συνόδου*, quæ unde pendeant, non apparet. Recte igitur ex libro Paris. et Eton. *ὑστεραία* inseruit Zeune, quanquam in Paris. est *ὑστέρα*. Quod ait Weiske, hunc esse puerilem verborum ambitum pro *τῇ δὲ ὑστεραίᾳ*, quem nemo intelligentior probaverit; hanc enim brevitatem solius dativi in *ἐπιούσῃ* et *ὑστεραίᾳ* usum postulare, quæ in numeris majoribus minus sit necessaria: vereor ut multis approbaturus sit; multo minus, quod ipse conjecit, *ἐπειδὴ δὲ ἡμέρα τετάρτη ἐγένετο.* Nam ita addendum erat *ἀπὸ τῆς—συνόδου.* Quod numerum hunc confirmari ait a sequentibus, *ἤδη γὰρ ἦσαν πεμπταῖοι* (*οἱ νεκροὶ*), in eo gravem viri docti errorem animadvertit etiam Halbkart. Weiske enim posuit hæc: *Nam postridie ejus diei, quo cæsi erant Arcades, reliqui Græci se cum iis ad Calpes portum rursus conjunxerant. Itaque de tribus aut certe duobus diebus auctor nihil narravit.* At cap. 1. sect. 6. narrat Arcadum cædem, quos congregatos in colle *ἅμα τῇ ἡμέρᾳ* (igitur postridie) iterum aggrediuntur Bithyni; tandem fœdus initur hoc altero die.

ὁδοῦ, ἐπ' ἐξόδῳ ἐθύετο Ξενοφῶν· ἀνάγκη γὰρ ἦν, ἐπὶ τὰ ἐπιτήδεια ἐξάγειν· ἐπενόει δὲ καὶ τοὺς νεκροὺς θάψαι. Ἐπεὶ δὲ τὰ ἱερὰ ἐγένετο, εἵποντο καὶ οἱ Ἀρκάδες, καὶ τοὺς νεκροὺς τοὺς μὲν πλείστους ἔνθαπερ ἔπεσον, ἑκάστους ἔθαψαν· (ἤδη γὰρ ἦσαν πεμπταῖοι, καὶ οὐχ οἷόν τε ἀναιρεῖν ἔτι ἦν) ἐνίους δὲ τοὺς ἐκ τῶν ὁδῶν συνενεγκόντες, ἔθαψαν ἐκ τῶν ὑπαρχόντων ὡς ἐδύναντο κάλλιστα· οὓς δὲ μὴ εὕρισκον, κενοτάφιον αὐτοῖς ἐποίησαν μέγα, [καὶ πυρὰν μεγάλην,] καὶ στεφάνους ἐπέθεσαν. Ταῦ- 10
τα δὲ ποιήσαντες ἀνεχώρησαν ἐπὶ τὸ στρατόπεδον. Καὶ τότε μὲν δειπνήσαντες ἐκοιμήθησαν· τῇ δ' ὑστεραίᾳ συνῆλθον οἱ στρατιῶται πάντες, (συνῆγον δὲ αὐτοὺς μάλιστα Ἀγασίας Στυμφάλιος ὁ λοχαγὸς, καὶ Ἱερώνυμος Ἠλεῖος λοχαγὸς, καὶ ἄλλοι πρεσβύτατοι τῶν Ἀρκάδων)· καὶ δόγμα ἐποιήσαντο, ἐάν τις τοῦ λοιποῦ μνησθῇ 11
δίχα τὸ στράτευμα ποιεῖν, θανάτῳ αὐτὸν ζημιοῦσθαι· καὶ κατὰ χώραν ἀπιέναι, ἧπερ πρόσθεν εἶχε τὸ στρά-

Nocte insequenti Bithyni timentes Græcorum cum Xenophonte adventum diffugiunt, sect. 23. mane vero die tertio Arcades oppugnati antea ex colle abeunt; quos consequuntur Græci, eodem, ut videtur, die inclinato tamen, sect. 24. Nam dicuntur abiisse a colle, ἐπεὶ ἠρίστησαν. Noctem igitur aut una transegerunt in itinere, aut in litore prope portum Calpæ. Ibidem etiam diem sequentem vel quartum commorati sunt. Huc enim pertinet initium capitis 2. ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ηὐλίζοντο. Quod si hæc reputaveris, dies certe erat quartus, nisi quintus, ut ait Xenophon, quo copias educebat ad mortuos sepeliendos.

ἐξόδῳ] Male Paris. ἐξόδου, deinceps idem cum Eton. θάπτειν habet.

ἱερὰ] Edd. vett. Guelf. ἱερεῖα. Liber Brodæi et Eton. ἱερὰ καλὰ, Paris. ἱερεῖα καλὰ habet.

ἔνθαπερ ἔπεσον] Edd. vett. Guelf. omisso verbo ἔπεσον habent ἐνταῦθά περ.

ἐκ τῶν ὑπαρχόντων] Hæc Eton. liber omittit, et deinceps cum Paris. dat μάλιστα pro κάλλιστα.

καὶ πυρὰν μεγάλην] Hæc verba desunt in Codice Paris. suspecta Zeunio, quoniam rogum cum cenotaphiis exstructum apud alium scriptorem non legerat. Igitur seclusi, probante etiam Halbkartio. Forte in anteriori narratione lacuna alicubi est, ex qua verba exciderint, ab hoc loco aliena.

10. ἐκοιμήθησαν] Verbo hoc omisso Eton. reliqua ita continuat: τῇ δ' ὑ. συνῆλθον οἱ στρατιῶται· συνῆγε δὲ μάλιστα. Idem καὶ ante δόγμα omittit.

11. κατὰ χώραν ἀπιέναι] Leonclavius vertit: *formam exercitus in abitu eandem retinendam esse, quæ prius fuisset.* Hutchinson: *ut item in eum redirent ordinem, quem antea tenuerat exercitus.* Halbkart: *ferner sollte die letztere ihre vorige Verfassung bekommen.* Mihi verbum ἀπιέναι suspe-

τευμα, καὶ ἄρχειν τοὺς πρόσθεν στρατηγούς. Καὶ Χει-
ρίσοφος μὲν ἤδη τετελευτήκει, φάρμακον πιὼν, πυρέττων·
τὰ δ' ἐκείνου Νέων ὁ Ἀσιναῖος παρέλαβε.
12 Μετὰ δὲ ταῦτα ἐξαναστὰς εἶπε Ξενοφῶν· Ὦ ἄνδρες
στρατιῶται, τὴν μὲν πορείαν, ὡς ἔοικε, δηλονότι πεζῇ
ποιητέον· οὐ γάρ ἐστι πλοῖα· ἀνάγκη δὲ πορεύεσθαι ἤδη·
οὐ γάρ ἐστι μένουσι τὰ ἐπιτήδεια. Ἡμεῖς μὲν οὖν, ἔφη,
θυσόμεθα· ὑμᾶς δὲ δεῖ παρασκευάζεσθαι ὡς μαχου-
μένους, εἴ ποτε καὶ ἄλλοτε· οἱ γὰρ πολέμιοι ἀνατεθαρ-
13 σήκασιν. Ἐκ τούτου ἐθύοντο οἱ στρατηγοὶ, μάντις δὲ
παρῆν Ἀρηξίων Ἀρκάς· ὁ δὲ Σιλανὸς ὁ Ἀμβρακιώτης
ἤδη ἀποδεδράκει, πλοῖον μισθωσάμενος, ἐξ Ἡρακλείας.
14 Θυομένοις δὲ ἐπὶ τῇ ἀφόδῳ οὐκ ἐγίγνετο τὰ ἱερά. Ταύ-
την μὲν οὖν τὴν ἡμέραν ἐπαύσαντο. Καί τινες ἐτόλμων
λέγειν, ὡς ὁ Ξενοφῶν, βουλόμενος τὸ χωρίον οἰκίσαι, πέ-
πεικε τὸν μάντιν λέγειν, ὡς τὰ ἱερὰ οὐ γίγνεται ἐπὶ ἀφό-
15 δῳ. Ἐντεῦθεν κηρύξας Ξενοφῶν, τῇ αὔριον παρεῖναι ἐπὶ
τὴν θυσίαν τὸν βουλόμενον, καὶ, μάντις εἴ τις εἴη, πα-
ραγγείλας παρεῖναι, ὡς συνθεασόμενον τὰ ἱερὰ, ἔθυε·
16 καὶ ἐνταῦθα παρῆσαν πολλοί. Θυομένων δὲ πάλιν εἰς

ctum est; quod si ad abeuntes e concione milites referas, tum κατὰ χώραν minime convenit.

τετελευτήκει] Edd. vett. (excepta Castal.) et Guelf. τετελευτήκοι habent; deinceps τὰ δὲ τούτου habet Eton.

παρελάμβανε] Vulgatum hoc ex margine Steph. Paris. Eton. correxi cum Weiskio.

12. ἐξαναστὰς] Simplex ἀναστὰς habet Eton. deinceps ἀναγκαῖον.

οὖν, ἔφη] Verbum ἔφη ex libro Brodæi et Eton. addidit Zeune. Deinceps μαχομένους est in Juntina et Guelf. Postea ἀνατεθαῤῥήκασιν Paris.

13. Ἀρηξίων] Ita Juntina cum Guelf. Vulgo est Ἀρεξίων. in margine Villois. est Μεξίων. Sed infra iii. 2. Edd. vett. omnes cum Guelf. et Editione Stephani dant verum Ἀρηξίων, male contra ibidem margo Steph. cum Paris. habet Παρνάσιος pro Παῤῥάσιος.

ἀποδεδράκει] Eton. ἀποδιδράσκει habet. Post ἱερὰ vulgo additum καλὰ de sententia Stephani præeunte libro Paris. et Eton. omisit Hutchinson.

14. οἰκίσαι] Ita Steph. cum Cod. Paris. et Eton. οἰκῆσαι Edd. vett. cum Guelf.

πέπεικε] Valckenaer Annot. ad Nov. Test. p. 400. corrigebat πεπείκει, ut supra sect. 11. τετελευτήκει est sine augmento.

17. Ξενοφῶν] Nomen omittit Eton. et deinceps μάντις in μάντιν mutat. Postea συνθεασάμενον Edd. vett. cum Guelf.

16. Θυομένων] Eton. θυομένῳ. sed

τρὶς ἐπὶ τῇ ἀφόδῳ, οὐκ ἐγίγνετο τὰ ἱερά. Ἐκ τούτου
χαλεπῶς εἶχον οἱ στρατιῶται· καὶ γὰρ τὰ ἐπιτήδεια
ἐπέλιπεν, ἃ ἔχοντες ἦλθον, καὶ ἀγορὰ οὐδεμία παρῆν.
Ἐκ τούτου συνελθόντων, εἶπε πάλιν Ξενοφῶν· Ὦ ἄν- 17
δρες, ἐπὶ μὲν τῇ πορείᾳ, ὡς ὁρᾶτε, τὰ ἱερὰ οὔπω γίγνε-
ται· τῶν δ' ἐπιτηδείων ὁρῶ ὑμᾶς δεομένους· ἀνάγκη οὖν
μοι δοκεῖ εἶναι, θύεσθαι περὶ αὐτοῦ τούτου. Ἀναστὰς 18
δέ τις εἶπε· Καὶ εἰκότως ἄρα ἡμῖν οὐ γίγνεται τὰ ἱερά·
ὡς [γὰρ] ἐγὼ, ἀπὸ τοῦ αὐτομάτου χθὲς ἥκοντος πλοίου,
ἤκουσά τινος, ὅτι Κλέανδρος ἐκ Βυζαντίου ἁρμοστὴς μέλ-
λει ἥξειν, πλοῖα ἔχων καὶ τριήρεις. Ἐκ τούτου δὲ ἀνα- 19
μένειν μὲν πᾶσιν ἐδόκει· ἐπὶ δὲ τὰ ἐπιτήδεια ἀναγκαῖον
ἦν ἐξιέναι· καὶ ἐπὶ τούτῳ πάλιν ἐθύετο εἰς τρὶς, καὶ οὐκ
ἐγίγνετο τὰ ἱερά· καὶ ἤδη καὶ ἐπὶ σκηνὴν ἰόντες τὴν Ξενο-
φῶντος, ἔλεγον, ὅτι οὐκ ἔχοιεν τὰ ἐπιτήδεια. Ὁ δ' οὐκ
ἂν ἔφη ἐξαγαγεῖν, μὴ γιγνομένων τῶν ἱερῶν.
Καὶ πάλιν τῇ ὑστεραίᾳ ἐθύετο, καὶ σχεδόν τι πᾶσα ἡ 20
στρατιὰ, διὰ τὸ μέλειν πᾶσιν, ἐκυκλοῦτο περὶ τὰ ἱερά·
τὰ δὲ θύματα ἐπελελοίπει. Οἱ δὲ στρατηγοὶ ἐξῆγον
μὲν οὔ, συνεκάλεσαν δέ. Εἶπεν οὖν ὁ Ξενοφῶν· Ἴσως οἱ 21
πολέμιοι συνειλεγμένοι εἰσὶ, καὶ ἀνάγκη μάχεσθαι· εἰ
οὖν, καταλιπόντες τὰ σκεύη ἐν τῷ ἐρυμνῷ χωρίῳ, ὡς εἰς

οἱ στρατηγοὶ θύονται sect. 13. deinde *εἰς τρεῖς* Edd. vett. hic et infra sect. 19. denique eædem Edd. vett. cum Guelf. *ἔχοντες ἃ ἔλιπον* habent.

17. *πορείᾳ*] Paris. *ἀπορίᾳ*. Post *δοκεῖ* Eton. *εἶναι* addit, quod recepi.

18. *χθὲς*] Edd. vett. *ἐχθὲς* habent; præcedens *γὰρ* cum Zeunio, suadente etiam Buttmanno meo, seclusi. Stephanus *ὅτι* deleri aut in *ὁ* mutari maluit.

μέλλει ἥξειν] Juntina cum Guelf. *μᾶλλον ἧξε*.

19. *ἀναγκαῖον*] Eton. *ἀνάγκη* dat. Deinceps Edd. vett. Guelf. *ἐπὶ τοῦτο*.

καὶ ἤδη καὶ] Ex Etonensi libro alterum *καὶ* adjunxi.

20. *ἐκυκλοῦτο*] Eton. *ἐκύκλου*. Hellenic. vii. 2, 8. *οἱ μὲν Ἀρκάδες περὶ τὴν πόλιν ἐκυκλοῦντο*. Ceterum pro *μέλειν* Weiske malebat *μέλλειν*, quoniam illi *μέλειν* frigidius videbatur. Sed *μέλλει μοι*, *mihi longum est*, quod vir doctus ad Cyrop. v. 5, 37. adstruere conatus est, exemplis certis destituitur, et *μέλειν* hic et in Cyropædiæ loco sensum aptum habet.

μὲν οὔ] Edd. vett. male distinguunt *μὲν, οὐ συνεκάλεσαν δέ*.

21. *τὰ σκεύη*] Hæc vulgo omissa,

μάχην παρεσκευασμένοι ἴοιμεν, ἴσως ἂν τὰ ἱερὰ μᾶλλον
22 προχωροίη ἡμῖν. Ἀκούσαντες δὲ οἱ στρατιῶται ἀνέκραγον, ὡς οὐδὲν δέον εἰς τὸ χωρίον ἄγειν, ἀλλὰ θύειν ὡς τάχιστα. Καὶ πρόβατα μὲν οὐκέτι ἦν, βοῦν δὲ ὑφ' ἁμάξης πριάμενοι ἐθύοντο· καὶ Ξενοφῶν Κλεάνορος ἐδεήθη τοῦ Ἀρκάδος προθυμεῖσθαι, εἴ τι ἐν τούτῳ εἴη. Ἀλλ' οὐδ' ὣς ἐγένετο τὰ ἱερά.

23 Νέων δὲ ἦν μὲν στρατηγὸς κατὰ τὸ Χειρισόφου μέρος· ἐπεὶ δὲ ἑώρα τοὺς ἀνθρώπους, ὡς εἶχον δεινῶς τῇ ἐνδείᾳ, βουλόμενος αὐτοῖς χαρίσασθαι, εὑρών τινα ἄνθρωπον Ἡρακλεώτην, ὃς ἔφη κώμας ἐγγὺς εἰδέναι, ὅθεν εἴη λαβεῖν τὰ ἐπιτήδεια, ἐκήρυξε, τὸν βουλόμενον ἰέναι ἐπὶ τὰ ἐπιτήδεια, ὡς ἡγεμόνος ἐσομένου. Ἐξέρχονται δὴ σὺν

ex Edd. Castal. et Bryling. et versione Amasæi recepit cum Leonclavio Hutchinson. Sequens *μᾶλλον* deest in libro Eton.

προχωροίη] Male Eton. *προσχωροίη*. Thucydidis locum v. 54. *ὡς δ' αὐτοῖς τὰ διαβατήρια θυομένοις οὐ προὔχωρει*, comparavit Hutchinson.

οὐδὲν δέον] Mihi *οὐδὲν δέοι* scribendum videtur. Milites portum, *χωρίον*, formidabant propter causas dictas ad sect. 7.

θύειν] Eton. *θύεσθαι* habet, de quo dubius hæreo.

εἴ τι ἐν τούτῳ εἴη] Cum Hutchinsono Zeune interpretatur *καλόν*: *si exta nunc boni aliquid portenderent.* Weiske: *ut studiose rem urgeret, si quid ominis in utramvis partem in hoc sacrificio ostenderetur.* Censet nempe, Xenophontem jam se a sacrificiis removisse, ne milites crederent, eum condendæ urbis caussa falsi aliquid de ominibus extorum pronuntiare. Sed *ἐν τούτῳ* simpliciter dici pro *hoc in sacrificio* nemini paulo peritiori persuadebunt viri docti. Addi solet *ἱερείῳ* in locis similibus vel *ἐπὶ τοῦ ἱερείου*. Sed video Interpretes neglexisse locum Arriani in Periplo Ponti, ubi est p. 3. ed. Hudsoni: *ὡς ἐγὼ καὶ ἐβουθύτησα ἐνταῦθα, οὐχ ὥσπερ ὁ Ξενοφῶν ἐν Κάλπης λιμένι, ὑφ' ἁμάξης βοῦν λαβὼν δι' ἀπορίαν ἱερείων, ἀλλὰ τῶν Τραπεζουντίων αὐτῶν παρασκευασάντων ἱερεῖον οὐκ ἀγεννές.* Igitur quod Arrianus olim in hoc loco scriptum legit, et sententia flagitat, *βοῦν* scripsi pro *βοῦς*. Ad taurum igitur hunc redit oratio in verbis *ἐν τούτῳ*. Video equidem, posse mihi regerere aliquem locum sect. 25. ubi est *λαβὼν βοῦν ὑπὸ ἁμάξης*, ad eumque respexisse Arrianum. At non minus inde apparet, sacrificio unum tantum bovem adhibitum fuisse; itaque vel sic est manifestum, *ἐν τούτῳ* pertinere ad illum bovem.

τὰ ἱερὰ] Edd. vett. Guelf. *καλὰ τὰ ἱερὰ δηλονότι*, manifesto scholii indicio. Steph. et Leoncl. *καλὰ τὰ ἱερὰ* ediderunt.

23. *δεινῶς*] Paris. *δεδιώς*. deinceps Aldina cum Guelf. *κώμης* habet.

ἡγεμόνος ἐσομένου] Intellige *αὐτοῦ*, *se ducem futurum esse.*

Ἐξέρχονται δὴ] Vulgatum *ἐπεξέρχονται*, quod ex Eton. correxi, ita defendebat Zeune, ut diceret significari ita, præter arma secum tulisse etiam *δοράτια, ἀσκοὺς, θυλάκους, ἀγγεῖα*. Ridicule! Weiske præpositione ait significari *contra hostes.* Cum perticis scilicet vel contis!

δορατίοις, καὶ ἀσκοῖς, καὶ θυλάκοις, καὶ ἄλλοις ἀγ-
γείοις, εἰς δισχιλίους ἀνθρώπους. Ἐπεὶ δὲ ἦσαν ἐν ταῖς 24
κώμαις, καὶ διεσπείροντο ὡς ἐπὶ τὸ λαμβάνειν, ἐπιπίπ-
τουσιν αὐτοῖς οἱ Φαρναβάζου ἱππεῖς πρῶτοι, (βεβοηθη-
κότες γὰρ ἦσαν τοῖς Βιθυνοῖς) βουλόμενοι σὺν τοῖς Βιθυ-
νοῖς, εἰ δύναιντο, ἀποκωλῦσαι τοὺς Ἕλληνας, μὴ ἐλθεῖν
εἰς τὴν Φρυγίαν. Οὗτοι οἱ ἱππεῖς ἀποκτείνουσι τῶν Ἑλ-
λήνων οὐ μεῖον ἢ πεντακοσίους· οἱ δὲ λοιποὶ ἐπὶ τὸ ὄρος
ἀνέφυγον.

Ἐκ τούτου ἀπαγγέλλει τις ταῦτα τῶν ἀποπεφευγό- 25
των εἰς τὸ στρατόπεδον. Καὶ Ξενοφῶν, ἐπειδὴ οὐκ ἐγε-
γένητο τὰ ἱερὰ ταύτῃ τῇ ἡμέρᾳ, λαβὼν βοῦν ὑπὸ ἀμά-
ξης, (οὐ γὰρ ἦν ἄλλα ἱερεῖα) σφαγιασάμενος ἐβοήθει,
καὶ οἱ ἄλλοι οἱ μέχρι πεντήκοντα ἐτῶν πάντες. Καὶ 26
ἀναλαβόντες τοὺς λοιποὺς ἄνδρας, ἐς τὸ στρατόπεδον
ἀφικνοῦνται. Καὶ ἤδη μὲν ἀμφὶ ἡλίου δυσμὰς ἦν, καὶ
οἱ Ἕλληνες μάλα ἀθύμως ἔχοντες ἐδειπνοποιοῦντο.
Καὶ ἐξαπίνης διὰ τῶν λασίων τῶν Βιθυνῶν τινες ἐπιγενό-
μενοι τοῖς προφύλαξι τοὺς μὲν κατέκανον, τοὺς δὲ ἐδίω-
ξαν μέχρις εἰς τὸ στρατόπεδον. Καὶ κραυγῆς γενομέ- 27
νης, εἰς τὰ ὅπλα πάντες συνέδραμον οἱ Ἕλληνες· καὶ
διώκειν μὲν καὶ κινεῖν τὸ στρατόπεδον νυκτὸς οὐκ ἀσφα-

δορατίοις] Brodæus *δερματίοις* scribi volebat; Zeune *δοράτια* interpretatur *contos, perticas.* Quasi milites ad prædam paratam sine armis exiissent! Zeunium tamen sequitur Weiske. Milites redeuntes cap. seq. dicuntur *ἀναλαβόντες τὰ ὅπλα καὶ τὰ σκεύη.*—Deinceps *ὡς δισχιλίους* Eton.

24. *Ἐπεὶ*] Guelf. *ἐπειδὴ* habet.

Ἑλλήνων οὐ μεῖον ἢ] Margo Steph. Paris. Eton. *τῶν ἀνδρῶν.* Sequens *ἢ* omittit Eton.

25. *ἀποπεφευγότων*] Guelf. Eton. *ἀποφευγόντων.*

πεντήκοντα] Ita Juntina, Guelf. Eton. *τριάκοντα* Aldina, Steph. Paris. margo Villois.

26. *λοιποὺς ἄνδρας*] Qui barbaros effugerant. Eton. liber *ἅπαντας* dat pro *ἄνδρας*; sed puto voluisse librarium *ἅπαντες* dare.

κατέκανον] Vulgatum *κατέκτανον* ex Cod. Guelf. correxi. Paris. Eton. et margo Steph. habent *κατέκαινον.*

27. *συνέδραμον*] Compositum simplici *ἔδραμον* ex Eton. substituit Zeune.

λὲς ἐδόκει εἶναι· δασέα γὰρ ἦν τὰ χωρία· ἐν δὲ τοῖς
ὅπλοις ἐνυκτέρευον, φυλαττόμενοι ἱκανοῖς φύλαξι.

CAP. III. (VULGO V.)

ΤΗΝ μὲν νύκτα οὕτω διήγαγον· ἅμα δὲ τῇ ἡμέρᾳ οἱ
στρατηγοὶ εἰς τὸ ἐρυμνὸν χωρίον ἡγοῦντο· οἱ δὲ εἵποντο,
ἀναλαβόντες τὰ ὅπλα καὶ σκεύη. Πρὶν δὲ ἀρίστου
ὥραν εἶναι, ἀπετάφρευσαν, ᾗ ἡ εἴσοδος ἦν εἰς τὸ χωρίον,
καὶ ἀπεσταύρωσαν ἅπαντα, καταλιπόντες τρεῖς πύλας.
Καὶ πλοῖον ἐξ Ἡρακλείας ἧκεν, ἄλφιτα ἄγον καὶ ἱερεῖα
2 καὶ οἶνον. Πρωῒ δ' ἀναστὰς Ξενοφῶν ἐθύετο ἐπ' ἐξόδῳ,
καὶ γίγνεται τὰ ἱερὰ ἐπὶ τοῦ πρώτου ἱερείου. Καὶ ἤδη
τέλος ἐχόντων τῶν ἱερῶν, ὁρᾷ αἰετὸν αἴσιον ὁ μάντις Ἀρη-
ξίων Παῤῥάσιος, καὶ ἡγεῖσθαι κελεύει τὸν Ξενοφῶντα.
3 Καὶ διαβάντες τὴν τάφρον, τὰ ὅπλα τίθενται, καὶ ἐκή-
ρυξαν, ἀριστήσαντας ἐξιέναι τοὺς στρατιώτας σὺν τοῖς
ὅπλοις, τὸν δὲ ὄχλον καὶ τὰ ἀνδράποδα αὐτοῦ καταλι-
4 πεῖν. Οἱ μὲν δὴ ἄλλοι πάντες ἐξῄεσαν, Νέων δὲ οὔ·
ἐδόκει γὰρ κάλλιστον εἶναι, τοῦτον φύλακα καταλιπεῖν
τῶν ἐπὶ τῷ στρατοπέδῳ. Ἐπειδὴ δὲ οἱ λοχαγοὶ καὶ οἱ

λάσια] Liber Brodæi, margo Steph. Paris. Eton. δασέα dederunt, quod variandæ orationis causa adhibuit Xenophon.

φύλαξι] Vulgo additum μάχεσθαι, cujus in loco Muretus καὶ repositum voluit, omisi cum Paris. Eton. Regiis B. C. nam in Regio A. lacunam reperit Larcher.

1. ἀπεσταύρωσαν] Junt. Eton. ἀπεστρώννυσαν. Guelf. ἀπέστρωσαν, sed in margine est ἀπεστράβωσαν. verum dedit Ald. Steph. liber Brodæi, Paris.

ἅπαντα] Margo Steph. cum Paris. ἅπαν habet; deinceps Juntina ἱερεῖα mutavit in ἱερά.

2. ἐπ' ἐξόδῳ] Vulgatum ἐπεξόδια correxi audacter, cum toties ἐπ' ἐξόδῳ et ἐπ' ἀφόδῳ hucusque scriptum legerimus.

γίγνεται] Vulgo additum καλὰ cum Paris. Eton. omisit Zeune.

Ἀρηξίων] Vide dicta ad ii. 13. Vulgo hic et sect. 8. est Ἀρεξίων.

3. καταλιπεῖν] Juntina omisit, hinc μένειν supplevit Castalio. In Guelf. in margine additum legitur.

4. ἐπὶ τῷ στρατοπέδῳ] Articulum τῷ ex Guelf. addidit Zeune. Paris. στρατοπέδου habet, unde καταλιπεῖν ἐπὶ τοῦ στρατοπέδου malim scriptum, Weiske τῶν ἐν τῷ στ.

Ἐπειδὴ δὲ] Eton. ἐπεὶ δ' οἱ. deinceps αὐτοὺς pro αὐτὸν ex margine

στρατιῶται ἀπέλιπον αὐτὸν, αἰσχυνόμενοι μὴ ἕπεσθαι,
τῶν ἄλλων ἐξιόντων, κατέλιπον αὐτοῦ τοὺς ὑπὲρ πέντε
καὶ τετταράκοντα ἔτη. Καὶ οὗτοι μὲν ἔμενον· οἱ δ' ἄλ-
λοι ἐπορεύοντο. Πρὶν δὲ πέντε καὶ δέκα στάδια διελη- 5
λυθέναι, ἐνέτυχον ἤδη νεκροῖς· καὶ τὴν οὐρὰν τοῦ κέρατος
ποιησάμενοι κατὰ τοὺς πρώτους φανέντας νεκροὺς, ἔθαπ-
τον πάντας, ὁπόσους ἐπελάμβανε τὸ κέρας. Ἐπειδὴ δὲ 6
τοὺς πρώτους ἔθαψαν, προαγαγόντες, καὶ τὴν οὐρὰν αὖ-
θις ποιησάμενοι κατὰ τοὺς πρώτους τῶν ἀτάφων, ἔθαπ-
τον τὸν αὐτὸν τρόπον, ὁπόσους ἐπελάμβανεν ἡ στρατιά.
Ἐπεὶ δὲ εἰς τὴν ὁδὸν ἧκον τὴν ἐκ τῶν κωμῶν, ἔνθα ἔκειντο
ἀθρόοι, συνενεγκόντες αὐτοὺς ἔθαψαν.

Ἤδη δὲ πέρα μεσούσης τῆς ἡμέρας προαγαγόντες τὸ 7
στράτευμα ἔξω τῶν κωμῶν, ἐλάμβανον τὰ ἐπιτήδεια, ὅ
τι τις ὁρῴη ἐντὸς τῆς φάλαγγος. Καὶ ἐξαίφνης ὁρῶσι
τοὺς πολεμίους ὑπερβάλλοντας κατὰ λόφους τινὰς ἐκ
τοῦ ἐναντίου, τεταγμένους ἐπὶ φάλαγγος, ἱππέας τε

Steph. Paris. Eton. recepit Hutchinson.

ἀπέλιπον] *Cum relinquere vellent*, interpretatur Weiske. Contra Muretus totum locum ita refingit: ἔπειτα δὲ οἱ—στρατιῶται αἰσχυνόμενοι μὴ ἕπεσθαι τ. ἀ. ἐπεξιόντων, κατέλιπον αὐτοῦ τοὺς ὑπέρ. sed rectius alterum κατέλιπον ad reliquos Græcos de universo exercitu refert Weiske.

ἐξιόντων] Ita Eton. vulgo est ἐπεξιόντων. Cf. sect. 23. cap. antecedentis. Idem Eton. ἐφέπεσθαι habet.

αὐτοῦ] Ex libro Brodæi, margine Steph. Paris. Eton. addidit Zeune, iterum omisit Weiske. Sequens μὲν post οὗτοι omittunt Edd. vett. Gelf.

5. ἐνέτυχον] Edd. vett. Guelf. ἐτύγχανον. Sequens οὐρὰν τοῦ κέρατος Hutchinson vertit *extremam cornu partem*, Zeune *partem postremam, ordinem postremum*. Weiske ad τοῦ κέρατος intelligit ἐκ et interpretatur: *quod fuerat cornu, id fecerunt extremum agmen*. Nam propter ambiguitatem dici non potuisse τὴν οὐρὰν τὸ κέρας ποιησάμενοι. Substitisse, qui in cornu erant collocati, ut quasi ἐπικαμπὴς φάλαγξ exsisteret; atque ita exercitum inclusisse cadavera cremanda. Quam quidem rationem plane non intelligo; igitur cum Halbkartio Zeunium sequor.

ὁπόσους] Margo Steph. Paris. ἐφ' ὅσους habet.

6. Ἐπειδὴ] Eton. ἐπεί. Deinceps Aldina ἀπελάμβανεν.

εἰς τὴν] Præpositio deest in Edd. vett. Guelf. deinceps συνενέγκαντες Eton.

7. πέρα] Edd. vett. Guelf. παρὰ, quod in περὶ mutari voluit Brodæus.

ἐντὸς τῆς φάλαγγος] Vulgatum ἐκ τ. φ. ex margine Steph. et Paris. correxit Zeune. ὄντος est in Eton. Interpretatur Zeune *citra aciem seu post aciem*. Weiske *post phalangem, non ipsa in via, sed a latere*.

πολλοὺς καὶ πεζούς· καὶ γὰρ Σπιθριδάτης καὶ Ῥαθί-
8 νης ἧκον παρὰ Φαρναβάζου ἔχοντες δύναμιν. Ἐπεὶ δὲ
κατεῖδον τοὺς Ἕλληνας οἱ πολέμιοι, ἔστησαν ἀπέχοντες
αὐτῶν ὅσον πεντεκαίδεκα σταδίους. Ἐκ τούτου εὐθὺς
Ἀρηξίων ὁ μάντις τῶν Ἑλλήνων σφαγιάζεται, καὶ ἐγέ-
9 νετο ἐπὶ τοῦ πρώτου καλὰ τὰ σφάγια. Ἐνταῦθα ὁ
Ξενοφῶν λέγει· Δοκεῖ μοι, ὦ ἄνδρες στρατηγοὶ, ἐπιτά-
ξασθαι τῇ φάλαγγι λόχους φύλακας, ἵνα, ἤν που δέῃ,
ὦσιν οἱ ἐπιβοηθήσοντες τῇ φάλαγγι, καὶ οἱ πολέμιοι
τεταραγμένοι ἐμπίπτωσιν εἰς τεταγμένους καὶ ἀκεραίους.
10 Συνεδόκει ταῦτα πᾶσιν. Ὑμεῖς μὲν τοίνυν, ἔφη, προη-
γεῖσθε τὴν πρὸς τοὺς ἐναντίους, ὡς μὴ ἑστήκωμεν, ἐπεὶ
ὤφθημεν καὶ εἴδομεν τοὺς πολεμίους· ἐγὼ δὲ ἥξω, τοὺς
τελευταίους λόχους καταχωρίσας, ᾗπερ ὑμῖν δοκεῖ.

11 Ἐκ τούτου οἱ μὲν ἡσύχως προῆγον· ὁ δὲ, τρεῖς ἀφε-
λὼν τὰς τελευταίας τάξεις, ἀνὰ διακοσίους ἄνδρας, τὴν
μὲν ἐπὶ τὸ δεξιὸν ἐπέτρεψεν ἐφέπεσθαι, ἀπολιπόντας ὡς
πλέθρον· Σαμόλας Ἀχαιὸς ταύτης ἦρχε τῆς τάξεως·
τὴν δ᾽ ἐπὶ τῷ μέσῳ ἐχώρισεν ἕπεσθαι· Πυρίας Ἀρκὰς

Σπιθριδάτης] Ald. Ἐπιτριδάτης, Eton. Ἐπειραδήτις ἀπὸ Ῥαθίνης. deinceps τὴν δύναμιν habet Eton. liber.

Ῥαθίνης] Cyrop. viii. 3, 32. Cadusiorum dux Ῥαθυνίκης Philelpho et Codici Guelf. est Ῥαδίνης, Altorfino Ῥαθίης, in margine Steph. et Leoncl. Ῥαθινίκης. Weiske h. l. Ῥαδίνης dedit.

8. ἀπέχοντες] Guelf. ἀπέχοντας.

ἐπὶ τοῦ πρώτου] Intellige ἱερείου, ut sect. 2.

9. Ἐνταῦθα] Eton. Ἔνθα δὲ habet. Deinde dant Edd. vett. cum Guelf. δεηθῶσιν οἱ ἐπιβοηθήσονται. Castalio δεηθῶσιν, ἐπιβοηθήσωνται.

τεταραγμένοι] Male Eton. οἱ τεταγμένοι. Deinceps ἐμπίπτουσιν Edd. vett. excepta Castal.

Συνεδόκει—πᾶσιν] Interpositum vulgo πάντα omisi cum Paris. et Eton. παντάπασιν Edd. vett. Guelf.

10. τὴν πρὸς] Deest τὴν in Edd. vett. et Guelf. deinde ἴδομεν Castalio et Guelf. postea καταχωρήσας Edd. vett. Guelf.

ᾗπερ] Ita cum Hutchinsono, margine Steph. Paris. Zeune. εἴπερ Edd. vett. Guelf. Steph. Eton.

11. ἡσύχως] Eton. ἥσυχοι. Sequens ἐπέτρεψεν recepit in locum vulgati ἔπεμψεν ex margine Steph. libro Brodæi, Paris. Eton. Welsius et Zeune, suadente Dorvillio ad Charitonem p. 630. et Abreschio in Auctar. Dilucid. Thucyd. p. 217. ἐπέταξεν dedit de suo Hutchinson. Mihi tamen verbum id displicet, nec convenit sequens ἐχώρισεν.

ἀπολιπόντας] Refertur ad milites τάξιν complentes. Deinceps ἐπὶ τὸ μέσον habet Eton. Verba ἐχώρισεν ἕπεσθαι abesse maluit Muretus.

ταύτης ἦρχε· τὴν δὲ μίαν ἐπὶ τῷ εὐωνύμῳ· Φρασίας
Ἀθηναῖος ταύτῃ ἐφειστήκει. Προϊόντες δὲ, ἐπεὶ ἐγένοντο 12
οἱ ἡγούμενοι ἐπὶ νάπει μεγάλῳ καὶ δυσπόρῳ, ἔστησαν,
ἀγνοοῦντες, εἰ διαβατέον εἴη τὸ νάπος. καὶ παρεγγυῶσι
στρατηγοὺς καὶ λοχαγοὺς παριέναι ἐπὶ τὸ ἡγούμενον.
Καὶ ὁ Ξενοφῶν, θαυμάσας, ὅ τι τὸ ἴσχον εἴη τὴν πορείαν, 13
καὶ τάχα ἀκούων τὴν παρεγγυὴν, ἐλαύνει ᾗ ἐδύνατο τά-
χιστα. Ἐπεὶ δὲ συνῆλθον, λέγει Σοφαίνετος, πρεσβύ-
τατος ὢν τῶν στρατηγῶν, ὅτι οὐκ ἄξιον εἴη διαβαίνειν
τοιοῦτον ὂν τὸ νάπος.

Καὶ ὁ Ξενοφῶν σπουδῇ ὑπολαβὼν ἔλεξεν· Ἀλλ' ἴστε 14
μέν με, ὦ ἄνδρες, οὐδένα πω κίνδυνον προξενήσαντα ὑμῖν
ἐθελούσιον· οὐ γὰρ δόξης ὁρῶ δεομένους ὑμᾶς εἰς ἀν-
δρειότητα, ἀλλὰ σωτηρίας. Νῦν δὲ οὕτως ἔχει· ἀμα- 15
χεὶ μὲν ἐνθένδε οὐκ ἔστιν ἀπελθεῖν· ἢν γὰρ μὴ ἡμεῖς
ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὗτοι ἡμῖν, ὅταν ἀπίωμεν,
ἕψονται καὶ ἐπιπεσοῦνται. Ὁρᾶτε δὴ, πότερον κρεῖττον 16
ἰέναι ἐπὶ τοὺς ἄνδρας, προβαλλομένους τὰ ὅπλα, ἢ
μεταβαλλομένους, ὄπισθεν ἡμῶν ἐπιόντας τοὺς πολεμί-
ους θεάσασθαι. Ἴστε γε μέντοι, ὅτι τὸ μὲν ἀπιέναι 17

ταύτης] Liber Brodæi et Eton. ταύτης τῆς τάξεως.

12. δυσπόρῳ] Suidas in νάπος habet ex h. l. δυσβάτῳ. deinceps ἕστησαν idem cum Edd. vett.

διαβατέον] Ita Suidas et Guelf. a secunda manu. Vulgo est διαβατόν. Verba τὸ νάπος ut superflua deleri voluit Porson.

13. θαυμάσας] Is etiam hac in expeditione extremum agmen duxisse videtur. Sero igitur accepit τὴν παρεγγύησιν, quæ duces et λοχαγοὺς ad agmen præcedens convenire jubebat. Pro πορείαν iterum inepte Paris. ἀπορίαν habet.

τάχα] Liber Brodæi, margo Steph. Paris. ταχύ. Sequens ἐδύνατο primus addidit Stephanus, et est in Eton. libro. Cum Edd. vett. Guelf. et Paris. iterum omisit Weiske.

συνῆλθον] Paris. συνῆλθε. Deinceps margo Steph. et Eton. ὅτι βουλῆς οὐκ ἄξιον εἴη διαβατέον τοιοῦτον ὂν τὸ νάπος. eamque scripturam, inter εἴη et διαβατέον posito εἰ, probat Stephanus. Ita plane est in Paris. præterea διαβατέον ἐστὶ τοιοῦτον νάπος. Muretus corrigebat: ὅτι βουλῆς ἄξιον, εἰ δεῖ διαβαίνειν. Zeune οὐκ ἄξιον interpretatur, *non operæ pretium est*, consentiente Weiskio.

14. ἐθελούσιον] Cum vocabulo κίνδυνον jungendum monuit Weiske. deinde δόξα εἰς ἀνδρειότητα est nove dictum pro δόξα ἀνδρειότητος. Hinc Weiske putabat scribi melius: οὐ γὰρ ἀνδρειότητος εἰς δόξαν.

16. θεάσασθαι] Eton. θεᾶσθαι. Mihi verbum suspectum ideo est, quod

ἀπὸ πολεμίων οὐδενὶ καλῷ ἔοικε· τὸ δὲ ἐφέπεσθαι καὶ
τοῖς κακίοσι θάῤῥος ἐμποιεῖ. Ἔγωγ᾽ οὖν ἥδιον ἂν σὺν
ἡμίσεσιν ἑποίμην, ἢ σὺν διπλασίοις ἀποχωροίην. Καὶ
τούτους οἶδ᾽ ὅτι, ἐπιόντων μὲν ἡμῶν, οὐδ᾽ ὑμεῖς ἐλπίζετε
δέξασθαι ἡμᾶς· ἀπιόντων δὲ, πάντες ἐπιστάμεθα, ὅτι
18 τολμήσουσιν ἐφέπεσθαι. Τὸ δὲ διαβάντας ὄπισθεν νά-
πος χαλεπὸν ποιήσασθαι, μέλλοντας μάχεσθαι, ἆρ᾽
οὐχὶ καὶ ἁρπάσαι ἄξιον; Τοῖς μὲν γὰρ πολεμίοις ἔγωγε
βουλοίμην ἂν εὔπορα πάντα φαίνεσθαι, ὥστε ἀποχω-
ρεῖν· ἡμᾶς δὲ καὶ ὑπὸ τοῦ χωρίου δεῖ διδάσκεσθαι, ὅτι
19 οὐκ ἔστι μὴ νικῶσι σωτηρία. Θαυμάζω δ᾽ ἔγωγε καὶ
τὸ νάπος τοῦτο εἴ τις μᾶλλον φοβερὸν νομίζει εἶναι τῶν
ἄλλων, ὧν διαπεπορεύμεθα χωρίων. Πῶς μὲν γὰρ δια-
βατὸν τὸ πεδίον, εἰ μὴ νικήσομεν τοὺς ἱππέας; πῶς δὲ
ἃ διεληλύθαμεν ὄρη, ἢν πελτασταὶ τοσοίδε ἐφέπωνται;
20 Ἢν δὲ δὴ καὶ σωθῶμεν ἐπὶ θάλατταν, πόσον τι νάπος
ὁ Πόντος; ἔνθα οὔτε πλοῖά ἐστι τὰ ἀπάξοντα, οὔτε σῖ-
τος, ᾧ θρεψόμεθα μένοντες· δεήσει δὲ, ἂν θᾶττον ἐκεῖ
γενώμεθα, θᾶττον ἐξιέναι πάλιν ἐπὶ τὰ ἐπιτήδεια.
21 Οὐκοῦν νῦν κρεῖττον ἠριστηκότας μάχεσθαι, ἢ αὔριον
ἀναρίστους. Ἄνδρες, τά τε ἱερὰ ἡμῖν καλὰ, οἵ τε οἰωνοὶ

fugientes hostem nec respiciunt nec aspiciunt.

17. ἐφέπεσθαι] Eton. ἕπεσθαι. deinde ἀποχωροίμην.

δέξασθαι ἡμᾶς] Paris. et Eton. αὐτοὺς interserunt.

18. ἂν εὔπορα πάντα] Male Edd. vett. præter Castal. Welsianam et Hutchinsonianam ἀνεύπορα παντάπασι. Sed πάντα Steph. cum Paris.

ὑπὸ τοῦ χωρίου] Liber Brodæi, Paris. Eton. ἀπὸ τ. χ.

19. διαβατὸν] Scripturam Castal. et Bryl. recepit hanc Zeune et Weiske. Antea erat δυσδιάβατον, ex correctione Stephani οὐ δυσδιάβατον Welsiana et Hutchinsoniana habet.

πεδίον] Ita margo Steph. Paris. Eton. χωρίον erat ante Zeunianam. Deinceps νικήσωμεν Guelf.

ὄρη, ἢν] Ita cum Paris. libro ex correctione Stephani habent Edd. Welsii et Hutchinsoni. Antea erat ὄρη ἦν.

ἐφέπωνται] Ita cum Paris. et Eton. Hutchinson. ἕπονται Edd. vett. Guelf. contra ἐφέπονται edidit Stephanus.

20. ἔνθα οὔτε] Juntina Ἔνθα δὲ, Castal. ἔνθα δὲ οὐδὲ, in reliquis est ἔνθα οὐδὲ, in margine Villois. Πόντος; οὐδὲ πλοῖον. Cum Brodæo οὔτε dedit Zeune. Deinceps ἀπαλλάξοντα habent Edd. vett. Guelf.

αἴσιοι, τά τε σφάγια κάλλιστα. Ἴωμεν ἐπὶ τοὺς ἄν-
δρας. Οὐ δεῖ ἔτι τούτους, ἐπεὶ ἡμᾶς πάντας εἶδον, ἡδέως
δειπνῆσαι, οὐδ' ὅπου ἂν ἐθέλωσι σκηνῆσαι.
Ἐντεῦθεν οἱ λοχαγοὶ ἡγεῖσθαι ἐκέλευον, καὶ οὐδεὶς 22
ἀντέλεγε. Καὶ ὃς ἡγεῖτο, παραγγείλας διαβαίνειν, ᾗ
ἕκαστος ἐτύγχανε τοῦ νάπους ὤν· θᾶττον γὰρ ἂν ἀθρόον
ἐδόκει οὕτω πέραν γενέσθαι τὸ στράτευμα, ἢ εἰ κατὰ
τὴν γέφυραν, ἣ ἐπὶ τῷ νάπει ἦν, ἐξεμηρύοντο. Ἐπεὶ δὲ 23
διέβησαν, παριὼν παρὰ τὴν φάλαγγα, ἔλεγεν· Ἄνδρες,
ἀναμιμνήσκεσθε, ὅσας δὴ μάχας σὺν τοῖς θεοῖς ὁμόσε
ἰόντες νενικήκατε, καὶ οἷα πάσχουσιν οἱ πολεμίους φεύ-
γοντες· καὶ τοῦτ' ἐννοήσατε, ὅτι ἐπὶ ταῖς θύραις τῆς
Ἑλλάδος ἐσμέν. Ἀλλ' ἕπεσθε Ἡγεμόνι τῷ Ἡρακλεῖ, 24
καὶ ἀλλήλους παρακαλεῖτε ὀνομαστί. Ἡδύ τοι, ἀν-
δρεῖόν τι καὶ καλὸν νῦν εἰπόντα καὶ ποιήσαντα, μνήμην,
ἐν οἷς ἐθέλει, παρέχειν ἑαυτοῦ.
Ταῦτα παρελαύνων ἔλεγε, καὶ ἅμα ὑφηγεῖτο ἐπὶ φά- 25
λαγγος, καὶ τοὺς πελταστὰς ἑκατέρωθεν ποιησάμενοι
ἐπορεύοντο ἐπὶ τοὺς πολεμίους. Παρηγγέλλετο δὲ, τὰ μὲν

21. τά τε σφάγια] Cf. dicta ad i. 8, 15.

Οὐ δεῖ ἔτι] Edd. vett. Guelf. οὐ δεῖ ἐπί. Castalio οὐ δεῖ ἐᾶν edidit. Deinde πάντως εἶδον malebat Brodæus.

22. καὶ οὐδεὶς] Juntina, Guelf. ὃ οὐδεὶς. deinceps καὶ ὡς liber Brodæi.

γὰρ ἂν] Eton. ἂν omittit; deinde Edd. vett. Guelf. ἢ ᾗ κ. τ. γέφυραν, ἢ ἐπὶ τ. νάπει, ἣν ἐξεμ.

23. παριὼν] Eton. παρελθὼν habet.

24. Ἡδύ τοι] Juntinæ et Guelf. ἡδὺ τὸν prætulit Zeune, inepte ad εἰπόντα referens. ἡδύ τι etiam alicubi legi monet Hutchinson.

ἐν οἷς ἐθέλει] Si sequeretur καταλείπειν, ferrem; nunc præpositionem ἐν vitiose additam esse censeo.

25. ἐπὶ φάλαγγος] Ex libro Brodæi, Paris. Eton. ἐπὶ adjeci. Vulgatum Zeune interpretatur; *mediam aciem, quæ densata constabat gravi armatura, pedetentim procedere jubet.* Quæ unde homo arripuerit, ignoro. Sed vulgatam scripturam vitiosam arguit absentia articuli. Contra ἐπὶ φάλαγγος ἄγειν est in Cyrop. i. 6, 43. Supra iv. 6, 4. ὅπως ἐπὶ φάλαγγος γένοιτο τὸ στράτευμα. ubi opponitur κατὰ κέρας ἄγειν, ut Cyrop. vi. 3, 21. ἐπὶ φάλαγγος καθίστασθαι. Opponuntur sibi εἰς κέρας ἡγεῖσθαι et ἄγειν ἐπὶ φάλαγγος in Hipparchico iv. 3. Compara dicta ad Cyrop, vii. 1, 26. p. 427.

ποιησάμενοι ἐπορεύοντο] Welsius et Hutchinson ex conjectura Leonclavii ediderunt. ποιησάμενος ἐπορεύετο.

τὰ μὲν] Ex Eton. μὲν addidit Zeune, repudiavit Weiske. Ad σημαίνοι intellige ὁ σαλπιγκτής. Pro ἕως male Eton. ὅταν habet scriptum.

δόρατα ἐπὶ τὸν δεξιὸν ὦμον ἔχειν, ἕως σημαίνοι τῇ σάλ-
πιγγι· ἔπειτα δὲ εἰς προβολὴν καθέντας ἕπεσθαι βά-
δην, καὶ μηδένα δρόμῳ διώκειν. Ἐκ τούτου σύνθημα
26 παρῄει, ΖΕΥΣ ΣΩΤΗΡ, ΗΡΑΚΛΗΣ ΗΓΕΜΩΝ. Οἱ
δὲ πολέμιοι ὑπέμενον, νομίζοντες, καλὸν ἔχειν τὸ χωρίον.
Ἐπεὶ δὲ ἐπλησίαζον, ἀλαλάξαντες οἱ Ἕλληνες πελτα-
σταὶ ἔθεον ἐπὶ τοὺς πολεμίους, πρίν τινα κελεύειν· οἱ δὲ
πολέμιοι ἀντίοι ὥρμησαν, οἵ τε ἱππεῖς καὶ τὸ στίφος τῶν
27 Βιθυνῶν· καὶ τρέπονται τοὺς πελταστάς. Ἀλλ' ἐπεὶ
ὑπηντίαζεν ἡ φάλαγξ τῶν ὁπλιτῶν ταχὺ πορευομένη, καὶ
ἅμα ἡ σάλπιγξ ἐφθέγξατο, καὶ ἐπαιάνιζον, καὶ μετὰ
ταῦτα ἠλάλαζον, καὶ ἅμα τὰ δόρατα καθίεσαν· ἐνταῦ-
28 θα οὐκέτι ἐδέξαντο οἱ πολέμιοι, ἀλλ' ἔφευγον. Καὶ
Τιμασίων μὲν ἔχων τοὺς ἱππέας ἐφείπετο, καὶ ἀπεκτίν-
νυσαν, ὅσους περ ἐδύναντο, ὡς ὀλίγοι ὄντες. Τῶν δὲ πο-
λεμίων τὸ μὲν εὐώνυμον εὐθὺς διεσπάρη, καθ' ὃ οἱ Ἕλ-
ληνες ἱππεῖς ἦσαν· τὸ δὲ δεξιὸν, ἅτε οὐ σφόδρα διωκό-
29 μενον, ἐπὶ λόφου συνέστη. Ἐπεὶ δὲ εἶδον οἱ Ἕλληνες
ὑπομένοντας αὐτοὺς, ἐδόκει ῥᾷστόν τε καὶ ἀκινδυνότατον
εἶναι, ἰέναι [ἤδη] ἐπ' αὐτούς. Παιανίσαντες οὖν, εὐθὺς
ἐπέκειντο· οἱ δὲ οὐχ ὑπέμειναν. Καὶ ἐνταῦθα οἱ πελ-
τασταὶ ἐδίωκον, μέχρι τὸ δεξιὸν αὖ διεσπάρη· ἀπέθανον

προβολὴν] Hanc scripturam reliquorum vitioso προσβολὴν præferendam esse recte admonuit divinus ille H. Stephanus; tamen ex Paris. cum Welsio et Hutchinsono pravum προσβολὴν recepit Zeune et Weiske. Ille etiam negat *hastæ projectionem* hic significari; hanc enim inesse verbo καθιέντας; contra requiri *impressionem*. Ineptissime hæc disputantur, quasi καθιέναι τὸ δόρυ non possit miles, nisi simul ἐς προβολὴν projecerit. Miror Weiskii obsequiosum silentium!

ἕπεσθαι] Eton. πορεύεσθαι habet.

27. Ἀλλ' ἐπεὶ] Ineptissimam scripturam τρέπονται τοὺς πελταστὰς ἅμα. Ἐπεὶ δὲ correxi ex libro Paris. ἅμα, quod nihil hic significat, etiam Eton. omisit. Paulo antea στίβος est in Edd. vett. et Eton.

ἐπαιάνιζον] Paris. Eton. ἐπαιώνιζον.

28. ἱππέας] Vulgatum ἱππεῖς correxit Zeune. Sequens εὐθὺς Juntina omisit.

29. ἰέναι [ἤδη] ἐπ' αὐτοὺς] Liber Eton. ἤδη omisit; hinc seclusi.

ἐπέκειντο] Ex libro Paris. Eton. et margine Steph. posui pro languido illo ἐπορεύοντο, quod vulgo legitur. Sequens αὖ omittit Eton.

διεσπάρη] Eton. Guelf. et Edd. vett. διεσπάσθη.

δ᾽ ὀλίγοι· τὸ γὰρ ἱππικὸν φόβον παρεῖχε, τὸ τῶν πολε-
μίων, πολὺ ὄν. Ἐπεὶ δὲ εἶδον οἱ Ἕλληνες τό τε Φαρ- 30
ναβάζου ἱππικὸν ἔτι συνεστηκὸς, καὶ τοὺς Βιθυνοὺς ἱπ-
πέας πρὸς τούτους συναθροιζομένους, καὶ ἀπὸ λόφου
τινὸς καταθεωμένους τὰ γιγνόμενα, ἀπειρήκεσαν μὲν,
ὅμως δ᾽ ἐδόκει καὶ ἐπὶ τούτους ἰτέον εἶναι οὕτως, ὅπως
δύναιντο, ὡς μὴ τεθαῤῥηκότες ἀναπαύσαιντο. Συνταξά-
μενοι δὴ πορεύονται. Ἐντεῦθεν οἱ πολέμιοι ἱππεῖς φεύ- 31
γουσι κατὰ τοῦ πρανοῦς, ὁμοίως ὥσπερ ὑπὸ ἱππέων διω-
κόμενοι· νάπος γὰρ αὐτοὺς ὑπεδέχετο, ὃ οὐκ ᾔδεισαν οἱ
Ἕλληνες, ἀλλὰ προαπετράποντο διώκοντες· ὀψὲ γὰρ ἦν.
Ἐπανελθόντες δὲ, ἔνθα δὴ ἡ πρώτη συμβολὴ ἐγένετο, 32
στησάμενοι τρόπαιον, ἀπῄεσαν ἐπὶ θάλατταν περὶ ἡλίου
δυσμάς· στάδιοι γὰρ ἦσαν ὡς ἑξήκοντα ἐπὶ τὸ στρατό-
πεδον.

CAP. IV. (VULGO VI.)

ΕΝΤΕΥΘΕΝ οἱ μὲν πολέμιοι εἶχον ἀμφὶ τὰ ἑαυτῶν, καὶ ἀπήγοντο καὶ τοὺς οἰκέτας καὶ τὰ χρήματα, ὅπη ἐδύναντο προσωτάτω· οἱ δὲ Ἕλληνες ἀνέμενον μὲν Κλέανδρον, καὶ τὰς τριήρεις, καὶ τὰ πλοῖα, ὡς ἥξοντα· ἐξιόντες δὲ ἑκάστης ἡμέρας σὺν τοῖς ὑποζυγίοις καὶ τοῖς ἀνδραπόδοις, ἐφέροντο ἀδεῶς ἤδη πυροὺς, κριθὰς, οἶνον,

τὸ τῶν πολεμίων] Edd. vett. Guelf. τὸ omittunt, πολὺ ὂν Paris. et Eton.

30. πρὸς τούτους] Refertur ad ἱππέας latentes in vocabulo ἱππικὸν, nisi τοῦτο malis scribere cum libro Paris. τούτῳ est in Eton. Sequens καὶ ante ἐπὶ τούτους omittit Guelf.

31. νάπος] *Vallem* cum Zeunio interpretatur Weiske; et sane γέφυρα ἐπὶ τῷ νάπει sect. 22. vallem arguit.

ᾔδεισαν] Hutchinsoni conjecturam ἔδυσαν reprobavit Zeune, et ὃ referri ad νάπος, non ad totam sententiam, monuit Weiske.

ὀψὲ γὰρ ἦν] Ita margo Steph. Paris. Eton. vulgo est ὀψία, ad quod intelligunt ὥρα, quidni δείλη?

32. ἐγένετο] Abest ab Edd. vett. et Guelf. ut sequens γὰρ ab Eton. pro quo δ᾽ est in Guelf.

1. καὶ τοὺς οἰκέτας] Ex Paris. Eton. καὶ adjecit Zeune. Statim ὅτι ἐδύναντο προσωτάτω scriptum malebat H. Stephanus.

ἀνέμενον] Margo Steph. Paris. Eton. προσέμενον. sed hoc verbo non utitur Xenophon.

ἀδεῶς ἤδη] Paris. ἤδη omittit, dein-

ὄσπρια, μελίνας, σῦκα· πάντα γὰρ εἶχεν ἡ χώρα, πλὴν
2 ἐλαίου. Καὶ ὁπότε μὲν καταμένοι τὸ στράτευμα ἀνα-
παυόμενον, ἐξῆν ἐπὶ λείαν ἰέναι· καὶ ἐλάμβανον οἱ ἐξιόν-
τες· ὁπότε δ' ἐξίοι πᾶν τὸ στράτευμα, εἴ τις χωρὶς
3 ἀπελθὼν λάβοι τι, δημόσιον ἔδοξεν εἶναι. Ἤδη δὲ ἦν
πολλὴ πάντων ἀφθονία· καὶ γὰρ ἀγοραὶ πάντοθεν
ἀφικνοῦντο ἐκ τῶν Ἑλληνίδων πόλεων, καὶ οἱ παραπλέον-
τες ἄσμενοι κατῆγον, ἀκούοντες, ὡς οἰκίζοιτο πόλις, καὶ
4 λιμὴν εἴη. Ἔπεμπον δὲ καὶ οἱ πολέμιοι, οἳ πλησίον
ᾤκουν, πρὸς Ξενοφῶντα, ἀκούοντες, ὅτι οὗτος πολίζει τὸ
χωρίον, ἐρωτῶντες, ὅ τι δέοι ποιοῦντας φίλους εἶναι. Ὁ
5 δ' ἐπεδείκνυεν αὐτοὺς τοῖς στρατιώταις. Κἀν τούτῳ
Κλέανδρος ἀφικνεῖται, δύο τριήρεις ἔχων, πλοῖον δ' οὐδέν.
Ἐτύγχανε δὲ τὸ στράτευμα ἔξω ὂν, ὅτε ἀφίκετο, καὶ ἐπὶ
λείαν τινὲς οἰχόμενοι, ἄλλοι εἰς τὸ ὄρος· καὶ εἰλήφεσαν
πρόβατα πολλά· ὀκνοῦντες δὲ μὴ ἀφαιρεθεῖεν, τῷ Δε-
ξίππῳ λέγουσιν, (ὃς ἀπέδρα τὴν πεντηκόντορον ἔχων ἐκ

de habet ἅπαντα γὰρ ἀγαθὰ εἶχε sine ἡ χώρα. Atque ita etiam Guelf. Eton. cum Juntina. Sed Aldina, Steph. margo Villois. et Guelf. a secunda manu πάντα γὰρ εἶχεν ἡ χώρα, omisso ἀγαθὰ, quod seclusit Zeune, omisit Weiske.

2. οἱ ἐξιόντες] Articulum addidi, ut appareat, prædam ad eum pertinuisse, qui ceperat. Etiam Hutchinson vertit: *et qui exierant, prædam capiebant.*

3. πολλὴ] Omittit Paris. Eton. deinceps ἀφικνοῦνται Edd. vett. Guelf. ἀφίκοντο corrigebat Brodæus.

κατῆγον] Aldina, Steph. κατέπεμπον, Junt. Guelf. κατεῖχον; ex margine Steph. Paris. Eton. κατῆγον dedit Hutchinson.

4. πολέμιοι, οἳ πλησίον ᾤκουν] Vulgatum πολέμιοι ἤδη πλησίον οἰκοῦντες mutavit Stephanus adjecto ἤδη, quod omittit Guelf. et Eton. sed hic habet οἳ πλησίον ᾤκουν, unde Weiske effecit ἤδη οἱ πλησίον οἰκοῦντες. Zeune edidit καὶ οἱ πολέμιοι ἤδη πλησίον οἰκοῦντες.

πολίζει] Puto fuisse πολίζοι, ut sect. 3. ἀκούοντες, ὡς οἰκίζοιτο πόλις καὶ λιμὴν εἴη.

ἐπεδείκνυεν] Xenophon igitur nondum desperaverat fore, ut tandem militibus persuaderet, manere in loco et oppidum condere.

5. τὸ στράτευμα] Ita Paris. liber. Vulgo est τότε, vel τό τε.

οἰχόμενοι, ἄλλοι] Edd. vett. Guelf. Eton. ᾠχόμενοι, ἄλλος. Stephanus distinxit οἰχόμενοι, ἄλλοι. Zeune ad οἰχόμενοι repetit ἐτύγχανον. Leonclavius ita vertit: *et seorsim nonnulli prædatum iverant in montem.* Weiske opinatur hic quædam esse turbata, omissis et depravatis verbis. Nec mihi locus sanus esse videtur, sed scribendum conjicio: καὶ οἰχόμενοι ἄλλος ἄλλῃ εἰς τὸ ὄρος εἰλήφεσαν πρόβατα πολλά. In Eton. πρόβατα non apparet.

Τραπεζοῦντος) καὶ κελεύουσι διασώσαντα τὰ πρόβατα,
τὰ μὲν αὐτὸν λαβεῖν, τὰ δὲ σφίσιν αὐτοῖς ἀποδοῦναι.
Εὐθὺς δ' ἐκεῖνος ἀπελαύνει τοὺς περιεστῶτας τῶν 6
στρατιωτῶν, καὶ λέγοντας, ὅτι δημόσια ταῦτ' εἴη· καὶ
τῷ Κλεάνδρῳ εὐθὺς ἐλθὼν λέγει, ὅτι ἁρπάζειν ἐπιχει-
ροῦσιν. Ὁ δὲ κελεύει τὸν ἁρπάζοντα ἄγειν πρὸς αὐτόν.
Καὶ ὁ μὲν λαβὼν ἄγει τινά· περιτυχὼν δ' Ἀγασίας 7
ἀφαιρεῖται· καὶ γὰρ ἦν αὐτῷ ὁ ἀγόμενος λοχίτης. Οἱ
δὲ ἄλλοι οἱ παρόντες τῶν στρατιωτῶν ἐπιχειροῦσι βάλ-
λειν τὸν Δέξιππον, ἀνακαλοῦντες τὸν προδότην. Ἔδει-
σαν δὲ καὶ τῶν τριηριτῶν πολλοὶ, καὶ ἔφευγον εἰς τὴν
θάλατταν· καὶ Κλέανδρος δ' ἔφευγε. Ξενοφῶν δὲ καὶ 8
οἱ ἄλλοι στρατηγοὶ κατεκώλυόν τε, καὶ τῷ Κλεάνδρῳ
ἔλεγον, ὅτι οὐδὲν εἴη πρᾶγμα, ἀλλὰ τὸ δόγμα εἴη αἴτιον,
τὸ τοῦ στρατεύματος, ταῦτα γενέσθαι. Ὁ δὲ Κλέαν- 9
δρος, ὑπὸ τοῦ Δεξίππου τε ἀνερεθιζόμενος, καὶ αὐτὸς
ἀχθεσθεὶς, ὅτι ἐφοβήθη, ἀποπλευσεῖσθαι ἔφη καὶ
κηρύξειν, μηδεμίαν πόλιν δέχεσθαι αὐτοὺς, ὡς πολε-

διασώσαντα] Eton. αὐτοῖς ex sequenti membro retractum huc collocat. De Dexippo compara v. 1, 15.

6. τῶν στρατιωτῶν] Ex Juntina, Guelf. et versione Amasæi στασιωτῶν recepit cum Zeunio Weiske, quod vocabulum plane ineptum est hoc loco. Eleganter dici milites eos, qui decretum exercitus defendebant et adversabantur secus sentientibus, censet Zeune; quod equidem fieri posse nego. Recte vero στασιῶται dicuntur Hellenic. vii. 1, 43. et statim de iisdem est οἱ παρόντες τῶν στρατιωτῶν.

ταῦτ' εἴη] Paris. Eton. omittit ταῦτ', ut sequens εὐθὺς Paris. quod seclusit Zeune.

7. ἄγει] Eton. ἦγε habet. Deinde post ἀνακαλοῦντες margo Steph. Paris. Eton. βάλλειν repetunt.

[ἀνακαλοῦντες τὸν προδότην] Verbum βάλλειν, quod Codices boni deinceps post participium insertum offerunt, dubium facere potest lectorem de loci integritate. Sed solum id sensum non perficit eum, ut dicantur milites seditiosi reliquis adstantibus vel occurrentibus acclamasse, *cædite proditorem.* Potius aliud verbum eidem erat adjungendum, velut in simili loco Cyrop. iii. 3, 42. καὶ οἱ ἔμπροσθεν ἀνακαλοῦντες ἕπεσθαι παρεγγυῶσιν. Igitur de mutando loco non cogitandum censeo; sed comparo ex eadem Cyri disciplina similem nostro locum iii. 3, 4. ὁ δ' Ἀρμένιος συμπροὔπεμπε καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι, ἀνακαλοῦντες τὸν εὐεργέτην, τὸν ἄνδρα τὸν ἀγαθόν. *Ex Epistola.*]

καὶ Κλέανδρος δ'] Ex Eton. καὶ adjecit Zeune. recte!

8. κατεκώλυόν τε, καὶ] Edd. veterum et Guelf. scripturam κατεκώλυον τότε καὶ revocavit Zeune. Articulum τὸ ante τοῦ στρατεύματος omittit Junt. et Guelf.

9. δέχεσθαι αὐτοὺς] Ex Eton. pronomen adjecit Zeune.

μίους. Ἦρχον δὲ τότε πάντων τῶν Ἑλλήνων οἱ Λακεδαι-
μόνιοι.
10 Ἐνταῦθα πονηρὸν ἐδόκει τὸ πρᾶγμα [ἐκεῖνο] εἶναι
τοῖς Ἕλλησι, καὶ ἐδέοντο, μὴ ποιεῖν ταῦτα. Ὁ δ᾽ οὐκ
ἂν ἄλλως ἔφη γενέσθαι, εἰ μή τις ἐκδώσει τὸν ἄρξαντα
11 βάλλειν καὶ τὸν ἀφελόμενον. Ἦν δὲ, ὃν ἐζήτει, Ἀγα-
σίας, διὰ τέλους φίλος τῷ Ξενοφῶντι· ἐξ οὗ καὶ διέβα-
λεν αὐτὸν ὁ Δέξιππος. Καὶ ἐντεῦθεν, ἐπειδὴ ἀπορία
ἦν, συνήγαγον τὸ στράτευμα οἱ ἄρχοντες· καὶ ἔνιοι μὲν
αὐτῶν παρ᾽ ὀλίγον ἐποιοῦντο τὸν Κλέανδρον· τῷ δὲ Ξενο-
φῶντι οὐκ ἐδόκει φαῦλον εἶναι τὸ πρᾶγμα, ἀλλ᾽ ἀνα-
στὰς ἔλεξεν·
12 Ὦ ἄνδρες στρατιῶται, ἐμοὶ δ᾽ οὐ φαῦλον δοκεῖ εἶναι
τὸ πρᾶγμα, εἰ ἡμῖν οὕτως ἔχων τὴν γνώμην Κλέανδρος
ἄπεισιν, ὥσπερ λέγει. Εἰσὶ μὲν γὰρ [ἤδη] ἐγγὺς αἱ
Ἑλληνίδες πόλεις· τῆς δ᾽ Ἑλλάδος Λακεδαιμόνιοι προ-
εστήκασιν· ἱκανοὶ δέ εἰσι καὶ εἷς ἕκαστος Λακεδαιμονίων
13 ἐν ταῖς πόλεσιν, ὅ τι βούλονται, διαπράττεσθαι. Εἰ
οὖν οὗτος πρῶτον μὲν ἡμᾶς Βυζαντίου ἀποκλείσει, ἔπειτα
δὲ τοῖς ἄλλοις ἁρμοσταῖς παραγγελεῖ, εἰς τὰς πόλεις

10. [ἐκεῖνο] εἶναι] Omissum a Paris. pronomen seclusi.

11. φίλος τῷ Ξενοφῶντι] Mihi γενόμενος vel simile participium deesse videtur; et recte post Agasiæ nomen comma posuit Weiske. Deinde διέβαλλεν habet Guelf.

καὶ ἐντεῦθεν] Ita Eton. Vulgo καὶ deest.

παρ᾽ ὀλίγον] Junt. Guelf. Eton. παράλογον, Aldina παρὰ λόγον. Deinceps negationem ante ἐδόκει omittit Eton.

12. ἐμοὶ δ᾽ οὐ φ.] Juntina ἐμοὶ δ᾽ οὖν, unde Brodæus efficiebat ἐμοὶ μὲν οὖν οὐδὲν φ. alii libri ἐμοὶ οὐ φ. quod restituit Weiske: equidem Castal. et Guelf. cum Zeunio sequor. Sequens εἶναι omisit Castalio.

οὕτως ἔχων τὴν γνώμην] In Memorab. iv. 8, 7. est ἀλλὰ καὶ οἱ ἐμοὶ φίλοι οὕτως ἔχοντες γνώμης περὶ ἐμοῦ διατελοῦσιν. Supra ii. 2, 10. et 12. est γνώμην τίνα ἔχεις περὶ τῆς πορείας. Diversum est ii. 5, 29. ἐβούλετο ὁ Κλέαρχος ἅπαν τὸ στράτευμα πρὸς ἑαυτὸν ἔχειν τὴν γνώμην. Thucydides iii. 25. πρὸς τοὺς Ἀθηναίους ἧσσον εἶχον τὴν γνώμην, ὥστε ξυμβαίνειν. Quare hic τῆς γνώμης scriptum malim.

[ἤδη] ἐγγὺς αἱ] Omissum in Eton. ἤδη seclusi. Articulum αἱ omittit Guelf. Deinde περιεστήκασιν Eton. περιεστήκεσαν Paris. habet.

13. πρῶτον] Edd. vett. Guelf. πρῶτος. Sequens παραγγελεῖ ex Paris. in locum vulgati παραγγείλῃ substituit Zeune.

μὴ δέχεσθαι, ὡς ἀπιστοῦντας Λακεδαιμονίοις καὶ ἀνό-
μους ὄντας· ἔτι δὲ πρὸς Ἀναξίβιον τὸν ναύαρχον οὗτος ὁ
λόγος περὶ ἡμῶν ἥξει· χαλεπόν ἐστι καὶ μένειν καὶ
ἀποπλεῖν· καὶ γὰρ ἐν τῇ γῇ ἄρχουσι Λακεδαιμόνιοι καὶ
ἐν τῇ θαλάττῃ τὸν νῦν χρόνον. Οὔκουν δεῖ οὔτε ἑνὸς ἀν- 14
δρὸς ἕνεκα οὔτε δυοῖν ἡμᾶς τοὺς ἄλλους τῆς Ἑλλάδος
ἀποσχέσθαι, ἀλλὰ πειστέον, ὅ τι ἂν κελεύωσι· καὶ
γὰρ αἱ πόλεις ἡμῶν, ὅθεν ἐσμὲν, πείθονται αὐτοῖς.
Ἐγὼ μὲν οὖν, (καὶ γὰρ ἀκούω, Δέξιππον λέγειν πρὸς 15
Κλέανδρον, ὡς οὐκ ἂν ἐποίησεν Ἀγασίας ταῦτα, εἰ μὴ
ἐγὼ αὐτὸν ἐκέλευσα) ἐγὼ οὖν ἀπολύω καὶ ὑμᾶς τῆς αἰ-
τίας, καὶ Ἀγασίαν, ἂν αὐτὸς Ἀγασίας φήσῃ, ἐμέ τινος
τούτων αἴτιον εἶναι, καὶ καταδικάζω ἐμαυτοῦ, εἰ ἐγὼ
πετροβολίας ἢ ἄλλου τινὸς βιαίου ἐξάρχω, τῆς ἐσχάτης
δίκης ἄξιος εἶναι, καὶ ὑφέξω τὴν δίκην. Φημὶ δὲ, καὶ 16
εἴ τινα ἄλλον αἰτιᾶται, ἑαυτὸν χρῆναι παρασχεῖν Κλεάν-
δρῳ κρῖναι· οὕτω γὰρ ἂν ὑμεῖς ἀπολελυμένοι τῆς αἰτίας
εἴητε. Ὡς δὲ νῦν ἔχει, χαλεπὸν, εἰ, οἰόμενοι ἐν τῇ Ἑλ-
λάδι καὶ ἐπαίνου καὶ τιμῆς τεύξεσθαι, ἀντὶ τούτων μηδ'
ὅμοιοι τοῖς ἄλλοις ἐσόμεθα, ἀλλ' εἰρξόμεθα ἐκ τῶν Ἑλ-
ληνίδων πόλεων.

Μετὰ ταῦτα ἀναστὰς Ἀγασίας εἶπεν· Ἐγὼ, ὦ ἄν- 17
δρες, ὄμνυμι θεοὺς καὶ θεὰς, ἦ μὴν μήτε ἐμὲ Ξενοφῶντα
κελεῦσαι ἀφελέσθαι τὸν ἄνδρα, μήτε ὑμῶν ἄλλον μη-
δένα· ἰδόντι δέ μοι ἄνδρα ἀγαθὸν ἀγόμενον τῶν ἐμῶν
λοχιτῶν ὑπὸ Δεξίππου, (ὃν ὑμεῖς ἐπίστασθε ὑμᾶς προ-

ἀπιστοῦντας] Leonclavius ἀπειστοῦντας scriptum maluit. Deinde ἀπόρους pro ἀνόμους habet Eton.

χαλεπόν ἐστι] Ita cum Eton. Zeune correxit vulgatum ὥστε χαλεπὸν εἶναι. Ex eodem libro νυνὶ χρόνον posuit Zeune.

14. ἀποσχέσθαι] Paris. Eton. ἀπέχεσθαι. deinceps πιστέον Paris.

15. ἐγὼ οὖν] Ex Junt. Guelf. Eton. μὲν interposuit Zeune.

Ἀγασίαν] Eton. αὐτὸν habet, deinde τι τούτων ἄντιον.

ἄξιος] Male Paris. ἄξιον habet.

16. ἀντὶ τούτων] Eton. importune δὲ interserit.

δόντα) δεινὸν ἔδοξεν εἶναι· καὶ ἀφειλόμην, ὁμολογῶ.
18 Καὶ ὑμεῖς μὲν μὴ ἐκδῶτε· ἐγὼ δὲ ἐμαυτὸν, ὥσπερ Ξενο-
φῶν λέγει, παρασχήσω κρίναντι Κλεάνδρῳ, ὅ τι ἂν βού-
ληται ποιῆσαι· τούτου ἕνεκα μήτε πολεμεῖτε Λακεδαι-
μονίοις, σώζεσθέ τε ἀσφαλῶς, ὅπη θέλει ἕκαστος.
Συμπέμψατε μέντοι ὑμῶν αὐτῶν ἑλόμενοι πρὸς Κλέαν-
δρον, οἵτινες, ἐάν τι ἐγὼ παραλείπω, καὶ λέξουσιν ὑπὲρ
19 ἐμοῦ καὶ πράξουσιν. Ἐκ τούτου ἔδωκεν ἡ στρατιὰ, οὕσ-
τινας βούλοιτο προελόμενον ἰέναι. Ὁ δὲ προείλετο τοὺς
στρατηγούς. Μετὰ ταῦτα ἐπορεύοντο πρὸς Κλέανδρον
Ἀγασίας καὶ οἱ στρατηγοὶ, καὶ ὁ ἀφαιρεθεὶς ἀνὴρ ὑπὸ
Ἀγασίου· καὶ ἔλεγον οἱ στρατηγοί·
20 Ἔπεμψεν ἡμᾶς ἡ στρατιὰ πρός σε, ὦ Κλέανδρε· καὶ
κελεύουσί σε, εἴτε πάντας αἰτιᾷ, κρίναντα σεαυτὸν χρῆ-
σθαι, ὅ τι ἂν βούλῃ· εἴτε ἕνα τινὰ, ἢ δύο, ἢ καὶ πλείους
αἰτιᾷ, τούτους ἀξιοῦσι παρασχεῖν σοι ἑαυτοὺς εἰς κρίσιν.
Εἴτε οὖν ἡμῶν τινα αἰτιᾷ, πάρεσμέν σοι ἡμεῖς· εἴτε καὶ
ἄλλον τινὰ αἰτιᾷ, φράσον· οὐδεὶς γάρ σοι ἀπέσται,
21 ὅστις ἂν ἡμῖν ἐθελήσῃ πείθεσθαι. Μετὰ ταῦτα παρ-
ελθὼν ὁ Ἀγασίας εἶπεν· Ἐγώ εἰμι, ὦ Κλέανδρε, ὁ

18. ἐκδῶτε] Paris. ἐκδότε. Sequens ὅ τι pro ὃ ex Guelf. et Eton. dedit Zeune.

πολεμεῖτε] Ita liber Brodæi et Paris. probante Porsono. Ante Zeunianam erat πολεμῆτε, quod revocavit Weiske.

σώζεσθέ τε] Margo Steph. liber Brodæi, Paris. σώζοισθέ τε.

ὅπη] Paris. ὅπου θέλει. Ex Guelf. ὅποι θέλοι posuit Zeune, quem non secutus est Weiske.

μέντοι ὑμῶν] Ex Guelf. Eton. et margine Villois. μοι interposuit Zeune.

19. βούλοιτο] Eton. βούληται—ἐπορεύετο habet.

20. καὶ κελεύουσι] Margo Steph. Paris. Eton. καὶ ἐκέλευσε, quod recepit Welsius et Hutchinson.

κρίναντα—αἰτιᾷ] Hæc in Eton. omissa sunt.

Εἴτε οὖν] Ita Castalio, quem sequitur Zeune. In aliis erat εἴ τι οὖν. Deinceps εἴτε δὲ pro εἴτε καὶ est in Eton.

αἰτιᾷ, φράσον] Ex Eton. repetitum αἰτιᾷ adjeci, quod repudiabat Zeune tanquam inutile glossema. Sed idem Eton. εἴτε δὲ ἄλλον habet.

γάρ σοι] Eton. σοι omisit. deinceps ἐθελήσῃ cum Guelf. Stephanus. ἐθέλῃ margo Steph. Paris. ἐθελήσει Edd. vett. Welsius, Hutchins.

21. Κλέανδρε] Edd. vett. Guelf. ἄνδρες. Verum nomen est in margine Steph. Paris. Eton.

ἀφελόμενος Δεξίππου ἄγοντος τοῦτον τὸν ἄνδρα, καὶ
παίειν κελεύσας Δέξιππον. Τοῦτον μὲν γὰρ οἶδα ἄνδρα 22
ἀγαθὸν ὄντα· Δέξιππον δὲ αἱρεθέντα οἶδα ὑπὸ τῆς στρα-
τιᾶς ἄρχειν τῆς πεντηκοντόρου, ἧς ᾐτησάμεθα παρὰ Τρα-
πεζουντίων, ἐφ᾽ ᾧ τε πλοῖα συλλέγειν, ὡς σωζοίμεθα·
καὶ ἀποδράντα Δέξιππον, καὶ προδόντα τοὺς στρατιώ-
τας, μεθ᾽ ὧν ἐσώθη. Καὶ τούς τε Τραπεζουντίους ἀπε- 23
στερήκαμεν τὴν πεντηκόντορον, καὶ κακοὶ δοκοῦμεν εἶναι
διὰ τοῦτον· αὐτοί τε, τὸ ἐπὶ τούτῳ, ἀπολώλαμεν πάντες.
Ἤκουε γὰρ, ὥσπερ ἡμεῖς, ὡς ἄπορον εἴη, πεζῇ ἀπιόντας
τοὺς ποταμούς τε διαβῆναι, καὶ σωθῆναι εἰς τὴν Ἑλλά-
δα. Τοῦτον οὖν τοιοῦτον ὄντα ἀφειλόμην. Εἰ δὲ σὺ 24
ἦγες, ἢ ἄλλος τις τῶν παρὰ σοῦ, καὶ μὴ τῶν παρ᾽ ἡμῶν
ἀποδράντων, εὖ ἴσθι, ὅτι οὐδὲν ἂν τούτων ἐποίησα. Νό-
μιζε δ᾽, ἐὰν ἐμὲ νῦν ἀποκτείνῃς, δι᾽ ἄνδρα δειλόν τε καὶ
πονηρὸν ἄνδρα ἀγαθὸν ἀποκτενῶν.

Ἀκούσας ταῦτα ὁ Κλέανδρος ἔφη, ὅτι Δέξιππον μὲν 25
οὐκ ἐπαινεῖ, εἰ ταῦτα πεποιηκὼς εἴη· οὐ μέντοι ἔφη νομίζειν,
οὐδ᾽ εἰ παμπόνηρος ἦν Δέξιππος, βίαν χρῆναι πάσχειν
αὐτὸν, ἀλλὰ κριθέντα (ὥσπερ καὶ ὑμεῖς νῦν ἀξιοῦτε) τῆς
δίκης τυχεῖν. Νῦν μὲν οὖν ἄπιτε, καταλιπόντες τοῦτον 26

23. *ἀπολώλαμεν πάντες*] Paris. Eton. *πάντες* omittunt.

24. *ἦγες, ἢ ἄλλος τις*] Paris. Eton. *ἡγῇ ἄλλως ἢ τις τῶν.* deinceps *παρά σοι* Aldina, Steph. margo Villois. Nostrum habent Junt. Guelf. Paris. Eton.

καὶ μὴ τῶν παρ᾽ ἡμῶν] Paris. *ἢ καὶ τῶν παρ᾽ ἐμοῦ.* Sequens *ἄνδρα* ante *ἀγαθὸν* ex margine Steph. Paris. Eton. adjecit Zeune. Postea *ἀποκτενῶν* scripsi monente etiam Porsono. Vulgo est *ἀποκτενών*; sed recte infra vii. 1, 17. editur *ἐμβαλῶν.*

25. *ἔφη*] Ita Aldina, Steph. Paris. *εἶπε* Eton. Omisit Junt. et Guelf. deinde *ἐπαινοῖ* Guelf.

βίαν χρῆναι] Ita Paris. Eton. margo Steph. Ante Zeunium erat *δίκαια*, quod cum Mureto Stephanus in *βίαια χρῆναι* mutari voluit, Leoncl. in *δεῖν βίαια*, in *δεῖν βίαν* Wyttenbach in Biblioth. Critica Amstelod. *βίᾳ χρῆναι* Regii Codices B. C. habent.

νῦν ἀξιοῦτε, τῆς] Ita Paris. Eton. Guelf. Regius B. C. *νῦν ἀξιοῦται τῆς* ante Hutchinsonum erat, quod in *νῦν, ἀξιοῦσθαι τῆς* mutari voluit Stephanus

τυχεῖν] Juntina *λαχῶν*, ceteræ Edd. vett. Guelf. margo Villois. *λαχεῖν.*

26. *τοῦτον τὸν*] Paris. Eton. *τόνδε τόν.* Agasiam intellige. Deinde *παρέσται* Paris.

τὸν ἄνδρα· ὅταν δ' ἐγὼ κελεύσω, πάρεστε πρὸς τὴν κρί-
σιν. Αἰτιῶμαι δὲ οὔτε τὴν στρατιὰν, οὔτε ἄλλον οὐδένα·
27 ἐπεί γε οὗτος αὐτὸς ὁμολογεῖ ἀφελέσθαι τὸν ἄνδρα. Ὁ
δ' ἀφαιρεθεὶς εἶπεν· Ἐγὼ, ὦ Κλέανδρε, εἰ καὶ οἴει με
ἀδικοῦντά τι ἄγεσθαι, οὔτ' ἔπαιον οὐδένα, οὔτ' ἔβαλλον,
ἀλλ' εἶπον, ὅτι δημόσια εἴη τὰ πρόβατα· ἦν γὰρ τῶν
στρατιωτῶν δόγμα, εἴ τις, ὁπότε ἡ στρατιὰ ἐξίοι, ἰδίᾳ
28 ληΐζοιτο, δημόσια εἶναι τὰ ληφθέντα. Ταῦτ' εἶπον· καὶ
ἐκ τούτου με λαβὼν οὗτος ἦγεν, ἵνα μὴ φθέγγοιτο μη-
δεὶς, ἀλλ' αὐτὸς, λαβὼν τὸ μέρος, διασώσειε τοῖς λη-
σταῖς παρὰ τὴν ῥήτραν τὰ χρήματα. Πρὸς ταῦτα ὁ
Κλέανδρος εἶπεν· Ἐπεὶ τοίνυν τοιοῦτος εἶ, κατάμενε, ἵνα
καὶ περὶ σοῦ βουλευσώμεθα.
29 Ἐκ τούτου οἱ μὲν ἀμφὶ Κλέανδρον ἠρίστων· τὴν δὲ
στρατιὰν συνῆγε Ξενοφῶν, καὶ συνεβούλευε, πέμψαι ἄν-
δρας πρὸς Κλέανδρον, παραιτησομένους περὶ τῶν ἀνδρῶν.
30 Ἐκ τούτου ἔδοξεν αὐτοῖς, πέμψαντας στρατηγοὺς καὶ
λοχαγοὺς καὶ Δρακόντιον τὸ Σπαρτιάτην, καὶ τῶν ἄλλων
οἳ ἐδόκουν ἐπιτήδειοι εἶναι, δεῖσθαι Κλεάνδρου κατὰ
31 πάντα τρόπον, ἀφεῖναι τὼ ἄνδρε. Ἐλθὼν οὖν Ξενοφῶν
λέγει· Ἔχεις μὲν, ὦ Κλέανδρε, τοὺς ἄνδρας· καὶ ἡ
στρατιά σοι ἐφεῖτο, ὅ τι ἐβούλου ποιῆσαι καὶ περὶ τούτων,
καὶ περὶ ἑαυτῶν ἁπάντων. Νῦν δέ σε αἰτοῦνται καὶ

ἄλλον οὐδένα] Steph. ἄλλων οὐδένα, Eton. ἔτι addit. Castalio ἄλλον μηδένα edidit, propter sect. 17. ἄλλον μηδένα.

27. Κλέανδρε] Edd. vett. Guelf. Eton. ἄνδρες, ut sect. 21.

28. Ταῦτ' εἶπον· καὶ ἐκ τούτου] Margo Villois. εἶπα. Sequens καὶ omisit Eton. Postea μεταλαβὼν dedit Castalio.

τοιοῦτος] Edd. vett. Steph. prior, Leoncl. Guelf. τορὸς, quod Amasæus vertit *tam argutus;* plane omittit Paris. αὐτὸς habet Eton. τοιοῦτος ex libro Brodæi dedit Steph. altera Editio. Mihi cum Weiskio vera lectio adhuc latere in vitiosa videtur.

σοῦ] Paris. Eton. αὐτοῦ habent.

29. παραιτησομένους] Aldina, Guelf. παραιτησαμένους habent.

30. τὸν Σπαρτιάτην] Articulus deest in Edd. vett. et Guelf.

δεῖσθαι Κλεάνδρου κατὰ πάντα τρόπον] Cf. dicenda ad libri vii. 2, 8.

31. ἐφεῖτο] Margo Steph. et Paris. ὑφεῖτο habet.

δέονται, δοῦναι σφίσι τὼ ἄνδρε, καὶ μὴ κατακαίνειν·
πολλὰ γὰρ ἐν τῷ πρόσθεν χρόνῳ περὶ τὴν στρατιὰν
ἐμοχθησάτην. Ταῦτα δὲ σοῦ τυχόντες, ὑπισχνοῦνταί σοι 32
ἀντὶ τούτων, ἐὰν βούλῃ ἡγεῖσθαι αὐτῶν, καὶ ἐὰν οἱ θεοὶ
ἵλεῳ ὦσιν, ἐπιδείξειν σοι, καὶ ὡς κόσμιοί εἰσι, καὶ ὡς
ἱκανοὶ, τῷ ἄρχοντι πειθόμενοι, τοὺς πολεμίους σὺν τοῖς
θεοῖς μὴ φοβεῖσθαι. Δέονται δέ σου καὶ τοῦτο, παρα- 33
γενόμενον καὶ ἄρξαντα ἑαυτῶν πεῖραν λαβεῖν καὶ Δεξίπ-
που καὶ σφῶν καὶ τῶν ἄλλων, οἷος ἕκαστός ἐστι, καὶ
τὴν ἀξίαν ἑκάστοις νεῖμαι. Ἀκούσας ταῦτα ὁ Κλέαν- 34
δρος· Ἀλλὰ ναὶ μὰ τὼ Σιὼ, ἔφη, ταχύ τοι ὑμῖν ἀπο-
κρινοῦμαι. Καὶ τώ τε ἄνδρε ὑμῖν δίδωμι, καὶ αὐτὸς
παρέσομαι· καὶ ἐὰν οἱ θεοὶ παραδιδῶσί τι, ἐξηγήσομαι
εἰς τὴν Ἑλλάδα. Καὶ πολὺ οἱ λόγοι οὗτοι ἀντίοι εἰσὶν,
ἢ οὓς ἐγὼ περὶ ὑμῶν ἐνίων ἤκουον, ὡς τὸ στράτευμα ἀφι-
στᾶτε ἀπὸ Λακεδαιμονίων.

Ἐκ τούτου οἱ μὲν ἐπαινοῦντες ἀπῆλθον, ἔχοντες τὼ 35
ἄνδρε· Κλέανδρος δὲ ἐθύετο ἐπὶ τῇ πορείᾳ, καὶ συνῆν
Ξενοφῶντι φιλικῶς, καὶ ξενίαν συνεβάλλοντο. Ἐπεὶ δὲ
καὶ ἑώρα αὐτοὺς τὸ παραγγελλόμενον εὐτάκτως ποιοῦν-
τας, καὶ μᾶλλον ἐπεθύμει ἡγεμὼν γενέσθαι αὐτῶν.

πρόσθεν] Paris. ἔμπροσθεν habet. pro χρόνῳ margo Villois. χωρίῳ.

33. ἄρξαντα ἑαυτῶν] Ita Edd. vett. et Eton. αὐτῶν cum Stephano Weiske.

οἷος—νεῖμαι] Junt. Guelf. Eton. οἷς—εἶναι.

34. τὼ Σιὼ] Ita Aldina, Steph. Paris. τοὺς θεοὺς Juntina, τὼς σίως Guelf. sed in margine τὼς θεὼς habet. νὴ τὼ σιὼ Eton. Intelliguntur Castor et Pollux. Cf. Hellenic. iv. 4, 10. Meursii Miscell. Lacon. ii. 8. τῷ σιῷ est in margine Villois.

παραδιδῶσί τι] *Si aliquid boni in extis dederint*, interpretatur Weiske. *si lætum aliquod prosperumque portenderint*, Hutchinson. Mihi locus hic non sanus esse videtur.

πολὺ οἱ λόγοι] Paris. πολὺ ὀλίγοι, Eton. Guelf. Edd. vett. πολλοὶ οἱ λ.

ἀφιστᾶτε] Margo Steph. et Paris. ἀφίστατο. Videtur ἀφίσταιτο voluisse dare librarius.

35. ἔχοντες] Omisit Juntina. Deinde τε post ἐθύετο cum Stephano omisit Hutchinson et Weiske, restituit ex Edd. vett. Guelf. Zeune.

ξενίαν συνεβάλλοντο] Paris. ξένια συνεβάλοντο. Posterius cum Stephano recepit Hutchinson et Weiske. Nostrum est in Aldina. συγκατεβάλλοντο Juntina cum Guelf.

καὶ μᾶλλον] Margo Steph. Paris. Eton. ἔτι adjungunt. indidem γενέσθαι dedi pro vulgato εἶναι.

36 Ἐπεὶ μέντοι θυομένῳ αὐτῷ ἐπὶ τρεῖς ἡμέρας οὐκ ἐγίγνετο τὰ ἱερὰ, συγκαλέσας τοὺς στρατηγοὺς εἶπεν· Ἐμοὶ μὲν οὐκ ἐθέλει γενέσθαι τὰ ἱερὰ ἐξάγειν· ὑμεῖς μέντοι μὴ ἀθυμεῖτε τούτου ἕνεκα· ὑμῖν μὲν γὰρ, ὡς ἔοικε, δέδοται ἐκκομίσαι τοὺς ἄνδρας· ἀλλὰ πορεύεσθε. Ἡμεῖς δὲ ὑμᾶς, ἐπειδὰν ἐκεῖσε ἥκητε, δεξόμεθα, ὡς ἂν δυνώμεθα κάλλιστα.

37 Ἐκ τούτου ἔδοξε τοῖς στρατιώταις, δοῦναι αὐτῷ τὰ δημόσια πρόβατα. Ὁ δὲ, δεξάμενος, πάλιν αὐτοῖς ἀπέδωκε· καὶ αὐτὸς μὲν ἀπέπλει. Οἱ δὲ στρατιῶται, διαθέμενοι τὸν σῖτον, ὃν ἦσαν συγκεκομισμένοι, καὶ τἄλ-
38 λα, ἃ εἰλήφεσαν, ἐξεπορεύοντο διὰ τῶν Βιθυνῶν. Ἐπεὶ δὲ οὐδενὶ ἐνέτυχον πορευόμενοι τὴν ὀρθὴν ὁδὸν, ὥστ᾽ ἔχοντές τι εἰς τὴν Φιλίαν διεξελθεῖν, ἔδοξεν αὐτοῖς, τοὔμπαλιν ὑποστρέψαντας ἐλθεῖν μίαν ἡμέραν καὶ νύκτα. Τοῦτο δὲ ποιήσαντες, ἔλαβον πολλὰ καὶ ἀνδράποδα καὶ πρόβατα· καὶ ἀφίκοντο ἑκταῖοι εἰς Χρυσόπολιν τῆς Χαλκηδονίας, καὶ ἐκεῖ ἔμειναν ἡμέρας ἑπτὰ, τὰ λάφυρα πωλοῦντες.

36. οὐκ ἐγίγνετο] Edd. vett. (excepta Castal.) Guelf. ὡς οὐκ ἐγίγνετο. Deinde Paris. οὐ τελέθει habet.

ἐξάγειν] Sic supra ii. 2, 3. θυομένῳ ἰέναι ἐπὶ βασιλέα. ubi vide annotata.

δεξόμεθα] Male Guelf. δεξώμεθα.

37. συγκεκομισμένοι] Aldina συγκεκοσμένοι, Eton. κεκομισμένοι.

38. ἐνέτυχον] Ita ex Paris. vulgatum ἐνετύγχανον correxi.

ἔχοντές τι εἰς] Verba τι εἰς omisit Eton. deinceps Brodæus scriptum malebat διελθεῖν aut ἐλθεῖν.

Χρυσόπολιν] Paris. liber Χρυσούπολιν —λαφυροπωλοῦντες. Locus hodie apud Græcos *Skudari* vel *Eskudar* audit. *Mannert* Geogr. Gr. vi. p. iii. p. 592.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ Ζ΄.

CAPUT I.

ΟΣΑ μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου ἔπραξαν οἱ Ἕλληνες μέχρι τῆς μάχης, καὶ ὅσα, ἐπεὶ Κῦρος ἐτελεύτησεν, ἐν τῇ πορείᾳ, μέχρις εἰς τὸν Πόντον ἀφίκοντο, καὶ ὅσα ἐκ τοῦ Πόντου πεζοὶ ἐξιόντες καὶ πλέοντες ἐποίησαν, μέχρις ἔξω τοῦ στόματος ἐγένοντο ἐν Χρυσοπόλει τῆς Ἀσίας, πάντα ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται.

Ἐκ τούτου δὲ Φαρνάβαζος, φοβούμενος τὸ στράτευμα, 2
μὴ ἐπὶ τὴν αὐτοῦ ἀρχὴν στρατεύηται, πέμψας πρὸς Ἀναξίβιον τὸν ναύαρχον, (ὁ δὲ ἔτυχεν ἐν Βυζαντίῳ ὢν) ἐδεῖτο, διαβιβάσαι τὸ στράτευμα ἐκ τῆς Ἀσίας, καὶ ὑπισχνεῖτο, πάντα ποιήσειν αὐτῷ, ὅσα δέοι. Καὶ Ἀναξίβιος 3
μετεπέμψατο τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τῶν στρατιωτῶν εἰς Βυζάντιον, καὶ ὑπισχνεῖτο, εἰ διαβαῖεν, μι-

1. μέχρι] Omittunt Edd. vett. Guelf. deinde ὅσα μὲν ἐκ τοῦ Πόντου. sed Steph. et Guelf. μὲν omittunt.

πεζοὶ] Guelf. Eton. πεζῇ. Deinceps ἐκπλέοντες margo Steph. Paris. Eton. postea ἐποίουν Edd. vett. Guelf. Eton.

ἔξω τοῦ στόματος] P. Gyllius de Bosporo Thracio p. 23. εἴσω vel ἔσω scribendum esse ex consensu Geographorum veterum monet.

πάντα] Omittit Paris. Eton. Deinceps mallem scriptum ἐν τοῖς ἐπάνω ut initio libri sexti. Nam ὁ πρόσθεν λόγος, si volumen antecedens intelligitur, nihil habet de iis, ὅσα ἔπραξαν οἱ Ἕλληνες μέχρι τῆς μάχης.

2. ἀρχὴν] Margo Steph. Paris. Eton. χώραν. Sequens δέοι Weiskio minus aptum videbatur; igitur δέοιτο conjiciebat, quæcunque a Pharnabazo sibi fieri cuperet. Idem vertisse videtur Larcher.

3. τῶν στρατιωτῶν] Omittit Eton. deinde μισθοφορίαν habet.

4 σθοφορὰν ἔσεσθαι τοῖς στρατιώταις. Οἱ μὲν δὴ ἄλλοι
ἔφασαν βουλευσάμενοι ἀπαγγελεῖν· Ξενοφῶν δὲ εἶπεν
αὐτῷ, ὅτι ἀπαλλάξοιτο ἤδη ἀπὸ τῆς στρατιᾶς, καὶ βού-
λοιτο ἀποπλεῖν. Ὁ δὲ Ἀναξίβιος ἐκέλευσεν αὐτὸν, συν-
διαβάντα, ἔπειτα οὕτως ἀπαλλάττεσθαι. Ἔφη οὖν
ταῦτα ποιήσειν.

5 Σεύθης δὲ ὁ Θρᾲξ πέμπει Μηδοσάδην, καὶ κελεύει
Ξενοφῶντα συμπροθυμεῖσθαι, ὅπως διαβῇ τὸ στράτευ-
μα, καὶ ἔφη αὐτῷ ταῦτα συμπροθυμηθέντι οὐ μεταμε-
6 λήσειν. Ὁ δ᾽ εἶπεν· Ἀλλὰ τὸ μὲν στράτευμα διαβή-
σεται· τούτου ἕνεκα μηδὲν τελείτω μήτε ἐμοὶ, μήτε ἄλλῳ
μηδενί· ἐπειδὰν δὲ διαβῇ, ἐγὼ μὲν ἀπαλλάξομαι· πρὸς
δὲ τοὺς διαμένοντας καὶ ἐπικαιρίους ὄντας προσφερέσθω,
ὡς ἂν αὐτῷ δοκῇ.

7 Ἐκ τούτου διαβαίνουσι πάντες εἰς Βυζάντιον οἱ στρα-
τιῶται· καὶ μισθὸν μὲν οὐκ ἐδίδου ὁ Ἀναξίβιος· ἐκή-
ρυξε δὲ, λαβόντας τὰ ὅπλα καὶ σκεύη τοὺς στρατιώτας
ἐξιέναι, ὡς ἀποπέμψων τε ἅμα καὶ ἀριθμὸν ποιήσων.
Ἐνταῦθα οἱ στρατιῶται ἤχθοντο, ὅτι οὐκ εἶχον ἀργύριον
ἐπισιτίζεσθαι εἰς τὴν πορείαν, καὶ ὀκνηρῶς συνεσκευά-
ζοντο.

4. οἱ μὲν δὴ ἄλλοι] Eton. οἱ δὲ Ἕλληνες. idem deinde cum Guelf. et Edd. vett. βουλευόμενοι habet. Cum Stephano facit Paris. Sequens ἀπαγγελεῖν est e Stephani emendatione pro ἀπαγγέλλειν.

Ἔφη οὖν—ποιήσειν] Mihi persona Xenophontis respondentis nominanda fuisse videtur.

5. Μηδοσάδην] Margo Steph. et Paris. ubique Δημοσάδην habet. Idem nomen videtur, quod Polyænus viii. 56. posuit: Ἀμάγη γυνὴ Μηδοσάκου βασιλέως Σαρματῶν τῶν ἐπὶ τὴν Ποντικὴν παραλίαν καθηκόντων.

ταῦτα συμπρ.] Eton. πάντα habet.

6. διαβήσεται] Negationem οὐ addunt Juntina, Guelf. Eton. unde στράτευμά μου scribi voluit cum Stephano Muretus. οὗ relatum ad sequens τούτου ἕνεκα potuisse poni in tali oratione ab alio scriptore putabat Weiske. Rectius cum Aldina et Paris. libro delevit negationem Stephaniana. Cf. ii. 27.

δοκῇ] ἀσφαλὲς addunt margo Steph. Paris. Eton.

7. εἰς Βυζάντιον] Articulum τὸ interserit Eton. deinde ἐξεδίδου habet Juntina cum Guelf. Postea ἀποπέμψωνται—ποιήσωνται Eton.

Καὶ ὁ Ξενοφῶν, Κλεάνδρῳ τῷ ἁρμοστῇ ξένος γεγενη- 8
μένος, προσελθὼν ἠσπάζετο αὐτὸν, ὡς ἀποπλευσούμενος
ἤδη. Ὁ δὲ αὐτῷ λέγει· Μὴ ποιήσῃς ταῦτα· εἰ δὲ μὴ,
ἔφη, αἰτίαν ἕξεις· ἐπεὶ καὶ νῦν τινὲς ἤδη σὲ αἰτιῶνται,
ὅτι οὐ ταχὺ ἐξέρπει τὸ στράτευμα. Ὁ δὲ εἶπεν· Ἀλλ' 9
αἴτιος μὲν ἔγωγε οὐκ εἰμὶ τούτου, οἱ δὲ στρατιῶται αὐτοὶ,
ἐπισιτισμοῦ δεόμενοι, καὶ οὐκ ἔχοντες, διὰ τοῦτο ἀθυ-
μοῦσι πρὸς τὴν ἔξοδον. Ἀλλ' ὅμως, ἔφη, ἐγώ σοι συμ- 10
βουλεύω, ἐξελθεῖν μὲν ὡς πορευσόμενον· ἐπειδὰν δ' ἔξω
γένηται τὸ στράτευμα, τότε ἀπαλλάττεσθαι. Ταῦτα
τοίνυν, ἔφη ὁ Ξενοφῶν, ἐλθόντες πρὸς Ἀναξίβιον διαπρα-
ξόμεθα. Οὕτως ἐλθόντες ἔλεγον ταῦτα. Ὁ δὲ ἐκέ- 11
λευσεν οὕτω ποιεῖν, καὶ τὴν ταχίστην ἐξιέναι συνεσκευασ-
μένους, καὶ προσανειπεῖν, ὃς ἂν μὴ παρῇ εἰς τὴν ἐξέτασιν
καὶ εἰς τὸν ἀριθμὸν, ὅτι αὐτὸς αὑτὸν αἰτιάσεται. Ἐν- 12
τεῦθεν ἐξῄεσαν οἵ τε στρατηγοὶ πρῶτον, καὶ οἱ ἄλλοι.
Καὶ ἄρδην πάντες πλὴν ὀλίγων ἔξω ἦσαν, καὶ Ἐτεόνικος
εἱστήκει παρὰ τὰς πύλας, ὡς, ὁπόταν ἔξω γένωνται
πάντες, ἀποκλείσων τὰς πύλας, καὶ τὸν μοχλὸν ἐμβα-
λῶν.

8. ξένος γεγενημένος] Respice libri vi. 4, 35. ξενίαν συνεβάλλοντο.

προσελθὼν] Eton. αὐτῷ addit; sequens ἀποπλευσούμενος debetur Paris. libro pro vulgari forma ἀποπλευσόμενος.

9. καὶ οὐκ ἔχοντες] Omittit Paris. et Eton. Mallem ἀργύριον additum suppeditassent.

10. ὅμως] Juntina ὁ μὲν habet, deinde Guelf. διαπραξώμεθα. Vulgo legebatur: διαπραξόμεθα οὕτως. Ἐλθόντες. Verior distinctio verborum debetur Weiskio.

11. συνεσκευασμένους] Eton. συσκευασαμένους. Sequens εἰς τὸν ἀριθμὸν dedi ex Paris. Vulgo alterum εἰς abest.

12. πρῶτον] Paris. πρῶτοι. Deinde liber Brodæi et Eton. καὶ ἄρδην τε πάντες. Eadem scriptura omisso τε est in Paris. et margine Steph.

καὶ ἄρδην πάντες] Quid margo Steph. liber Brodæi, Paris. Eton. varietatis hoc loco habeant, modo dictum est. Vulgo erat καὶ ἤδη τε πάντες. Aristophan. Thesmoph. 274. Euripides jurat: ὄμνυμι τοίνυν πάντας ἄρδην τοὺς θεούς. Hesychius nescio unde sumtum φροῦδον ἄρδην interpretatur παντελῶς ἀφανές.

ὁπόταν — γένωνται] Paris. ὁπότε — γένοιντο — συγκλείσων. Sequens ἐμβαλῶν vulgato ἐμβαλὼν cum Stephaniana secunda et Guelf. recte substituit Zeune. In Arriani Anabasi vii. 27, 4. Ἀλέξανδρος ἐς τὸν Εὐφράτην ποταμὸν ἤει ἐμβαλὼν scribendum erit similiter, non ἐμβαλών.

13 Ὁ δὲ Ἀναξίβιος, συγκαλέσας τοὺς στρατηγοὺς καὶ
τοὺς λοχαγοὺς, ἔλεγε· Τὰ μὲν ἐπιτήδεια, ἔφη, λαμβά-
νετε ἐκ τῶν Θρᾳκίων κωμῶν· (εἰσὶ δὲ αὐτόθι πολλαὶ
κριθαὶ καὶ πυροὶ, καὶ τἄλλα τὰ ἐπιτήδεια) λαβόντες δὲ
πορεύεσθε εἰς τὴν Χεῤῥόνησον, ἐκεῖ δὲ Κυνίσκος ὑμῖν μι-
14 σθοδοτήσει. Ἐπακούσαντες δέ τινες τῶν στρατιωτῶν
ταῦτα ἢ καὶ τῶν λοχαγῶν τις, διαγγέλλει εἰς τὸ στρά-
τευμα. Καὶ οἱ μὲν στρατηγοὶ ἐπυνθάνοντο περὶ τοῦ
Σεύθου, πότερα πολέμιος εἴη ἢ φίλος, καὶ πότερα διὰ
τοῦ ἱεροῦ ὄρους δέοι πορεύεσθαι, ἢ κύκλῳ διὰ μέσης τῆς
Θρᾴκης.

15 Ἐν ᾧ δὲ οὗτοι ταῦτα διελέγοντο, οἱ στρατιῶται ἀναρ-
πάσαντες τὰ ὅπλα θέουσι δρόμῳ πρὸς τὰς πύλας, ὡς
πάλιν εἰς τὸ τεῖχος εἰσιόντες. Ὁ δὲ Ἐτεόνικος καὶ οἱ
σὺν αὐτῷ, ὡς εἶδον προσθέοντας τοὺς ὁπλίτας, συγκλεί-
16 ουσι τὰς πύλας, καὶ τὸν μοχλὸν ἐμβάλλουσιν. Οἱ δὲ
στρατιῶται ἔκοπτον τὰς πύλας, καὶ ἔλεγον, ὅτι ἀδικώ-
τατα πάσχοιεν ἐκβαλλόμενοι εἰς τοὺς πολεμίους· καὶ
κατασχίσειν τὰς πύλας ἔφασαν, εἰ μὴ ἑκόντες ἀνοίξου-
17 σιν. Ἄλλοι δ' αὐτῶν ἔθεον παρὰ τὴν θάλατταν, καὶ
παρὰ τὴν χηλὴν τοῦ τείχους ὑπερβάλλουσιν εἰς τὴν πόλιν·

13. Κυνίσκος] Paris. Eton. Κυνικός. deinde μισθοδότης εἴη Eton. Verbo μισθοδοτεῖν sine adjecto casu habet Hellenic. iv. 8, 21. Cyniscum Laconem fuisse, qui in Chersoneso bellum cum Thracibus gereret, opinatur Zeune. Cyniscam Agesilai sororem memoravit Noster in Agesilai encomio.

14. περὶ τοῦ Σεύθου] Juntina, Guelf. περί τε Σεύθου.

ἱεροῦ ὄρους] Diversum a cognomine supra iv. 7, 21. de quo multa Polybius aliique scriptores.

15. οἱ στρατιῶται] Ita Paris. Vulgatum οἵ τε στρ. cum Stephano in οἵ γε mutavit Hutchinson, Zeune, Weiske. Sequens εἰς τὸ τεῖχος vulgato πρὸς τὸ τ. ex libro Brodæi, Guelf. Eton. substituit Zeune.

16. κατασχίσειν] Eton. τε addit, quod in δὲ mutatum verum puto. deinde ἀνοίξωσι dat Paris.

17. ἄλλοι δ' αὐτῶν] Paris. Eton. αὐτῶν omittunt; deinde ἐπὶ θάλατταν Paris. unde ἐπὶ τὴν θ. malim.

παρὰ τὴν χηλὴν] Quidam intelligunt brachia, moles, aggeres portuum, qui portum Byzantium clauderent, laudantque locum Dionis Cassii libro lxxiv. p. 1251. de Byzantii portubus: οἵ τε λιμένες ἐντὸς τείχους ἀμφοτέροι κλειστοὶ ἁλύσεσιν ἦσαν, καὶ αἱ χηλαὶ αὐτῶν πύργους ἐφ' ἑκάτε-

ἄλλοι δ', οἳ ἐτύγχανον ἔνδον ὄντες τῶν στρατιωτῶν, ὡς
ὁρῶσι τὰ ἐπὶ ταῖς πύλαις πράγματα, διακόψαντες ταῖς
ἀξίναις τὰ κλεῖθρα, ἀναπεταννύουσι τὰς πύλας· οἱ δ'
εἰσπίπτουσιν.
Ὁ δὲ Ξενοφῶν, ὡς εἶδε τὰ γιγνόμενα, δείσας, μὴ ἐφ' 18
ἁρπαγὴν τράποιτο τὸ στράτευμα, καὶ ἀνήκεστα κακὰ
γένοιτο τῇ πόλει καὶ αὐτῷ καὶ τοῖς στρατιώταις, ἔθει,
καὶ συνεισπίπτει εἴσω τῶν πυλῶν σὺν τῷ ὄχλῳ. Οἱ δὲ 19
Βυζάντιοι, ὡς εἶδον τὸ στράτευμα βίᾳ εἰσπίπτον, φεύ-
γουσιν ἐκ τῆς ἀγορᾶς, οἱ μὲν εἰς τὰ πλοῖα, οἱ δὲ οἴκαδε·
ὅσοι δὲ ἔνδον ἐτύγχανον ὄντες, ἔξω· οἱ δὲ καθεῖλκον τὰς
τριήρεις, ὡς ἐν ταῖς τριήρεσι σώζοιντο· πάντες δὲ ᾤοντο
ἀπολωλέναι, ὡς ἑαλωκυίας τῆς πόλεως. Ὁ δὲ Ἐτεόνι- 20
κος εἰς τὴν ἄκραν ἀποφεύγει. Ὁ δὲ Ἀναξίβιος, κατα-

ρα πολὺ προέχοντας ἔφερον. Verum hic χηλὴ τοῦ τείχους memoratur, quam Morus interpretatur *marginem lapidum eminentium, qui infimum murum ambit.* Scholia Thucydidis ad librum i. c. 63. χηλὴ καλεῖται οἱ ἔμπροσθεν τοῦ πρὸς θάλασσαν τείχους προβεβλημένοι λίθοι, διὰ τὴν τῶν κυμάτων βίαν, μὴ τὸ τεῖχος βλάπτοιτο· εἴρηται δὲ παρὰ τὸ ἐοικέναι χηλῇ βοός. Similitudinem ungulæ bovillæ perspicere equidem non possum. Sed quum portus duo Byzantii mœnibus urbis concluderentur, potest χηλὴ esse simul τοῦ τείχους et portuum, λιμένων. In loco Thucydidis ipso laudato est de urbe maritima Potidæa: καὶ παρῆλθε παρὰ τὴν χηλὴν διὰ τῆς θαλάσσης βαλλόμενός τε καὶ χαλεπῶς. Altero loco vii. 53. est de Syracusis: παρεβοήθει ἐπὶ τὴν χηλήν. Utrobique ad portus crepidinem vertunt. Προβόλους Demosthenis interpretatur Harpocration, eosdemque intelligi voluisse videntur Scholia Thucydidea. Arrianus Anab. ii. 21. de muro Tyri urbis loquens: ὅτι λίθοι πολλοὶ ἐς τὸ πέλαγος προβεβλημένοι ἐξεῖργον τὴν ἐγγὺς (τῶν νεῶν) προσβολήν. Eosdem sect. 11. προβόλους vocat: ὅπου δὲ καθαρὸν πεποίητο τῶν προβόλων τὸ τεῖχος, οὐ χαλεπῶς ἤδη ταύτῃ αἱ νῆες προσεῖχον. Sed dum ipsum Dionis locum comparo, video in eo nihil esse præsidii, ut cum Moro τὴν χηλὴν τοῦ τείχους crepidinem muri interpretari liceat. Ante urbis pomœria (τείχη) erat περίβολος, de quo sic Dio: τοῦ δὲ δὴ περιβόλου τὰ μὲν πρὸς τῆς ἠπείρου μέγα ὕψος, ὥστε καὶ τοὺς τυχόντας ἀπ' αὐτῶν ἀμύνασθαι· τὰ δὲ πρὸς τῇ θαλάττῃ ἧσσον· αἵ τε γὰρ πέτραι, ἀφ' ὧν ἐπῳκοδόμητο, καὶ ἡ τοῦ Βοσπόρου δεινότης θαυμαστῶς σφίσι συνεμάχουν. Tum sequuntur verba de portubus mœnibus urbis comprehensis, quæ supra posui. Suspicor igitur Xenophontem loqui de promontoriorum aut saxorum brachiis in mare juxta urbem projectis, et χηλὴν referentibus, aut ipsas portus alterius moles, χηλὴν referentes, intelligi voluisse. περίβολον enim urbis a latere marino minus altum fuisse exstructum in prominentibus in mare rupibus, significat Dion.

ὑπερβάλλουσιν] Margo Steph. liber Brodæi, Paris. Eton. ὑπερβαίνουσι. Deinde διακόπτοντες Paris.

18. αὐτῷ] Paris. ἑαυτῷ.

19. ὅσοι δὲ ἔνδον] Opponi τῷ οἴκαδε, recte monuit Weiske.

20. ἄκραν—ἀκρόπολιν] Leonclavius utrumque *arcem* interpretatur, Ama-

δραμὼν ἐπὶ τὴν θάλατταν, ἐν ἁλιευτικῷ πλοίῳ περιέ-
πλει εἰς τὴν ἀκρόπολιν, καὶ εὐθὺς μεταπέμπεται ἐκ
Χαλκηδόνος φρουρούς· οὐ γὰρ ἱκανοὶ ἐδόκουν εἶναι οἱ ἐν
τῇ ἀκροπόλει σχεῖν τοὺς ἄνδρας.
21 Οἱ δὲ στρατιῶται ὡς εἶδον τὸν Ξενοφῶντα, προσπίπ-
τουσιν αὐτῷ πολλοὶ, καὶ λέγουσι· Νῦν σοι ἔξεστιν, ὦ
Ξενοφῶν, ἀνδρὶ γενέσθαι. Ἔχεις πόλιν, ἔχεις τριήρεις,
ἔχεις χρήματα, ἔχεις ἄνδρας τοσούτους. Νῦν ἂν, εἰ
βούλοιο, σύ τε ἡμᾶς ὀνήσαις, καὶ ἡμεῖς σὲ μέγαν ποιή-
22 σαιμεν. Ὁ δὲ ἀπεκρίνατο· Ἀλλ' εὖ τε λέγετε, καὶ
ποιήσω ταῦτα· εἰ δὲ τούτων ἐπιθυμεῖτε, θέσθε τὰ ὅπλα
ἐν τάξει ὡς τάχιστα. (Βουλόμενος αὐτοὺς κατηρεμῆ-
σαι, καὶ αὐτὸς παρηγγύα ταῦτα, καὶ τοὺς ἄλλους ἐκέ-
23 λευσε παρεγγυᾶν, καὶ τίθεσθαι τὰ ὅπλα.) Οἱ δὲ,
αὐτοὶ ὑφ' ἑαυτῶν ταττόμενοι, οἵ τε ὁπλῖται ἐν ὀλίγῳ
χρόνῳ εἰς πεντήκοντα ἐγένοντο, καὶ οἱ πελτασταὶ ἐπὶ τὸ
24 κέρας ἑκάτερον παραδεδραμήκεσαν. Τὸ δὲ χωρίον οἷον
κάλλιστον ἐκτάξασθαί ἐστι, τὸ Θράκιον καλούμενον,

sæus contra recte illud *promontorium*, hoc vero *arcem*. ἄκραν esse quam Polybius iv. 43. προοχὴν ἀκρωτηριάζουσαν vel, ut alii libri habent, ἀκρωρειάζουσαν dicit, cum fano Mercurii, putat Zeune; quæ opinio quam sit aliena ab ipso locorum situ, docebit inspecta tabula Galli *Barbié*, adjuncta Itineri Anacharsidis No. 2. Ceterum male Paris. liber ἀγορὰν habet pro ἄκραν.

23. τὸν Ξενοφῶντα] Articulum omittunt Edd. vett. Guelf. Eton.

Νῦν ἄν, εἰ βούλοιο] Vulgo omissum ἂν ex Paris. et Eton. adjeci cum Zeunio, probante etiam Porsono. Solœcam orationem omisso iterum ἂν prætulit Weiske.

ποιήσαιμεν] Eton. libri ποιήσομεν equidem præfero.

22. θέσθε—ἐν τάξει] Quod Xenophon armatos consistere in acie jubet, id fieri, ne discurrere per urbem et tumultuari possint, monet Weiske, addens merito hoc factum Xenophontis laudari in Chionis quæ fertur ad Matridem Epistola.

καὶ αὐτὸς παρηγγύα ταῦτα] Juntina hæc omisit; Guelf. cum Aldina κατηγγύα, margo Villois. κατεγγύα. Ex Paris. αὐτός τε dedit Zeune. Mihi verba male distincta legi videntur, et malim ita scripta: τάχιστα· βουλόμενος αὐτοὺς κατηρεμῆσαι. (ut participium jungatur cum antecedente ὁ δὲ ἀπεκρίνατο.) Deinde scribo: Καὶ αὐτὸς—τὰ ὅπλα, sublato parentheseos signo.

23. πεντήκοντα] Margo Steph. Paris. Eton. ὀκτὼ habent. Vulgatum de latitudine, non de altitudine aciei interpretatur Weiske, uti ii. 4, 26. Male, uti censet Halbkart. Sequens ἑκάτερον ex versione Amasæi ductum vulgato ἑκάτεροι prætulit Leoncl. Postea παραδεδραμηκότες habet Juntina cum Guelf.

24. Θράκιον] Hellenicorum i. 3.

ἔρημον οἰκιῶν καὶ πεδινόν. Ἐπεὶ δὲ ἔκειτο τὰ ὅπλα, καὶ κατηρεμήθησαν, συγκαλεῖ Ξενοφῶν τὴν στρατιὰν, καὶ λέγει τάδε·

Ὅτι μὲν ὀργίζεσθε, ὦ ἄνδρες στρατιῶται, καὶ νομί- 25
ζετε δεινὰ πάσχειν ἐξαπατώμενοι, οὐ θαυμάζω. Ἐὰν
δὲ τῷ θυμῷ χαριζώμεθα, καὶ Λακεδαιμονίους τε τοὺς
παρόντας τῆς ἐξαπάτης τιμωρησώμεθα, καὶ τὴν πόλιν
τὴν οὐδὲν αἰτίαν διαρπάσωμεν, ἐνθυμήθητε, ἃ ἔσται ἐν-
τεῦθεν. Πολέμιοι μὲν ἐσόμεθα ἀποδεδειγμένοι Λακε- 26
δαιμονίοις τε καὶ τοῖς συμμάχοις· οἷος δ' ὁ πόλεμος ἂν
γένοιτο, εἰκάζειν δὴ πάρεστιν, ἑωρακότας καὶ ἀναμνη-
σθέντας τὰ νῦν δὴ γεγενημένα. Ἡμεῖς γὰρ οἱ Ἀθη- 27
ναῖοι εἰσήλθομεν εἰς τὸν πόλεμον τὸν πρὸς τοὺς Λακεδαι-
μονίους καὶ τοὺς συμμάχους, ἔχοντες τριήρεις, τὰς μὲν ἐν
θαλάττῃ, τὰς δ' ἐν τοῖς νεωρίοις, οὐκ ἐλάττους τετρακο-
σίων, ὑπαρχόντων δὲ πολλῶν χρημάτων ἐν τῇ πόλει, καὶ
προσόδου οὔσης κατ' ἐνιαυτὸν ἀπό τε τῶν ἐνδήμων καὶ ἐκ

extremo: ἀνοίξαντες τὰς πύλας τὰς ἐπὶ τὸ Θρᾴκιον καλουμένας. Thracias portas Byzantii, ante quas septem vocales turres fuerunt, nominat Dio Cassius libro lxxiv. p. 1255. Pro πεδινὸν Edd. vett. Guelf. πεδίων. Deinde κατηρεμίσθησαν habent; quam ipsam formam jam olim ex h. l. annotavit Stephani Thesaurus, ubi ἠρεμίζω ex Themistio annotatur. κατηρεμίζω habet Plutarchus vii. p. 508. Reiskii.

25. τιμωρησώμεθα] Eton. τιμωρησαίμεθα habet; deinceps Paris. ἐνθυμεῖσθε.

26. οἷος δ' ὁ πόλεμος ἂν] Edd. vett. Guelf. ἂν omittunt, sed ex iisdem et libro Brodæi articulum ὁ addidit Zeune, quem iterum omisit Weiske.

τὰ νῦν δὴ] Recte Zeune in Indice *non ita pridem* interpretatur, sed male comparat locum v. 6, 4. In Euripidis Hippolyto versu 233. νῦν δὴ μὲν ὄρος βᾶσ' ἐπὶ θήρας πόθον ἐστέλλ. Scholia ἀρτίως, Suidas et Photius ἀρτίως ἢ μικρὸν ἔμπροσθεν interpretantur.

27. εἰσήλθομεν] Eton. ἤλθομεν. deinde cum Paris. τριακοσίων habet. Vulgarem numerum Diodorus firmare videbatur Zeunio, cum libri xii. 40. numerat τριήρεις τὰς παρούσας τριακοσίας. Ita enim omitti τὰς ἐν τοῖς νεωρίοις, quas Xenophon adjicit trecentis illis.

ἐν τῇ πόλει] i. e. ἀκροπόλει, ubi sex millia talenta argenti recondita et servata fuisse tradit Thucydides ii. 24. monente Zeunio.

ἐνδήμων] Paris. Eton. ἐν δήμῳ καὶ τῆς ὑπερορίας. In Thucydide v. 47. est: ὀμνύντων δὲ ἡ βουλὴ καὶ αἱ ἔνδημοι ἀρχαί. Lex Attica apud Æschinem contra Timarchum haud longe ab initio: μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν μήτε ἔνδημον μήτε ὑπερόριον, μήτε κληρωτὴν μήτε χειροτονητήν. Alia ratione τὰ ἔγγαια opponuntur τοῖς ὑπερορίοις in Convivio iv. 31. de reditibus privatorum. Index Zeunianus ἐνδήμους ineptissime omnium *inquilinos* inter-

τῆς ὑπερορίας, οὐ μεῖον χιλίων ταλάντων· ἄρχοντές τε τῶν νήσων ἁπασῶν, καὶ ἔν τε τῇ Ἀσίᾳ πόλεις πολλὰς ἔχοντες, καὶ ἐν τῇ Εὐρώπῃ ἄλλας τε πολλὰς, καὶ αὐτὸ τοῦτο τὸ Βυζάντιον, ὅπου νῦν ἐσμὲν, ἔχοντες, κατεπολεμή-
28 θημεν οὕτως, ὡς πάντες ὑμεῖς ἐπίστασθε. Νῦν δὲ δὴ τί ἂν οἰόμεθα παθεῖν, Λακεδαιμονίων μὲν καὶ τῶν Ἀχαιῶν συμμάχων ὑπαρχόντων, Ἀθηναίων δὲ, καὶ ὅσοι ἐκείνοις τότε ἦσαν σύμμαχοι, πάντων προσγεγενημένων, Τισσαφέρνους δὲ, καὶ τῶν ἐπὶ θαλάττῃ ἄλλων βαρβάρων πάντων πολεμίων ἡμῖν ὄντων, πολεμιωτάτου δ᾽ αὐτοῦ τοῦ ἄνω βασιλέως; ὃν ἤλθομεν ἀφαιρησόμενοί τε τὴν ἀρχὴν, καὶ ἀποκτενοῦντες, εἰ δυναίμεθα. Τούτων δὴ πάντων ὁμοῦ ὄντων, ἔστι τις οὕτως ἄφρων, ὅστις οἴεται
29 ἂν ἡμᾶς περιγενέσθαι; Μὴ, πρὸς θεῶν, μαινώμεθα, μηδὲ αἰσχρῶς ἀπολώμεθα, πολέμιοι ὄντες καὶ τοῖς πατράσι, καὶ τοῖς ἡμετέροις αὐτῶν φίλοις τε καὶ οἰκείοις. Ἐν γὰρ ταῖς πόλεσιν εἰσὶ πάντες, ταῖς ἐφ᾽ ἡμᾶς στρατευσομέναις· καὶ δικαίως· εἰ βάρβαρον μὲν πόλιν

pretatur; Hutchinson male *cives*. Sunt ἔνδημα reditus ex portitorio, ἑκατοσταῖς aliisque similes. Idem Zeune ad h. l. refert summam tributi annui talentorum 460. ab Aristide sociis imperati, quod Pericles redegerat ad talenta sexcenta. Cf. præter Thucydidem Diodori xi. 47. xii. 40. Meursii de Fortuna Atheniens. c. 7. Rectius comparasset locum Aristophanis in Vespis versu 657. seqq. καὶ πρῶτον μὲν λόγισαι φαύλως—τὸν φόρον ἡμῖν ἀπὸ τῶν πόλεων ξυλλήβδην τὸν προσιόντα, κἄξω τούτου τὰ τέλη χωρὶς καὶ τὰς ἄλλας ἑκατοστὰς, πρυτανεῖα, μέταλλ᾽, ἀγορὰς, λιμένας, μισθοὺς, καὶ δημιόπρατα. Τούτων πλήρωμα τάλαντ᾽ ἐγγὺς δισχίλια γίγνεται ἡμῖν.

νήσων ἁπασῶν] Aristophanes Vesp. 700. ὅστις πόλεων ἄρχων πλείστων ἀπὸ τοῦ Πόντου μέχρι Σαρδοῦς. et versu 707. εἰσίν γε πόλεις χίλιαι, αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσιν.

πάντες ὑμεῖς] Ex libro Brodæi, Paris. Eton. ὑμεῖς adjecit Zeune.

28. τί ἂν οἰόμεθα παθεῖν] Particulam ἂν ex libro Paris. et Eton. recte adjecit Weiske. Paris. præterea ᾠόμεθα habet, Eton. οἳ pro ὅσοι sequente.

προσγεγενημένων] Ita Steph. et Paris. προγεγενημένων Edd. vett. Guelf. cum Amasæo. προγεγενημένοι Eton. ἀρχαίων alicunde commemoravit Stephanus.

29. μηδὲ αἰσχρῶς] Juntina cum Guelf. μὴ αἰσχρῶς habet, deinde ἀπολλώμεθα Edd. vett.

τοῖς πατράσι] Paris. ταῖς πατρίσι habet.

εἰσὶ πάντες] Intelligunt omnes quos consului Interpretes patres, amicos, familiares antea nominatos; sed ita additum oportebat οὗτοι. Hutchinsoni versio *hi omnes* habet.

στρατευσομέναις] Ita cum Paris. Eton. Hutchinson. Antea erat στρα-

εὐδεμίαν ἠθελήσαμεν κατασχεῖν, καὶ ταῦτα, κρατοῦν-
τες· Ἑλληνίδα δὲ, εἰς ἣν πρῶτον ἤλθομεν πόλιν, ταύτην
ἐξαλαπάξομεν. Ἐγὼ μὲν τοίνυν εὔχομαι, πρὶν ταῦτα 30
ἐπιδεῖν ὑφ' ὑμῶν γενόμενα, μυρίας ἐμέ γε κατὰ τῆς γῆς
ὀργυιὰς γενέσθαι. Καὶ ὑμῖν δὲ συμβουλεύσω, Ἕλλη-
νας ὄντας, τοῖς Ἑλλήνων προεστηκόσι πειθομένους πειρᾶ-
σθαι τῶν δικαίων τυγχάνειν. Ἐὰν δὲ μὴ δύνησθε ταῦ-
τα, ἡμᾶς δεῖ ἀδικουμένους τῆς γοῦν Ἑλλάδος μὴ στέρε-
σθαι. Καὶ νῦν μοι δοκεῖ, πέμψαντας Ἀναξιβίῳ εἰπεῖν, 31
ὅτι ἡμεῖς οὐδὲν βίαιον ποιήσοντες παρεληλύθαμεν εἰς τὴν
πόλιν, ἀλλ' ἢν μὲν δυνώμεθα παρ' ὑμῶν ἀγαθόν τι εὑ-
ρίσκεσθαι· εἰ δὲ μὴ, ἀλλὰ δηλώσοντες ὑμῖν, ὅτι οὐκ
ἐξαπατώμενοι, ἀλλὰ πειθόμενοι ἐξερχόμεθα.

Ταῦτα ἔδοξε· καὶ πέμπουσιν Ἱερώνυμόν τε Ἠλεῖον, 32
ἐροῦντα ταῦτα, καὶ Εὐρύλοχον Ἀρκάδα, καὶ Φιλήσιον
Ἀχαιόν. Οἱ μὲν ταῦτα ᾤχοντο ἐροῦντες.

Ἔτι δὲ καθημένων τῶν στρατιωτῶν, προσέρχεται Κοι- 33
ρατάδης Θηβαῖος, ὃς οὐ φεύγων τὴν Ἑλλάδα περιήει,
ἀλλὰ στρατηγιῶν, καὶ ἐπαγγελλόμενος, εἴ τις ἢ πόλις
ἢ ἔθνος στρατηγοῦ δέοιτο· καὶ τότε προσελθὼν ἔλεγεν,
ὅτι ἕτοιμος εἴη ἡγεῖσθαι αὐτοῖς εἰς τὸ Δέλτα καλούμενον

τινομέναις. Deinceps πρώτην offert margo Steph. quod probo. Postea ἐξαλλαπάξομεν Edd. vett.

καὶ δικαίως] Intellige στρατεύσονται ἐφ' ἡμᾶς.

30. ὑφ' ὑμῶν] Ita vulgatum ἐφ' ἡμῶν ex Paris. correxi.

Καὶ ὑμῖν δὲ] Ex libro Brodæi et Eton. δὲ inserui. Deinceps τοῖς τῶν Ἑλλήνων malebat Brodæus; quod et ipse probo.

31. ἢν μὲν δυνώμεθα] Stephanus et Leoncl. post δυνώμεθα, Hutchinson etiam post ἀλλὰ, comma posuerunt, quod recte sustulit Zeune. Orationem esse ἀναναταπόδοτον, et post εὑρίσκεσθαι intelligi εὖ ἔχει vel similem formulam, recte monuit Weiske.

δηλώσοντες ὑμῖν] Pronomen omisit liber Eton.

32. Εὐρύλοχον] Eton. Θρύλοχον—οἱ μὲν τοιαῦτα habet.

33. Κοιρατάδης] Ita Paris. Eton. Κυρητάδης Guelf. Κυρατάδας erat ante Zeunianam. De homine vide annotata ad Hellenica i. 3.

περιήει] Juntina, Guelf. περιήεισιν. deinde στρατηγῶν dant liber Paris. Eton. margo Villois. Verbum e Josepho annotavit Suidas. De scriptura tamen hujus loci dubitare videtur egregius Valckenaer Observ. ad N. T. p. 345.

Δέλτα] Cf. infra cap. 5.

τῆς Θρᴀ́κης, ἔνθα πολλὰ καὶ ἀγαθὰ λήψοιντο· ἔστε
δ' ἂν μόλωσιν, εἰς ἀφθονίαν παρέξειν ἔφη καὶ σῖτα καὶ
ποτά.

34 Ἀκούουσι ταῦτα οἱ στρατιῶται, καὶ τὰ παρὰ Ἀναξι-
βίου ἅμα ἀπαγγελλόμενα· ἀπεκρίνατο γὰρ, ὅτι πειθο-
μένοις αὐτοῖς οὐ μεταμελήσει, ἀλλὰ τοῖς τε οἴκοι τέλεσι
ταῦτα ἀπαγγελεῖ, καὶ αὐτὸς βουλεύσοιτο περὶ αὐτῶν,
35 ὅ τι δύναιτο ἀγαθόν. Ἐκ τούτου οἱ στρατιῶται τόν τε
Κοιρατάδην δέχονται στρατηγὸν, καὶ ἔξω τοῦ τείχους
ἀπῆλθον. Ὁ δὲ Κοιρατάδης συντίθεται αὐτοῖς εἰς τὴν
ὑστεραίαν παρέσεσθαι ἐπὶ τὸ στράτευμα, ἔχων καὶ ἱε-
36 ρεῖα καὶ μάντιν, καὶ σῖτα καὶ ποτὰ τῇ στρατιᾷ. Ἐπεὶ
δ' ἐξῆλθον, ὁ Ἀναξίβιος ἔκλεισε τὰς πύλας, καὶ ἐκή-
ρυξεν, ὅτι, ὅστις ἂν ἁλῷ ἔνδον ὢν τῶν στρατιωτῶν, πεπρά-
37 σεται. Τῇ δ' ὑστεραίᾳ ὁ Κοιρατάδης μὲν ἔχων τὰ ἱερεῖα
καὶ τὸν μάντιν ἧκε, καὶ ἄλφιτα φέροντες εἵποντο αὐτῷ
εἴκοσιν ἄνδρες, καὶ ἄλλοι οἶνον εἴκοσιν ἄνδρες, καὶ ἐλαιῶν
τρεῖς, καὶ σκορόδων εἷς ἀνὴρ ὅσον ἐδύνατο μέγιστον φορ-
τίον, καὶ ἄλλος κρομμύων. Ταῦτα δὲ καταθέμενος ὡς
ἐπὶ δάσμευσιν, ἐθύετο.

38 Ξενοφῶν δὲ, μεταπεμψάμενος Κλέανδρον, ἐκέλευέν οἱ
διαπρᾶξαι, ὅπως εἰς τὸ τεῖχός τε εἰσέλθοι, καὶ ἀπο-

μόλωσιν] Stephani πωλῶσιν ex Edd. vett. Guelf. Paris. Eton. primus Hutchinson in μολῶσιν mutavit, quod ab ἔμολον ductum vitiose sic scribitur. Itaque correxi. Deinceps σιτία habet Paris.

34. ἀπαγγελεῖ] Paris. ἀπαγγέλλει βουλεύσαιτο. Mihi βουλεύσεται scribendum videbatur.

35. δέχονται—Ὁ δὲ Κοιρατάδης] Hæc usque ad nomen repetitum Κοιρατάδης exciderunt in Eton.

συντίθεται] Ita margo Steph. Paris. Eton. probante Dorville ad Charitonem p. 291. ed. Lips. Vulgatum συντάσσεται, vel, ut cum Zeunio scripsit Weiske, συντάττεται Polybii auctoritate defendit Zeune, qui iv. 15. συντάττεσθαι πρὸς Λακεδαιμονίους dixerit. Sed Xenophontis ætati fuit hæc verbi significatio adhuc inusitata.

ἔχων] Male Eton. ἔχοντα habet.

36. ὅτι] Paris. liber reponit ante πεπράσεται.

37. εἴκοσιν ἄνδρες] Eton. ἄνδρες et sequens εἷς omittit.

38. οἱ διαπρᾶξαι] Eton. οἱ omisit. deinceps εἰσέλθῃ—ἀποπλεύσῃ edidit Castalio, quam scripturam equidem probo.

πλεῦσαι ἐκ Βυζαντίου. Ἐλθὼν δὲ Κλέανδρος, Μάλα 39
μόλις, ἔφη, διαπραξάμενος ἥκω· λέγειν γὰρ Ἀναξίβιον,
ὅτι οὐκ ἐπιτήδειον εἴη, τοὺς μὲν στρατιώτας πλησίον εἶναι
τοῦ τείχους, Ξενοφῶντα δὲ ἔνδον· τοὺς Βυζαντίους δὲ
στασιάζειν καὶ πονηροὺς εἶναι πρὸς ἀλλήλους· ὅμως δὲ
εἰσιέναι, ἔφη, ἐκέλευσεν, εἰ μέλλοι σὺν ἑαυτῷ ἐκπλεῖν.
Ὁ μὲν οὖν Ξενοφῶν, ἀσπασάμενος τοὺς στρατιώτας, εἴσω 40
τοῦ τείχους ἀπῄει σὺν Κλεάνδρῳ. Ὁ δὲ Κοιρατάδης τῇ
μὲν πρώτῃ ἡμέρᾳ οὐκ ἐκαλλιέρει, οὐδὲ διεμέτρησεν οὐδὲν
τοῖς στρατιώταις· τῇ δ' ὑστεραίᾳ τὰ μὲν ἱερεῖα εἱστήκει
παρὰ τὸν βωμὸν, καὶ Κοιρατάδης ἐστεφανωμένος, ὡς
θύσων· προσελθὼν δὲ Τιμασίων ὁ Δαρδανεὺς καὶ Νέων
ὁ Ἀσιναῖος καὶ Κλεάνωρ ὁ Ὀρχομένιος ἔλεγον Κοιρα-
τάδῃ, μὴ θύειν, ὡς οὐχ ἡγησόμενον τῇ στρατιᾷ, εἰ μὴ
δώσει τὰ ἐπιτήδεια. Ὁ δὲ κελεύει διαμετρεῖσθαι. Ἐπεὶ 41
δὲ πολλῶν ἐνέδει αὐτῷ, ὥστε ἡμέρας σῖτον ἑκάστῳ γενέ-
σθαι τῶν στρατιωτῶν, ἀναλαβὼν τὰ ἱερεῖα ἀπῄει, καὶ
τὴν στρατηγίαν ἀπειπών.

CAP. II.

ΝΕΩΝ δὲ ὁ Ἀσιναῖος καὶ Φρυνίσκος Ἀχαιὸς καὶ Φιλήσιος Ἀχαιὸς καὶ Ξανθικλῆς Ἀχαιὸς καὶ Τιμασίων Δαρδανεὺς ἐπέμενον τῇ στρατιᾷ, καὶ εἰς κώμας τῶν

39. τοὺς Βυζαντίους] Articulum Eton. liber omisit. Sequens μέλλοι pro vulgato μέλλει ex Guelf. et Eton. recepit Zeune. Intellige ὁ Ξενοφῶν, de quo similiter antecessit Ξενοφῶντα δὲ ἔνδον.

40. Ο μὲν οὖν] Paris. ὁ μὲν δὴ dat, æque bonum. Deinceps τῇ πρώτῃ omisso μὲν Guelf.

διεμέτρησεν] Vulgatum διεμέρισεν ex libro Brodæi, Paris. Eton. correxi. Statim sequitur ὁ δὲ κελεύει διαμετρεῖσθαι forma media. Sic sequiores scriptores de duce μετρεῖν, de militibus dimensum accipientibus τὸν σῖτον μετρεῖσθαι dicunt. Sed etiam ipse Demosthenes verbo μετρεῖσθαι ita usus est. Sic item διάμετρος dicitur, uti docui in Lexico Gr.

Κοιρατάδῃ] Castalio Κυρατάδην edidit; quod ob sequens ἡγησόμενον fecisse videtur. Forte fuit ἡγησομένου, intellecto αὐτοῦ.—Verba ὁ δὲ κελεύει διαμετρεῖσθαι desunt in libro Paris. Eton.

41. ἐνέδει] Male Paris. et Eton. simplex ἔδει habent.

1. ἐπέμενον] Eton. ὑπέμενοι τῇ στρα-

Θρᾳκῶν προελθόντες, τὰς κατὰ Βυζάντιον, ἐστρατοπε-
2 δεύοντο. Καὶ οἱ στρατηγοὶ ἐστασίαζον, Κλεάνωρ μὲν
καὶ Φρυνίσκος πρὸς Σεύθην βουλόμενοι ἄγειν· (ἔπειθε
γὰρ αὐτοὺς, καὶ ἔδωκε τῷ μὲν ἵππον, τῷ δὲ γυναῖκα)
Νέων δὲ εἰς Χεῤῥόνησον, οἰόμενος, εἰ ὑπὸ Λακεδαιμονίοις
γένοιντο, πάντος ἂν προεστάναι τοῦ στρατεύματος· Τι-
μασίων δὲ προὐθυμεῖτο πέραν εἰς τὴν Ἀσίαν πάλιν δια-
βῆναι, οἰόμενος ἂν οἴκαδε κατελθεῖν. Καὶ οἱ στρατιῶ-
3 ται ταὐτὰ ἐβούλοντο. Διατριβομένου δὲ τοῦ χρόνου,
πολλοὶ τῶν στρατιωτῶν, οἱ μὲν τὰ ὅπλα ἀποδιδόμενοι
κατὰ τοὺς χώρους, ἀπέπλεον ὡς ἐδύναντο· οἱ δὲ [καὶ δι-
δόντες τὰ ὅπλα κατὰ τοὺς χώρους] εἰς τὰς πόλεις κατε-
4 μίγνυντο. Ἀναξίβιος δ' ἔχαιρεν ἀκούων διαφθειρόμενον
τὸ στράτευμα· τούτων γὰρ γιγνομένων, ᾤετο μάλιστα
χαρίζεσθαι Φαρναβάζῳ.

5 Ἀποπλέοντι δὲ Ἀναξιβίῳ ἐκ Βυζαντίου συναντᾷ Ἀρί-
σταρχος ἐν Κυζίκῳ, διάδοχος Κλεάνδρῳ, Βυζαντίου δὲ
ἁρμοστής· ἔλεγε δὲ καὶ, ὅτι ναύαρχος διάδοχος Πῶλος
6 ὅσον οὐ παρείη ἤδη εἰς Ἑλλήσποντον. Καὶ ὁ Ἀναξίβιος

τιᾶ καὶ εἰς κ.—προελθόντες κατὰ Βυζάντιον. Etiam Edd. vett. Guelf. τὰς omittunt. Ante Zeunium legebatur προσελθόντες, quod jam olim Leoncl. damnaverat. Ceterum nomina καὶ Φιλήσιος Ἀχ. καὶ Ξανθικλῆς Ἀχαιὸς ex libro Brodæi, margine Steph. et Villois. Paris. Eton. adscivit Zeune.

2. Χεῤῥόνησον] Guelf. ubique Χεῤῥόννησον scriptum habet.

γένοιντο] Pro vulgato γένοιτο ex Paris. Eton. dedit Zeune. Sequens ταὐτὰ pro ταῦτα idem reposuit.

3. καὶ διδόντες—χώρους] Brodæus verba κατὰ τοὺς χώρους veluti supervacua deleri voluit, Muretus præterea quatuor præcedentia καὶ διδόντες τὰ ὅπλα, quæ plane cassa sensu sunt. Hutchinson, qui servari ea maluit, quemadmodum sint explicanda, non docuit. Vitium agnovit etiam Weiske, qui conjecit olim fuisse scriptum κρύπτοντες vel διδόντες seu τιθέντες τὰ ὅπλα ἐνέχυρα. Oppignatorum armorum exemplum posuit vir doctus ex Aristophanis Pluto 452. μὴ θεῖναι τὰ ὅπλα ἐνέχυρα. Sed si miles peregrinus vendendorum armorum occasionem non reperisset, quis oppignorandis locum fuisse credat per agros terræ peregrinæ? Nimis manifesta est repetitio verborum periodi antecedentis, sensu mutilata, quam ut religioni mihi ducendum putarem verba inepta secludere. Ceterum Eton. κατεμιγνύοντο scriptum habet.

5. Κλεάνδρῳ] Male margo Steph. Κλεάρχῳ. deinceps Brod. Paris. Eton. ἐλέγετο δὲ ὅτι καί. postea χωλὸς pro Πῶλος Paris. Pollis navarchus Hellenic. v. 4, 61. an idem sit, dubius adhuc hæreo. Vide de eo dicta ad eum locum.

ὅσον οὐ παρείη ἤδη] Margo Steph.

τῷ μὲν Ἀριστάρχῳ ἐπιστέλλει, ὁπόσους ἂν εὕροι ἐν Βυ-
ζαντίῳ τῶν Κύρου στρατιωτῶν ὑπολελειμμένους, ἀποδό-
σθαι· ὁ δὲ Κλέανδρος οὐδένα ἐπεπράκει, ἀλλὰ καὶ τοὺς
κάμνοντας ἐθεράπευεν, οἰκτείρων, καὶ ἀναγκάζων οἰκίᾳ
δέχεσθαι· Ἀρίσταρχος δ' ἐπεὶ ἦλθε τάχιστα, οὐκ
ἐλάττους τετρακοσίων ἀπέδοτο. Ἀναξίβιος δὲ, παρα- 7
πλεύσας εἰς Πάριον, πέμπει παρὰ Φαρνάβαζον κατὰ
τὰ συγκείμενα. Ὁ δ', ἐπεὶ ᾔσθετο Ἀρίσταρχόν τε
ἥκοντα εἰς Βυζάντιον ἁρμοστὴν, καὶ Ἀναξίβιον οὐκέτι
ναυαρχοῦντα, Ἀναξιβίου μὲν ἠμέλησε, πρὸς Ἀρίσταρχον
δὲ διεπράττετο τὰ αὐτὰ περὶ τοῦ Κυρείου στρατεύματος,
ἅπερ καὶ πρὸς Ἀναξίβιον.

Ἐκ τούτου δὴ Ἀναξίβιος, καλέσας Ξενοφῶντα, κε- 8
λεύει πάσῃ τέχνῃ καὶ μηχανῇ πλεῦσαι ἐπὶ τὸ στράτευμα
ὡς τάχιστα, καὶ συνέχειν τε τὸ στράτευμα, καὶ συνα-
θροίζειν τῶν διεσπαρμένων ὡς ἂν πλείστους δύνηται, καὶ

cum Paris. *ὅσον οὔπω* habet, sed ita sequens *ἤδη* debet abesse. Noster Hellenic. vi. 2, 16. et 24. altero loco est *καὶ γὰρ ἐλέγετο, ὅτι Ἰφικράτης ὅσον οὐκ ἤδη παρείη.* Ita etiam Euripides Hecubæ 138. *ἥξει δ' Ὀδυσσεὺς ὅσον οὐκ ἤδη.* In Thucydidis libro viii. c. 26. *ἀγγέλλεται αὐτοῖς τὰς—ναῦς ὅσον οὐ παρεῖναι*: ubi vulgatum legit Thomas Magister, sed Codd. plurimi cum Edd. Ald. Flor. Bas. *ὅσον οὔπω* scriptum habent. *ὅσον οὐ* cum latino *tantum non* convenit.

6. *εὕροι ἐν*] Guelf. una voce *εὕροιεν*. deinde *ἀπολειπομένους* Paris. et Eton. habent.

οὐκ ἐλάττους] Edd. vett. Guelf. *οὐκ ἐλαχίστους*. deinde *τετρακοσίους* habet Guelf. Postea *ἀπέδοντο* Paris.

7. *Πάριον*] Juntina, Guelf. *Πάρειον*. Eandem scripturam habet cum Edd. vett. in sequentibus Guelf.

διεπράττετο τὰ] Vulgatum antea *διεπράττετό τε* in *διέπραττε τότε* mutatum voluit cum Steph. Muretus: sed Paris. liber *τε* omittit, quem sequitur Zeune.

8. *καὶ μηχανῇ*] Hæc ex libro Brodæi, margine Steph. Paris. Eton. probante Hutchinsono adjecit Zeune. Ita iv. 5, 16. *δεῖται πάσῃ τέχνῃ καὶ μηχανῇ.* Thucyd. v. 18. *ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν—μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ.* Lysias p. 655. ed. Reiskii, *δέομαι δ' ὑμῶν πάσῃ τέχνῃ καὶ μηχανῇ, ἐλεήσατε.* p. 512. *μηδαμῶς μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ θάνατον ἐκείνων—καταψηφίσησθε.* Demosthenes p. 1350. *ὁ νόμος οὐκ ἐᾷ τὴν ξένην τῷ ἀστῷ ξυνοικεῖν—τέχνῃ οὐδὲ μηχανῇ οὐδεμιᾷ.* Addit Hutchinson, cui hæc debentur pleraque exempla, locum Platonis Legum vi. p. 251. Bip. *εἴπερ τινὶ τρόπῳ καὶ μηχανῇ γίγνοιτο.* Noster vi. 4. 30. *δεῖσθαι Κλεάνδρου κατὰ πάντα τρόπον, ἀφεῖναι τὼ ἄνδρε.*

τε τὸ στράτευμα] Ita cum Edd. vett. Guelf. Eton. Weiske. Ex secunda Steph. et Paris. libro *τι αὐτὸ* dedit Zeune.

παραγαγόντα εἰς Πέρινθον, διαβιβάζειν εἰς τὴν Ἀσίαν ὅτι τάχιστα· καὶ δίδωσιν αὐτῷ τριακόντορον καὶ ἐπιστολὴν, καὶ ἄνδρα συμπέμπει, κελεύσοντα τοὺς Περινθίους ὡς τάχιστα Ξενοφῶντα προπέμψαι τοῖς ἵπποις ἐπὶ τὸ
9 στράτευμα. Καὶ ὁ μὲν Ξενοφῶν διαπλεύσας ἀφικνεῖται ἐπὶ τὸ στράτευμα· οἱ δὲ στρατιῶται ἐδέξαντο ἡδέως, καὶ εὐθὺς εἵποντο ἄσμενοι, ὡς διαβησόμενοι ἐκ τῆς Θράκης εἰς τὴν Ἀσίαν.

10 Ὁ δὲ Σεύθης, ἀκούσας ἥκοντα πάλιν Ξενοφῶντα, πέμψας πρὸς αὐτὸν κατὰ θάλατταν Μηδοσάδην, ἐδεῖτο τὴν στρατιὰν ἄγειν πρὸς ἑαυτόν· ὑπισχνούμενος αὐτῷ, ὅ τι ᾤετο λέγων πείσειν. Ὁ δ᾽ ἀπεκρίνατο αὐτῷ, ὅτι οὐ-
11 δὲν οἷόν τε εἴη τούτων γενέσθαι. Καὶ ὁ μὲν ταῦτα ἀκούσας ᾤχετο. Οἱ δ᾽ Ἕλληνες, ἐπεὶ ἀφίκοντο εἰς Πέρινθον, Νέων μὲν ἀποσπάσας, ἐστρατοπεδεύσατο χωρὶς, ἔχων ὡς ὀκτακοσίους ἀνθρώπους· τὸ δ᾽ ἄλλο στράτευμα πᾶν ἐν τῷ αὐτῷ παρὰ τὸ τεῖχος τῶν Περινθίων ἦν.

12 Μετὰ ταῦτα Ξενοφῶν μὲν ἔπραττε περὶ πλοίων, ὅπως ὅτι τάχιστα διαβαῖεν εἰς τὴν Ἀσίαν. Ἐν δὲ τούτῳ ἀφικόμενος Ἀρίσταρχος ἐκ Βυζαντίου ἁρμοστὴς, ἔχων δύο τριήρεις, πεπεισμένος ὑπὸ Φαρναβάζου, τοῖς τε ναυκλήροις ἀπεῖπε μὴ διάγειν, ἐλθών τε ἐπὶ τὸ στράτευμα,

παραγαγόντα] Edd. vett. Guelf. Eton. παραγαγόντας habent. deinceps εἰς τὴν Πέρινθον Eton. postea διαπεράσαι habet pro προπέμψαι.

10. Ξενοφῶντα] Nomen omisit Eton. deinde πρὸς αὐτὸν margo Villois.

πείσειν] Male Paris. Eton. ποιήσειν.

γενέσθαι] Infra sect. 28. ad Medosaden Xenophon: Τί γὰρ ἔλεγον, ὅτε κατὰ Σηλυβρίαν ἀφίκου; Οὐκ ἔφησθα οἷόν τ᾽ εἶναι, ἀλλ᾽ εἰς Πέρινθον ἐλθόντας διαβαίνειν εἰς τὴν Ἀσίαν. unde membrum orationis posterius huc transferendum et inserendum esse censebat Weiske. Humanitatem enim, prudentiam et gravitatem adversus legatum demonstrandam tale quid additum postulasse. Recte! Addiderat in colloquio Xenophon, sed in narratione non erat necessarium.

11. παρὰ τὸ τεῖχος] A prima manu περὶ scriptum habet Guelf. deinde Paris. τὸ Περινθίων, probante Porsono.

12. εἰς τὴν Ἀσίαν] Hæc desunt in Eton. libro.

μὴ διάγειν] Eton. Paris. μηδὲν ἄγειν habent, et deinceps ἐλθών τε dederunt pro vulgato ante Hutchinsonum δέ.

εἶπε τοῖς στρατιώταις, μὴ περαιοῦσθαι εἰς τὴν Ἀσίαν.
Ὁ δὲ Ξενοφῶν ἔλεγεν, ὅτι Ἀναξίβιος ἐκέλευσε, καὶ ἐμὲ 13
πρὸς τοῦτο ἔπεμψεν ἐνθάδε. Πάλιν δ' Ἀρίσταρχος
ἔλεξεν· Ἀναξίβιος μέντοι νῦν οὐκ ἔστι ναύαρχος, ἐγὼ δὲ
τῇδε ἁρμοστής· εἰ δέ τινα ὑμῶν λήψομαι, ἐν τῇ θα-
λάττῃ καταδύσω. Ταῦτα εἰπὼν, ᾤχετο εἰς τὸ τεῖχος.
Τῇ δ' ὑστεραίᾳ μεταπέμπεται τοὺς στρατηγοὺς καὶ 14
λοχαγοὺς τοῦ στρατεύματος. Ἤδη δὲ ὄντων πρὸς τῷ
τείχει, ἐξαγγέλλει τις τῷ Ξενοφῶντι, ὅτι, εἰ εἴσεισι,
συλληφθήσεται, καὶ ἢ αὐτοῦ τι πείσεται, ἢ καὶ Φαρνα-
βάζῳ παραδοθήσεται. Ὁ δὲ, ἀκούσας ταῦτα, τοὺς
μὲν προπέμπεται, αὐτὸς δ' εἶπεν ὅτι θῦσαί τι βούλοιτο.
Καὶ ἀπελθὼν ἐθύετο, εἰ προεῖεν αὐτῷ οἱ θεοὶ πειρᾶσθαι 15
πρὸς Σεύθην ἄγειν τὸ στράτευμα· ἑώρα γὰρ οὔτε δια-

13. ἐκέλευσε] Edd. vett. Guelf. ἐκέλευε.

μέντοι νῦν οὐκ ἔστι] Vulgatum μὲν οὐκ ἔστι revocavit Weiske. Ex scriptura Paris. Eton. μὲν τοίνυν οὐκ ἔστι nostrum effecit Zeune, prælucente Leonclavii versione. In vulgato tamen orationem Laconis graviorem esse statuit Weiske, et convenientiorem alteri membro ἐγὼ δὲ τῇδε ἁρμοστής.

εἰς τὸ τεῖχος] Ex Edit. Isingr. πρὸς annotavit Abresch. Dilucid. Thucyd. p. 400. quod probabat Porson.

14. μεταπέμπεται] Ita Paris. quod vulgato μετεπέμπετο substitui suadente Porsono.

τῷ τείχει] Ita Steph. Guelf. τὸ τεῖχος Edd. vett.

συλληφθήσεται—παραδοθήσεται] Paris. Regii B. C. συλλήψεται. deinde margo Steph. Paris. Eton. ἀναδοθήσεται habent.

τοὺς μὲν] Ita cum Paris. Zeune. Vulgo erat αὐτοὺς μέν.

προπέμπεται] *Præcedere jubet.* Male Index Zeunianus *comitari, deducere* interpretatur, *deducit* Hutchinson. Hoc erat προπέμπειν. Similiter Cyrop. v. 3, 53. τὸν μὲν προσιόντα προυπέμπετο.

θῦσαί τι] Castalio τι omisit.

15. προεῖεν αὐτῷ] Ita pro αὐτὸν scripsit Zeune ex margine Steph. Paris. Eton. *permittere* verbum interpretatur Index Zeunianus a προΐεσθαι derivans. At ita debebat esse προοῖντο, ut i. 9, 10. πρόοιντο editum legitur de Venat. xii. 11. Similis fere locus est in Cyrop. v. 2, 9. ubi προέσθαι τινὶ χρήματα, τυραννίδα, τείχη, τέκνα est, quod postea ἐγχειρίσαι dicitur, potestati alicujus et fidei committere et dedere. In Aristophanis Nub. 1216. εἶτ' ἄνδρα τῶν αὑτοῦ τι χρὴ προϊέναι, expectabam προΐεσθαι; vulgatum Scholia interpretantur ῥιπτεῖν, ἀπολέσαι, σκορπίζειν. Convenit vernaculum *fortschmeissen, wegwerfen.* Hoc vero in loco equidem verbum ἐφιέναι commodius positum fuisse suspicor, quod de legibus, diis, oraculis *permittentibus, concedentibus* dici solet. Miror Interpretum ad h. l. silentium. De eodem verbo dicetur iterum ad cap. vii. 47. ubi προέσθαι εὐεργεσίαν τινὶ rara significatione est. Sed ubique verbo προέσθαι inest imprudentiæ vel negligentiæ notio, quæ huic loco non convenit.

βαίνειν ἀσφαλὲς ὄν, τριήρεις ἔχοντος τοῦ κωλύσοντος· οὔτ' εἰς Χεῤῥόνησον ἐλθὼν κατακλεισθῆναι ἐβούλετο, καὶ τὸ στράτευμα ἐν [πολλῇ] σπάνει πάντων γενέσθαι· ἔνθα δὴ πείσεσθαι μὲν ἀνάγκῃ τῷ ἐκεῖ ἁρμοστῇ, τῶν δὲ ἐπιτηδείων οὐδὲν ἔμελλεν ἕξειν τὸ στράτευμα.

16 Καὶ ὁ μὲν ἀμφὶ ταῦτα εἶχεν· οἱ δὲ στρατηγοὶ καὶ οἱ λοχαγοὶ ἥκοντες παρὰ τοῦ Ἀριστάρχου, ἀπήγγελλον, ὅτι νῦν μὲν ἀπιέναι σφᾶς κελεύει, τῆς δείλης δὲ ἥκειν·
17 ἔνθα καὶ δήλη μᾶλλον ἐδόκει εἶναι ἡ ἐπιβουλή. Ὁ οὖν Ξενοφῶν, ἐπεὶ ἐδόκει τὰ ἱερὰ γενέσθαι καὶ ἑαυτῷ καὶ τῷ στρατεύματι, ἀσφαλῶς πρὸς Σεύθην ἰέναι, παραλαβὼν Πολυκράτην τὸν Ἀθηναῖον, λοχαγὸν, καὶ παρὰ τῶν στρατηγῶν ἑκάστου ἄνδρα, (πλὴν παρὰ Νέωνος) ᾧ ἕκαστος ἐπίστευεν, ᾤχετο τῆς νυκτὸς ἐπὶ τὸ Σεύθου στρά-
18 τευμα ἑξήκοντα στάδια. Ἐπεὶ δ' ἐγγὺς ἦσαν αὐτοῦ, ἐπιτυγχάνει πυροῖς ἐρήμοις. Καὶ τὸ μὲν πρῶτον ᾤετο μετακεχωρηκέναι ποι τὸν Σεύθην. Ἐπεὶ δὲ θορύβου τε ᾔσθετο, (καὶ, σημαινόντων ἀλλήλοις τῶν περὶ Σεύθην, κατέμαθεν, ὅτι τούτου ἕνεκα τὰ πυρὰ προκεκαυμένα εἴη

ἔχοντος] Margo Steph. ὄντος. deinde ἐπὶ Χεῤῥ. Paris. postea καταληφθεῖναι Eton. habet.

[πολλῇ] σπάνει πάντων] Omissum in Eton. πολλῇ seclusi; idem sequens δὴ omittit, non male.

πείθεσθαι μὲν] Edd. vett. Guelf. πείσεσθαι omisso μὲν, unde vulgatum correxi. Quodsi enim πείθεσθαι servandum statuas, tum ἀνάγκη ἦν scribendum erit. Nunc vero verbum πείσεσθαι pendet ab ἔμελλε.

16. ἀμφὶ ταῦτα] In Eton. ἀμφὶ deest, ut verba καὶ οἱ λοχαγοὶ in Juntina. καὶ λοχαγοὶ margo Villois.

τῆς δείλης] Eton. τῇ δείλῃ. Deinceps ἥκοι Paris. Sequens εἶναι omittunt Eton. et Guelf.

17. γενέσθαι] Margo Steph. Paris. Eton. καλὰ εἶναι habent. Deinde Πολυκράτη τε Ἀθηναῖον Guelf. τε pro τὸν habent etiam Edd. vett.

18. πυροῖς] Ita Guelf. in litura, Paris. et Steph. πύργοις Edd. vett. Guelf. Eton. *ignes desertos*, ἐρήμους φυλάκων, interpretatur Stephanus.

ᾤετο] Paris. ᾤοντο—ᾔσθοντο. Deinceps ἐπεὶ δὲ Guelf.

σημαινόντων] Eton. κελευόντων habet, et deinde κεκαυμένα simplex. Ceterum Weiske post καὶ comma posuit, ut verba σημαινόντων—Σεύθην absolute ponantur, et apodosis demum sequatur, ubi est: προπέμπει τὸν ἑρμηνέα. Solemnis repetitionis formula post longiorem interpositionem, ἐπεὶ δὲ ᾔσθετο, facit, ut transeam in viri docti sententiam; sed præterea signa parentheseos, ut alibi fecit idem, apponenda censui.

τῷ Σεύθῃ πρὸ τῶν νυκτοφυλάκων, ὅπως οἱ μὲν φύλακες μὴ ὁρῷντο ἐν τῷ σκότει ὄντες, μήθ' ὅπου εἶεν, οἱ δὲ προσιόντες μὴ λανθάνοιεν, ἀλλὰ διὰ τὸ φῶς καταφανεῖς εἶεν·) ἐπεὶ δὲ ᾔσθετο, προπέμπει τὸν ἑρμηνέα, ὃν ἐτύγ- 19
χανεν ἔχων, καὶ εἰπεῖν κελεύει Σεύθῃ, ὅτι Ξενοφῶν παρείη, βουλόμενος συγγενέσθαι αὐτῷ. Οἱ δ' ἤροντο, εἰ ὁ Ἀθηναῖος, ὁ ἀπὸ τοῦ στρατεύματος. Ἐπειδὴ δ' 20
ἔφη οὗτος εἶναι, ἀναπηδήσαντες ἐδίωκον· καὶ ὀλίγον ὕστερον παρῆσαν πελτασταὶ ὅσον διακόσιοι, καὶ παραλαβόντες Ξενοφῶντα καὶ τοὺς σὺν αὐτῷ, ἦγον πρὸς Σεύθην.
Ὁ δ' ἦν ἐν τύρσει μάλα φυλαττόμενος, καὶ ἵπποι περὶ 21
αὐτὴν κύκλῳ ἐγκεχαλινωμένοι· διὰ γὰρ τὸν φόβον τὰς μὲν ἡμέρας ἐχίλου τοὺς ἵππους, τὰς δὲ νύκτας ἐφυλάττετο. Ἐλέγετο γὰρ καὶ πρόσθεν Τήρης, ὁ τούτου πρό- 22
γονος, ἐν ταύτῃ τῇ χώρᾳ, πολὺ ἔχων στράτευμα, ὑπὸ τούτων τῶν ἀνδρῶν πολλοὺς ἀπολέσαι, καὶ τὰ σκευοφόρα

πρὸ τῶν] Steph. *πρὸς τῶν*, margo Steph. *ἕνεκα τῶν φυλάκων*. Verum habet Juntina, Guelf. Paris. Eton. Hutchinson et Zeune. Cf. Hellenic. vi. 2, 29. et Cyrop. iii. 3, 25.

μήθ' ὅπου εἶεν] Eton. *μήτε ὅπη εἰσὶν, μήτε ὅπη μὲν εἶναι.*

οἱ δὲ] Edd. vett. Guelf. *οἵ τε*. Deinde *καταφανεῖς εἶναι* habet Paris.

19. *παρείη*] Ita Eton. Vulgatum *πάρεστι* correxit Zeune.

21. *ἦν*] Verbum omittit Guelf. Deinceps *τύρσῃ* Edd. vett. Guelf. *σευθῇ* Paris. Postea *περὶ αὐτὸν* margo Steph. et Paris.

νύκτας ἐφυλάττετο] Vitium latens arguit *ἀπόδοσις* orationis claudicans. Quid enim est, quod respondeat membro: *ἐχίλου τοὺς ἵππους*? Nihil equidem video. Verba quidem *τὰς δὲ νύκτας* conveniunt cum illis *τὰς μὲν ἡμέρας*, sed inutiliter repetitur *ἐφυλάττετο*, quod tamen cum verbis antecedentibus non bene coit, nec sensum cœptum absolvit. In margine Steph. Paris. Eton. insertum legitur *ἐγκεχαλινωμένους*. quo quidem supplemento admonemur de vitio, et proficimus aliquid ad lacunam interpolandam. Verbum enim *ἐφυλάττετο* aut plane tollendum aut participium veluti *παραστησάμενος* addendum est: *ἐγκεχαλινωμένους παραστησάμενος ἐφυλάττετο*. Quod ait Weiske, *ἐφυλάττετο* esse h. l. *custodiendos sibi equos curabat*, id primum exemplo simili erat firmandum, quod nuspiam extare puto. Deinde sicubi reperiretur verbum *φυλάττεσθαι* ita positum, tamen id verbum ab hoc loco alienum esse censeo. Equi prope habentur et quidem frenati; quod est longe diversum ab eo, quod ait Weiske, *equos custodiendos sibi curare*. Alii verbum interpretantur *excubias agebat*, Amasæus *ad custodias paratos esse volebat*.

22. *Τήρης*] Hutchinson censet esse eum, quem Thucydides. ii. 29. Sitalcæ patrem dicit, qui Odrysarum imperium primus ampliaverit. Cf. Herodoti iv. 80. vii. 137.

ἀφαιρεθῆναι· ἦσαν δ᾽ οὗτοι Θυνοὶ, πάντων λεγόμενοι
εἶναι μάλιστα νυκτὸς πολεμικώτατοι.
23 Ἐπεὶ δ᾽ ἐγγὺς ἦσαν, ἐκέλευεν εἰσελθεῖν Ξενοφῶντα,
ἔχοντα δύο, οὓς βούλοιτο. Ἐπειδὴ δὲ ἔνδον ἦσαν, ἠσπά-
ζοντο μὲν πρῶτον ἀλλήλους, καὶ κατὰ τὸν Θρᾴκιον νόμον
κέρατα οἴνου προὔπινον· παρῆν δὲ καὶ Μηδοσάδης τῷ
24 Σεύθῃ, ὅσπερ ἐπρέσβευεν αὐτῷ πάντοσε. Ἔπειτα δὲ
Ξενοφῶν ἤρχετο λέγειν· Ἔπεμψας πρὸς ἐμὲ, ὦ Σεύθη,
εἰς Χαλκηδόνα πρῶτον Μηδοσάδην τουτονὶ, δεόμενός μου,
συμπροθυμηθῆναι διαβῆναι τὸ στράτευμα ἐκ τῆς Ἀσίας,
καὶ ὑπισχνούμενος, εἰ ταῦτα πράξαιμι, εὖ ποιήσειν, ὡς
25 ἔφη Μηδοσάδης οὑτοσί. Ταῦτα εἰπὼν, ἐπήρετο τὸν Μη-
δοσάδην, εἰ ἀληθῆ ταῦτ᾽ εἶπεν. Ὁ δ᾽ ἔφη. Αὖθις
ἦλθε Μηδοσάδης οὗτος, ἐπεὶ ἐγὼ διέβην πάλιν ἐπὶ τὸ
στράτευμα ἐκ Παρίου, ὑπισχνούμενος, εἰ ἄγοιμι τὸ στρά-
τευμα πρὸς σὲ, τἄλλα τέ σοι φίλῳ χρήσεσθαι καὶ
ἀδελφῷ, καὶ τὰ ἐπὶ θαλάττῃ μοι χωρία, ὧν σὺ κρα-
26 τεῖς, ἔσεσθαι παρὰ σοῦ. Ἐπὶ τούτοις πάλιν ἐπήρετο
Μηδοσάδην, εἰ ἔλεγε ταῦτα. Ὁ δὲ συνέφη καὶ ταῦτα.
Ἴθι νῦν, ἔφη, ἀφήγησαι τούτῳ, τί σοι ἀπεκρινάμην ἐν
27 Χαλκηδόνι. Πρῶτον ἀπεκρίνω, ὅτι τὸ στράτευμα δια-
βήσοιτο εἰς Βυζάντιον, καὶ οὐδὲν τούτου ἕνεκα δέοι τελεῖν,
οὔτε σοὶ, οὔτ᾽ ἄλλῳ· αὐτός τ᾽, ἐπεὶ διαβαίης, ἀπιέναι
28 ἔφησθα· καὶ ἐγένετο οὕτως, ὥσπερ σὺ ἔλεγες. Τί γὰρ

Θυνοὶ] Liber Brodæi, margo Steph. Paris. Eton. Βιθυνοὶ habent.

23. ἐκέλευεν] Castal. ἐκέλευσεν, Eton. ἐκέλευσαν. Deinde ἐγγὺς pro ἔνδον dat Eton.

προὔπινον] Athenæus xi. c. 7. p. 476. ex h. l. προὔτεινον habet, nec varietatis quicquam ex libris scriptis annotavit nuperus Editor.

24. ὑπισχνούμενος] Eton. μοι addit. Cf. de re vii. 1, 5.

25. ταῦτ᾽ εἶπεν] Eton. ταῦτ᾽ εἴη. Deinde αὖτις Guelf. De re cf. sect. 10.

σοι φίλῳ] Paris. σὲ φίλῳ μοι, Eton. φίλῳ μοι. Deinde χρήσασθαι Edd. vett. Guelf.

καὶ τὰ ἐπὶ θαλάττῃ] Margo Steph. Paris. Eton. καὶ ὅσα παρὰ θαλάττῃ.

ἔλεγον, ἔφη, ὅτε κατὰ Σηλυβρίαν ἀφίκου; Οὐκ ἔφη-
σθα οἷόν τ' εἶναι, ἀλλ' εἰς Πέρινθον ἐλθόντας διαβαί-
νειν εἰς τὴν Ἀσίαν. Νῦν τοίνυν, ἔφη ὁ Ξενοφῶν, πάρ- 29
ειμι καὶ ἐγὼ καὶ οὗτος Φρυνίσκος, εἷς τῶν στρατηγῶν,
καὶ Πολυκράτης οὗτος, εἷς τῶν λοχαγῶν· καὶ ἔξω εἰσὶν
ἀπὸ τῶν στρατηγῶν ὁ πιστότατος ἑκάστῳ, πλὴν Νέωνος
τοῦ Λακωνικοῦ. Εἰ οὖν βούλει πιστοτέραν εἶναι τὴν πρᾶ- 30
ξιν, καὶ ἐκείνους κάλεσον. Τὰ δὲ ὅπλα σὺ ἐλθὼν εἰπὲ,
ὦ Πολύκρατες, ὅτι ἐγὼ κελεύω καταλιπεῖν· καὶ αὐτὸς
ἐκεῖ καταλιπὼν τὴν μάχαιραν εἴσιθι.

Ἀκούσας ταῦτα ὁ Σεύθης εἶπεν, ὅτι οὐδενὶ ἂν ἀπιστή- 31
σειεν Ἀθηναίων· καὶ γὰρ ὅτι συγγενεῖς εἶεν εἰδέναι, καὶ
φίλους εὔνους ἔφη νομίζειν. Μετὰ ταῦτα δ' ἐπεὶ εἰσῆλ-
θον, οὓς ἔδει, πρῶτον Ξενοφῶν ἐπήρετο Σεύθην, τί δέοιτο
χρῆσθαι τῇ στρατιᾷ. Ὁ δ' εἶπεν ὧδε· Μαισάδης ἦν 32
μοι πατήρ· ἐκείνου δ' ἦν ἀρχὴ Μελανδέπται, καὶ Θυνοὶ,
καὶ Τρανίψαι. Ἐκ ταύτης οὖν τῆς χώρας, ἐπεὶ τὰ

28. Σηλυβρίαν] Ita Edd. vett. Guelf. Eton. Σηλυμβρίαν cum aliis margo Villois. *Silyvrian* Turcis hodieque audire testatur Leonclavius. De nominis etymologia tradit Strabo vii. p. 437. Sieb. quæ priorem scripturam firmare videntur. Συλαβρίαν est in Eton.

29. Νῦν τοίνυν] Cum mutato consilio in Asiam non trajecerit, sed ad Seuthen se converterit, causam redditam Seuthæ expectabat lector. Alioquin superiora supervacanea videri posse recte monet Weiske, qui quædam ante hanc sectionem excidisse suspicabatur.

30. σὺ ἐλθὼν] Edd. vett. Guelf. συνελθών. Sequentia verba καταλιπεῖν· καὶ αὐτὸς ἐκεῖ omisit Eton.

31. συγγενεῖς] Cognationem a Tereo, diverso a Tere, qui repetunt, eos refellit Thucydides ii. 29. a Sadoco Sitalcæ filio, civitate donato ab Atheniensibus (cf. Schol. Aristoph. ad Acharn. 145.) repetit Valckenaer ad Herodoti iv. 80. Ceterum γὰρ et paulo post καὶ ante φίλους omittit Eton.

τί οἴοιτο] Margo Steph. Paris. ὅτι δέοιτο, Eton. τί δέοιτο. quod posterius suadente Stephano recepit Hutchinson et Weiske. Hic etiam vulgatum οἴοιτο insolentius ait dictum pro ἀξιοῖ, βούλοιτο, et rectius fuisse χρήσεσθαι. Ita infra vii. 4, 19. ἔλεγεν, ὅτι οἴοιτο τεθνεῶτας πολλοὺς εὑρήσειν. ubi est de expectatione. Igitur Weiskium sequor. Similis videtur esse locus de Republ. Atheniensium i. sect. 3. τούτων μὲν τῶν ἀρχῶν οὐδὲν δεῖται ὁ δῆμος μετεῖναι sc. αὐτῷ.

32. Μελανδέπται] Margo Steph. Paris. Eton. Μελανδῖται, quod probat Holstein ad Stephani Byz. Μελάνδια, χώρα Σιθωνίας, ut est in libris scriptis pro Σικυωνίας.

Τρανίψαι] Ita Edd. vett. Guelf. Θρανίψαι Steph. Τρανίξαι margo Steph. Paris. Eton. Apud Herodotum iv. 93. inter populos Thraciæ memoran-

Ὀδρυσῶν πράγματα ἐνόσησεν, ἐκπεσὼν ὁ πατὴρ, αὐτὸς
μὲν θνήσκει νόσῳ· ἐγὼ δ᾽ ἐξετράφην ὀρφανὸς παρὰ Μη-
33 δόκῳ τῷ νῦν βασιλεῖ. Ἐπεὶ δὲ νεανίσκος ἐγενόμην, οὐκ
ἐδυνάμην ζῆν, εἰς ἀλλοτρίαν τράπεζαν ἀποβλέπων· καὶ
ἐκαθεζόμην ἐνδίφριος αὐτῷ ἱκέτης, δοῦναί μοι, ὁπόσους
δυνατὸς εἴη, ἄνδρας, ὅπως καὶ τοὺς ἐκβαλόντας ἡμᾶς, εἴ
τι δυναίμην, κακὸν ποιοίην, καὶ ζώην, μὴ εἰς τὴν ἐκείνου
34 τράπεζαν ἀποβλέπων, ὥσπερ κύων. Ἐκ τούτου μοι δί-
δωσι τοὺς ἄνδρας καὶ τοὺς ἵππους, οὓς ὑμεῖς ὄψεσθε,
ἐπειδὰν ἡμέρα γένηται. Καὶ νῦν ἐγὼ ζῶ τούτους ἔχων,
ληϊζόμενος τὴν ἐμαυτοῦ πατρῴαν χώραν. Εἰ δέ μοι
ὑμεῖς παραγένοισθε, οἶμαι ἂν σὺν τοῖς θεοῖς ῥᾳδίως

tur Νιψαῖοι, quos comparavit Zeune. Quidni Hesychii Τρανιψοὶ, ἔθνος Θρᾴκιον?

Ὀδρυσῶν] Ita vulgatum Ὀδρυσσῶν ex consensu scripturæ apud reliquos auctores græcos correxisse se ait Zeune.

θνήσκει] Guelf. Paris. ἀποθνήσκει habet.

Μηδόκῳ] Leonclavius scripturam nominis mutari voluit ex Histor. Gr. iv. 8, 26. ubi est de Thrasybulo Atheniensium duce: καταμαθὼν στασιάζοντας Ἀμάδοκόν τε τὸν Ὀδρυσῶν βασιλέα καὶ Σεύθην, τὸν ἐπὶ θαλάττῃ ἄρχοντα, ἀλλήλοις μὲν διήλλαξεν αὐτοὺς, Ἀθηναίοις δὲ φίλους καὶ συμμάχους ἐποίησε. Isocrates ad Philippum p. 118. ed. Lang. οἵανπερ εἴχομεν Μηδόκῳ τῷ παλαιῷ (εὔνοιαν) διὰ τοὺς ἐν Χεῤῥονήσῳ γεωργοῦντας. ubi Maussacus ex Harpocratione Ἀμαδόκῳ scribi voluit. Ejus imperium pertinuit usque ad Chersonesum Thracicam. Aristoteles Politic. v. 10. p. 465. Victorii, Seuthen Thracem insidiantem Amadoco nominat Σεύθης ὁ Θρᾷξ Ἀμαδόκῳ στρατηγὸς ὤν. Diodorus xiii. 105. Μήδοκον καὶ Σεύθην τοὺς τῶν Θρᾳκῶν βασιλέας Alcibiadi amicos nominat, et xiv. 94. similiter, ubi Thrasybuli res gestas narrat. Wesseling Amadocum, antiquissimum Thracem, ex Pausaniæ i. c. 4. comparat; sed Pausanias Ἀμάδοκον eum ex Hyperboreis advenisse refert; contra libri x. c. 23. Λαοδόκος idem vocatur. Licebit mihi comparare Ἀμαδόκους montes et populos Thraciæ apud Ptolemæum Geographum, quos ad Volhiniæ australis partem orientalem refert Gatterer.

33. ἐνδίφριος] Juntina, Paris. Eton. ἐν δίφροις, Aldina, Steph. Guelf. vulgatam habent, quæ sine varietate redit sect. 38. Capitis 3. sect. 29. ὡς τιμώμενος ἐν τῷ πλησιαιτάτῳ δίφρῳ Σεύθῃ καθήμενος. Thraces cœnæ assidebant, non accumbebant græco more. Weiske ita ad h. l. *Si sanus est locus, vis verborum videtur esse: non amplius cum eo cœnabam, ut alienæ mensæ quotidianus assecla, sed ut homo, qui aliunde propter calamitatem supplex (nuper admodum) accessisset, petens* &c. Aliam viam ingressus Halbkart vertit h. l. *und ich bat daher taglich über der Tafel den Konig.* At ita adjungi debuisse videtur adverbium aliquod, veluti ἐνδίφριος ἀεὶ αὐτῷ ἱκέτης.

δυνατὸς] Eton. δυνατόν. deinde ποιοίμην Edd. vett. Guelf.

ζώην, μὴ] Transposita verba esse, cum deberent μὴ ζώην esse, monet Zeune. Sequentia ὥσπερ κύων omittunt Paris. Eton.

ἀπολαβεῖν τὴν ἀρχήν. Ταῦτ᾽ ἐστὶν, ἃ ἐγὼ ὑμῶν δέομαι.

Τί οὖν ἂν, ἔφη ὁ Ξενοφῶν, σὺ δύναιο, εἰ ἔλθοιμεν, τῇ 35
τε στρατιᾷ διδόναι καὶ τοῖς λοχαγοῖς καὶ τοῖς στρατηγοῖς, λέξον· ἵνα οὗτοι ἀπαγγείλωσιν. Ὁ δὲ ὑπέσχετο 36
τῷ μὲν στρατιώτῃ Κυζικηνὸν, τῷ δὲ λοχαγῷ διμοιρίαν, τῷ δὲ στρατηγῷ τετραμοιρίαν· καὶ γῆν, ὁπόσην ἂν βούλωνται, καὶ ζεύγη, καὶ χωρίον ἐπὶ θαλάττῃ τετειχισμένον. Ἂν δ᾽, ἔφη ὁ Ξενοφῶν, ταῦτα πειρώμενοι μὴ δια- 37
πράξωμεν, ἀλλά τις φόβος ὑπὸ Λακεδαιμονίων ᾖ, δέξῃ εἰς τὴν σαυτοῦ, ἄν τις βούληται ἀπιέναι πρός σε; Ὁ δὲ 38
εἶπε· Καὶ ἀδελφούς γε ποιήσομαι, καὶ ἐνδιφρίους, καὶ κοινωνοὺς ἁπάντων, ὧν ἂν δυνώμεθα κτήσασθαι. Σοὶ δ᾽, ὦ Ξενοφῶν, καὶ θυγατέρα δώσω, καὶ εἴ τις σοί ἐστι θυγάτηρ, ὠνήσομαι Θρακίῳ νόμῳ· καὶ Βισάνθην οἴκησιν δώσω, ὅπερ ἐμοὶ κάλλιστον χωρίον ἐστὶ τῶν ἐπὶ θαλάττῃ.

CAP. III.

ΑΚΟΥΣΑΝΤΕΣ ταῦτα, καὶ δεξιὰς δόντες καὶ λαβόντες, ἀπήλαυνον· καὶ πρὸ ἡμέρας ἐγένοντο ἐπὶ τῷ στρατοπέδῳ, καὶ ἀπήγγειλαν ἕκαστοι τοῖς πέμψασιν.

34. ὑμῶν δέομαι] Pronomen deest in libro Eton.

35. ἀπαγγείλωσιν] Vitium Leoncl. ἐπαγγ. transiit in Welsianam.

37. πειρώμενοι—διαπράξωμεν] Ita ex margine Steph. Paris. Eton. vulgatum πειρώμενος—διαπράξωμαι correxit Zeune.

Λακεδαιμονίων] Paris. Eton. alienos Macedonas nominant, Μακεδόνων scribentes. Deinde παρὰ σὲ Paris. habet.

38. κτήσασθαι] Eton. κτᾶσθαι.

ὠνήσομαι] Herodotus de Thracibus v. 6. ὠνέονται τὰς γυναῖκας παρὰ τῶν γονέων χρημάτων μεγάλων. Eundem morem olim populos orientis habuisse, nec non Græcos antiquos, ex Aristotelis Polit. ii. 8. monet Weiske, ubi est: τοὺς γὰρ ἀρχαίους νόμους λίαν ἁπλοῦς εἶναι καὶ βαρβαρικούς· ἐσιδηροφοροῦντό τε γὰρ οἱ Ἕλληνες, καὶ τὰς γυναῖκας ἐωνοῦντο παρ᾽ ἀλλήλων. Græci antiqui ἕδνα vocabant pretium, quo sponsus filiam redemtam a parentibus acceperat.

1. ἐγένοντο] Omisit Juntina cum Guelf. παρεγένοντο supplet margo Castal. Sequens ἕκαστοι in ἕκαστα mutatum voluit Porson.

2 Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, ὁ μὲν Ἀρίσταρχος πάλιν ἐκάλει τοὺς στρατηγοὺς καὶ λοχαγούς· τοῖς δ' ἔδοξε τὴν μὲν πρὸς Ἀρίσταρχον ὁδὸν ἐᾶσαι, τὸ δὲ στράτευμα συγκαλέσαι. Καὶ συνῆλθον πάντες, πλὴν οἱ Νέωνος· οὗτοι δὲ
3 ἀπεῖχον ὡς δέκα στάδια. Ἐπεὶ δὲ συνῆλθον, ἀναστὰς Ξενοφῶν εἶπε τάδε· Ἄνδρες, διαπλεῖν μὲν, ἔνθα βουλόμεθα, Ἀρίσταρχος ὅδε, τριήρεις ἔχων, κωλύει· ὥστ' εἰς πλοῖα οὐκ ἀσφαλὲς ἐμβαίνειν· οὗτος δὲ ὁ αὐτὸς εἰς Χεῤῥόνησον κελεύει βίᾳ διὰ τοῦ ἱεροῦ ὄρους πορεύεσθαι· ἢν δὲ κρατήσαντες τούτου, ἐκεῖσε ἔλθωμεν, οὔτε πωλήσειν ἔτι φησὶν ὑμᾶς, ὥσπερ ἐν Βυζαντίῳ, οὔτε ἐξαπατήσεσθαι ἔτι ὑμᾶς, ἀλλὰ λήψεσθαι μισθὸν [μᾶλλον], οὔτε περιόψεσθαι ἔτι, ὥσπερ νυνὶ, ἐνδεομένους τῶν ἐπιτηδείων·
4 Οὗτος μὲν ταῦτα λέγει· Σεύθης δέ φησιν, ἂν πρὸς ἐκεῖνον ἴητε, εὖ ποιήσειν ὑμᾶς. Νῦν οὖν σκέψασθε, πότερον ἐνθάδε μένοντες τοῦτο βουλεύσεσθε, ἢ εἰς τὰ ἐπιτή-
5 δεια ἐπανελθόντες. Ἐμοὶ μὲν οὖν δοκεῖ, ἐπεὶ ἐνθάδε οὔτε ἀργύριον ἔχομεν, ὥστε ἀγοράζειν, οὔτε ἄνευ ἀργυρίου

2. καὶ λοχαγούς] Omittit hæc Eton. et sequens μὲν Juntina cum Guelf.

ἀπεῖχον] Ita margo Steph. Brodæi liber, Eton. Paris. προεῖχον Edd. vett. Guelf. Verum dedit Hutchinson primus.

3. ὅδε] Omittit Paris. Eton. recte puto. Gravitatem orationis eo augeri censebat Zeune.

οὗτος δὲ ὁ αὐτὸς] Articulum ὁ ex Edd. vett. Guelf. adjecit Zeune, quem cum Stephano omisit Weiske. Cyrop. vi. 2, 8. locum comparavit Zeune, ubi est: καὶ τὰ Μηδικὰ δὲ ἅρματα—εἰς τὸν αὐτὸν τρόπον τοῦτον μετασκευάσαι. sed ibi Edd. pr. omittunt τοῦτον. Similis est locus Memorab. iv. 4, 6. ἔτι γὰρ σὺ ἐκεῖνα τὰ αὐτὰ λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα; Dicitur tamen sæpiuscule a Platone αὐτὸ τοῦτο, ἐπὶ αὐτὸ τοῦτο. Sed οὗτος αὐτὸς ποιεῖ est *hic ipse facit*, οὗτος ὁ αὐτὸς ποιεῖ, *hic idem facit*. Similiter ἐγὼ αὐτός εἰμι, *ego ipse sum*, ἐγὼ ὁ αὐτός εἰμι, *ego idem sum*.

Χεῤῥόνησον] Guelf. Χεῤῥόννησον dat. Deinde bis ἡμᾶς habet Eton.

ὥσπερ ἐν Βυζαντίῳ] Edd. pleræque ante Hutchinsonianam ὥσπερ ὁ ἐν Β. habent cum Guelf. Sed idem est Aristarchus, de quo cap 2, 6.

λήψεσθαι] Eton. λήψεσθε. Sequens μᾶλλον seclusi, quoniam in Eton. et Paris. omissum est, et ab h. l. alienum videtur.

4. ἴητε] Vulgatum ἦτε ex Eton. et Paris. correxit Hutchinson.

τοῦτο βουλεύσεσθε] Juntinæ τοῦτο Castalio mutavit in περὶ τούτου. Male Leoncl. βουλεύεσθε dedit.

εἰς τὰ ἐπιτήδεια ἐπανελθόντες] Weiske interpretatur: *tum demum cum veneritis ad loca, κώμας, ὅθεν οἱ ἥττους ἐῶσι λαμβάνειν τὰ ἐπιτήδεια*, sect. sequentis.

ἐῶσι λαμβάνειν τὰ ἐπιτήδεια, ἐπανελθόντας εἰς τὰς
κώμας, ὅθεν οἱ ἧττους ἐῶσι λαμβάνειν, ἐκεῖ ἔχοντας τὰ
ἐπιτήδεια, καὶ ἀκούοντας, ὅ τι τις ὑμῶν δεῖται, αἱρεῖ-
σθαι, ὅ τι ἂν ὑμῖν δοκῇ κράτιστον εἶναι. Καὶ ὅτῳ, ἔφη, 6
ταῦτα δοκεῖ, ἀράτω τὴν χεῖρα. Ἀνέτειναν πάντες.
Ἀπιόντες τοίνυν, ἔφη, συσκευάζεσθε, καὶ ἐπειδὰν παρ-
αγγείλῃ τις, ἕπεσθε τῷ ἡγουμένῳ.

Μετὰ τοῦτο Ξενοφῶν μὲν ἡγεῖτο, οἱ δ᾽ εἵποντο. Νέων 7
δὲ καὶ παρὰ Ἀριστάρχου ἄλλοι ἔπειθον ἀποτρέπεσθαι·
οἱ δὲ οὐχ ὑπήκουον. Ἐπεὶ δὲ ὅσον τριάκοντα σταδίους
προεληλύθεσαν, ἀπαντᾷ Σεύθης. Καὶ ὁ Ξενοφῶν ἰδὼν
αὐτὸν, προσελάσαι ἐκέλευσεν, ὅπως ὅτι πλείστων ἀκουόν-
των εἴποι αὐτῷ, ἃ ἐδόκει συμφέρειν. Ἐπεὶ δὲ προσῆλ- 8
θεν, εἶπεν ὁ Ξενοφῶν· Ἡμεῖς πορευόμεθα, ὅπου μέλλει
τὸ στράτευμα ἕξειν τροφήν· ἐκεῖ δὲ ἀκούοντες καὶ σοῦ
καὶ τῶν τοῦ Λακωνικοῦ, αἱρησόμεθα, ἃ ἂν κράτιστα
δοκῇ εἶναι. Ἢν οὖν ἡμῖν ἡγήσῃ, ὅπου πλεῖστά ἐστιν
ἐπιτήδεια, ὑπό σου νομιοῦμεν ἐξενίσθαι. Καὶ ὁ Σεύθης 9

5. οἱ ἧττους] Incolæ barbari vicorum a nobis victi vel inferiores numero.

ὅ τι τις ὑμῶν δεῖται] *Ad quam rem uterque, Seuthes et Aristarchus, opera vestra uti velit.* Ita Zeune. rectius quam Weiske, qui germanice vertit: *was man von euch begehrt.* Cyrop. i. 4, 1. εἴ τι τοῦ βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον Κύρου δεῖσθαι, διαπράξασθαι σφίσιν. Ibid. ii. 1, 3. ἀτὰρ δέῃ τι αὐτῶν; viii. 3, 19. δεόμενοι Κύρου ἄλλος ἄλλης πράξεως.

6. ὅτῳ, ἔφη] Ita cum Paris. Eton. Hutchinson. Antea erat ὅτῳ ὑμῖν, quod Muretus in ὅτῳ ὑμῶν mutatum voluit.

7. Μετὰ τοῦτο] Paris. μετὰ ταῦτα. Deinceps ἐπιτρέπεσθαι habet Juntina.

τριάκοντα] Juntina, Guelf. πεντήκοντα. deinde προελύθεσαν Aldina.

προσελάσαι] Hutchinson ad Thraces, et sequens προσῆλθεν ad Xenophontem refert; contra alii utrumque verbum ad Seuthen referunt, quod facere suadet verbum προσελάσαι, de equitibus usitatum, quibus carebat exercitus Græcorum.

συμφέρειν] Weiske intelligendum censet: πλείστους ἀκούειν. Ad πλείστων ex libro Eton. ὅτι adjunxi.

8. προσῆλθεν] Edd. vett. Guelf. προῆλθεν.

τῶν τοῦ Λακωνικοῦ] Sunt qui antea dicebantur παρ᾽ Ἀριστάρχου ἄλλοι.

δοκῇ εἶναι] Ita Paris. quod cum Porsono prætuli vulgato δοκοίη. Eton. habet δοκεῖ. Cf. sect. 5.

ὑπό σου] Castalio ἀπό σου edidit. Sequens ἐξενίσθαι cum Edd. vett. Guelf. Eton. prætulit Zeune cum V. D. in Observ. Miscell. Belgicis vol. iii. p. 427. In Steph. et margine Villois. est ξενίζεσθαι.

εἶπεν· Ἀλλὰ οἶδα κώμας πολλὰς ἀθρόας, καὶ πάντα ἐχούσας τὰ ἐπιτήδεια, ἀπεχούσας ἡμῶν, ὅσον διελθόντες ἂν ἡδέως ἀριστῶμεν. Ἡγοῦ τοίνυν, ἔφη ὁ Ξενοφῶν.
10 Ἐπεὶ δὲ ἀφίκοντο εἰς αὐτὰς τῆς δείλης, συνῆλθον οἱ στρατιῶται, καὶ εἶπε Σεύθης τοιάδε· Ἐγὼ, ὦ ἄνδρες, δέομαι ὑμῶν στρατεύεσθαι σὺν ἐμοί· καὶ ὑπισχνοῦμαι ὑμῖν τοῦ μηνὸς δώσειν Κυζικηνὸν, λοχαγοῖς τε καὶ στρατηγοῖς τὰ νομιζόμενα· ἔξω δὲ τούτων, τὸν ἄξιον τιμήσω· σῖτα δὲ καὶ ποτὰ, ὥσπερ καὶ νῦν, ἐκ τῆς χώρας λαμβάνοντες ἕξετε· ὁπόσα δὲ ἂν ἁλίσκηται, ἀξιώσω αὐτὸς ἔχειν, ἵνα ταῦτα διατιθέμενος ὑμῖν τὸν μισθὸν πορίζω.
11 Καὶ τὰ μὲν φεύγοντα καὶ ἀποδιδράσκοντα ἡμεῖς ἱκανοὶ ἐσόμεθα διώκειν καὶ μαστεύειν· ἢν δέ τις ἀνθίστηται,
12 σὺν ὑμῖν πειρασόμεθα χειροῦσθαι. Ἐπήρετο Ξενοφῶν· Πόσον δὲ ἀπὸ θαλάττης ἀξιώσεις συνέπεσθαί σοι τὸ στράτευμα; Ὁ δ᾽ ἀπεκρίνατο· Οὐδαμῆ πλεῖον ἑπτὰ ἡμερῶν, μεῖον δὲ πολλαχῆ.

13 Μετὰ ταῦτα ἐδίδοτο λέγειν τῷ βουλομένῳ· καὶ ἔλεγον πολλοὶ κατὰ ταὐτὰ, ὅτι παντὸς ἄξια λέγει Σεύθης· χειμὼν γὰρ εἴη, καὶ οὔτε οἴκαδε ἀποπλεῖν τῷ βουλομένῳ δυνατὸν εἴη, διαγενέσθαι τε ἐν φιλίᾳ οὐχ οἷόν τ᾽ εἴη, εἰ δέοι ὠνουμένους ζῆν· ἐν δὲ τῇ πολεμίᾳ διατρίβειν καὶ τρέφεσθαι ἀσφαλέστερον μετὰ Σεύθου, ἢ μόνους, ὄντων ἀγαθῶν τοσούτων· εἰ δὲ μισθὸν προσλήψοιντο, εὕρημα

9. ὅσον διελθόντες] Edd. vett. ὅσων. Eton. ἀπελθόντες ἀριστώητε. Hutchinson putabat recepto ἀριστώητε scribi etiam debere ὑμῖν pro ἡμῶν.

10. τοῦ μηνὸς δώσειν] Margo Steph. τοῖς στρατιώταις δώσειν. Paris. δώσειν τοῖς στρατιώταις. Eton. τοῦ μηνὸς δώσειν τοῖς στρατιώταις. unde malim τοῦ μηνὸς δώσειν τοῖς μὲν στρατιώταις Κυζικηνὸν, λοχαγοῖς δὲ καὶ &c.

τὰ νομιζόμενα] Cf. cap. præced. sect. 36. infra 6, sect. 1.

ἁλίσκηται] Paris. Eton. ἁλίσκητε habent, et deinde αὐτὸν ἔχειν.

12. πλεῖον ἑπτὰ ἡμερῶν] Intellige ἢ ἑπτὰ—ὁδὸν, ut sect. 16.

13. Μετὰ ταῦτα] Steph. μετὰ δὲ ταῦτα edidit, ex libro Paris.

χειμὼν γὰρ εἴη] Eton. χειμὼν μὲν γάρ. non male. Latina ratio suadebat χειμῶνα γὰρ εἶναι.

τῷ βουλομένῳ] Eton. τῷ τοῦτο βουλομένῳ. deinde δέοι δὲ pro εἰ δέοι Edd. vett. Guelf. Paulo antea οἷόν τε ἦν Eton.

ἐδόκει εἶναι. Ἐπὶ τούτοις εἶπε Ξενοφῶν· Εἴ τις ἀντι- 14
λέγει, λεγέτω· εἰ δὲ μὴ, ἐπιψηφίζετε ταῦτα. Ἐπεὶ δὲ
οὐδεὶς ἀντέλεγεν, ἐπεψήφισαν, καὶ ἔδοξε ταῦτα. Εὐθὺς
δὲ Σεύθῃ εἶπεν, ὅτι συστρατεύσοιντο αὐτῷ.
Μετὰ τοῦτο οἱ μὲν ἄλλοι κατὰ τάξεις ἐσκήνησαν· 15
στρατηγοὺς δὲ καὶ λοχαγοὺς ἐπὶ δεῖπνον Σεύθης ἐκά-
λεσε, πλησίον κώμην ἔχων. Ἐπεὶ δ' ἐπὶ θύραις ἦσαν, 16
ὡς ἐπὶ δεῖπνον ἰόντες, ἦν τις Ἡρακλείδης Μαρωνείτης·
οὗτος προσιὼν ἑνὶ ἑκάστῳ, οὕστινας ᾤετο ἔχειν τι δοῦναι
Σεύθῃ, πρῶτον μὲν πρὸς Παριανούς τινας, (οἳ παρῆσαν
φιλίαν διαπραξόμενοι πρὸς Μήδοκον, τὸν Ὀδρυσῶν βα-
σιλέα, καὶ δῶρα ἄγοντες αὐτῷ τε καὶ τῇ γυναικὶ) ἔλε-
γεν, ὅτι Μήδοκος μὲν ἄνω εἴη δώδεκα ἡμερῶν ἀπὸ θα-
λάττης ὁδόν· Σεύθης δὲ, ἐπειδὴ τὸ στράτευμα τοῦτο εἴλη-
φεν, ἄρχων ἔσοιτο ἐπὶ θαλάττῃ. Γείτων οὖν ὤν, ἱκανώ- 17

14. ἐπιψηφίζετε—ἐπεψήφισαν] Ita libri omnes editi et scripti; nisi quod Eton. priore loco ἐπιψηφιζέσθω habet, unde Hutchinson ἐπιψηφίζεσθε—ἐπεψηφίσαντο scripsit. Idem sensit Kuster de Verbis Mediis ii. 9. Infra sect. 14. de eadem re est: πάντες δ' ἐπεψηφίσασθε ταῦτα; sed ibi margo Steph. cum libro Paris. ἐψηφίσασθε habet. Mihi scriptura Eton. placet ἐπιψηφιζέτω; ita enim scribendum puto, intellecto τις; ut supra vi. 1, 25. εἴ τις ἐπιψηφίζοι. Index Zeunianus ἐπιψηφίζεσθαι interpretatur *suffragiis comprobare*. Sed hæc notio non convenit huic loco; sequitur enim καὶ ἔδοξε ταῦτα. Similis est ratio locorum in Hellenicis, i. 1, 34. καὶ ἐπεψηφίσαντο ὁπλίτας τε αὐτὸν καταλέξασθαι. et iv. 2, 4. πάντες δ' ἐπεψηφίσαντο βοηθεῖν. ubi de populo in suffragia misso nihil antea dictum erat. Quare etiam ibi recte margo Steph. ἐψηφίσαντο scriptum habet. Equidem non negaverim extitisse olim verbum ἐπιψηφίζεσθαι, sed multum diversa significatione, et quæ huic loco non convenit. Igitur librorum omnium scripturam restitui, qua significatur, Xenophontem noluisse ipsum exercitum in suffragia mittere, sed alios id facere jussisse, ut omnem rei culpam a se alienaret, si quid in posterum minus placuisset Græcis.

Σεύθῃ] Edd. vett. Guelf. Σεύθης habent.

15. ἐσκήνησαν] De cœnatione interpretatur recte Larcherus; ita διασκηνοῦν, *a cœna abire*, est in Hellenicis.

16. ἰόντες] Margo Steph. Paris. Eton. παριόντες dant. Deinde Eton. Μαρωνείδης habet. Postea Σεύθει habet ex h. l. Demetrius de Eloc. sect. 155. denique Παρειανοὺς Edd. vett. cum Guelf.

διαπραξόμενοι] Edd. vett. Guelf. διαπραξάμενοι. Deinde τὸν pro τῶν Ὀδρυσῶν dedit Hutchinson ex Guelf. Eton. Paris. Ἀδρυσίων est in Paris. denique ἦγον διδόντες Edd. vett. Guelf. ἔλεγον Eton. idem ἐπεὶ τὸ στ.

ἄρχων ἔσοιτο ἐπὶ θαλάττῃ] Mihi præsens ἄρχων εἴη placet, quod magis convenit cum ἐπειδὴ εἴληφεν, et vim majorem habebat apud legatos Parianos. Deinde τῶν ἐπὶ θαλάττῃ scribendum putabam, sed locus Hel-

τατος ἔσται ὑμᾶς καὶ εὖ καὶ κακῶς ποιεῖν· ἢν οὖν σω-
φρονῆτε, τούτῳ δώσετε, ὅ τι ἄγετε· καὶ ἄμεινον ὑμῖν
διακείσεται, ἢ ἐὰν Μηδόκῳ τῷ πρόσω οἰκοῦντι δῶτε.
18 Τούτους μὲν οὕτως ἔπειθεν. Αὖθις δὲ Τιμασίωνι τῷ
Δαρδανεῖ προσελθὼν, ἐπεὶ ἤκουεν αὐτῷ εἶναι καὶ ἐκπώ-
ματα καὶ τάπιδας βαρβαρικὰς, ἔλεγεν, ὅτι νομίζοιτο,
ὁπότε ἐπὶ δεῖπνον καλέσαι Σεύθης, δωρεῖσθαι αὐτῷ τοὺς
κληθέντας· οὗτος δ', ἢν μέγας ἐνθάδε γένηται, ἱκανὸς
ἔσται σε καὶ οἴκαδε καταγαγεῖν, καὶ ἐνθάδε πλούσιον
19 ποιῆσαι. Τοιαῦτα προὐμνᾶτο, ἑκάστῳ προσιών. Προσ-
ελθὼν δὲ καὶ Ξενοφῶντι, ἔλεγε· Σὺ καὶ πόλεως μεγί-
στης εἶ, καὶ παρὰ Σεύθῃ τὸ σὸν ὄνομα μέγιστόν ἐστι·
καὶ ἐν τῇδε τῇ χώρᾳ ἴσως ἀξιώσεις καὶ τείχη λαμβά-
νειν, ὥσπερ καὶ ἄλλοι τῶν ὑμετέρων ἔλαβον, καὶ χώραν·
ἄξιον οὖν σοι καὶ μεγαλοπρεπέστατα τιμῆσαι Σεύθην.
20 Εὔνους δέ σοι ὢν παραινῶ· εὖ οἶδα γὰρ, ὅτι, ὅσῳ ἂν
μείζω τούτων δωρήσῃ, τοσούτῳ μείζω ὑπὸ τούτου ἀγαθὰ
πείσῃ. Ἀκούων ταῦτα ὁ Ξενοφῶν, ἠπόρει· οὐ γὰρ δια-
βεβήκει ἔχων ἐκ Παρίου, εἰ μὴ παῖδα καὶ ὅσον ἐφόδιον.
21 Ἐπεὶ δὲ εἰσῆλθον ἐπὶ τὸ δεῖπνον τῶν τε Θρᾳκῶν οἱ

lenicorum iv. 8, 26. Σεύθην, τὸν ἐπὶ θαλάττῃ ἄρχοντα, me retinuit. Ceterum opportune posuit Hutchinson locum Thucydidis ii. 97. de Thracibus: κατεστήσαντο γὰρ τοὐναντίον τῆς Περσῶν βασιλείας τὸν νόμον, ὄντα μὲν καὶ τοῖς ἄλλοις Θρᾳξὶ, λαμβάνειν μᾶλλον ἢ διδόναι. καὶ αἴσχιον ἦν αἰτηθέντα μὴ δοῦναι ἢ αἰτήσαντα μὴ τυχεῖν· ὅμως δὲ κατὰ τὸ δύνασθαι ἐπιπλέον αὐτῷ ἐχρήσαντο. οὐ γὰρ ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα.

17. ὅ τι ἄγετε] Paris. Eton. ὅ τι ἂν αἰτῆται. sed sequentia non consentiunt. Deinceps διακείσετε Juntina cum Eton. Equidem κείσεται præfero, quod dictum interpretor, ut latine beneficium *bene collocari* dicitur. Cf. ad ii. 5, 21.

πρόσω οἰκοῦντι] Brodæi conjecturam προσοικοῦντι merito repudiat Zeune.

οὕτως ἔπειθεν] Eton. οὖν ἔπειθε habet.

18. τάπιδας] Guelf. ταπίδας. Deinde vulgatum οὑτοσὶ δ' ἂν ex Eton. correxi. Ex eodem Eton. vulgatum κατάγειν correxerat Zeune.

19. καὶ χώραν] Margo Steph. χώρας. Ceterum in verbis ἄλλοι τῶν ὑμετέρων respicitur ad Alcibiadem, de quo Nepos c. 7. Cf. Nostri Hellenica ii. 1, 25. et ibi annotata. Ibi similiter Alcibiadis τείχη memorantur in ora Thraciæ.

21. Ἐπεὶ δὲ εἰσῆλθον] Athenæus, qui h. l. excerpsit iv. p. 151. habet ἐπειδὴ δὲ εἰσῆλθον ἐπὶ τὸ δεῖπνον πάντες, τὸ δὲ δεῖπνον ἦν καθημένοις κύκλῳ.

κράτιστοι τῶν τότε παρόντων, καὶ οἱ στρατηγοὶ, καὶ οἱ λο-
χαγοὶ τῶν Ἑλλήνων, καὶ εἴ τις πρεσβεία παρῆν ἀπὸ πό-
λεως, τὸ δεῖπνον μὲν ἦν καθημένοις κύκλῳ· ἔπειτα δὲ
τρίποδες εἰσηνέχθησαν πᾶσιν· οὗτοι δ᾽ ἦσαν κρεῶν με-
στοὶ νενεμημένων, καὶ ἄρτοι ζυμῖται μεγάλοι προσπε-
περονημένοι ἦσαν πρὸς τοῖς κρέασι. Μάλιστα δὲ αἱ 22
τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο· νόμος γὰρ ἦν.
Καὶ πρῶτος τοῦτο ἐποίει Σεύθης· ἀνελόμενος τοὺς παρα-
κειμένους αὑτῷ ἄρτους, διέκλα κατὰ μικρὸν, καὶ διερ-
ῥίπτει, οἷς αὐτῷ ἐδόκει· καὶ τὰ κρέα ὡσαύτως, ὅσον
μόνον γεύσασθαι ἑαυτῷ καταλιπών. Καὶ οἱ ἄλλοι δὲ 23
κατὰ ταὐτὰ ἐποίουν, καθ᾽ οὓς αἱ τράπεζαι ἔκειντο.
Ἀρκὰς δέ τις, Ἀρύστας ὄνομα, φαγεῖν δεινὸς, τὸ μὲν
διαῤῥιπτεῖν εἴα χαίρειν, λαβὼν δὲ εἰς τὴν χεῖρα ὅσον τρι-
χοίνικον ἄρτον, καὶ κρέα θέμενος ἐπὶ τὰ γόνατα, ἐδεί-
πνει. Κέρατα δ᾽ οἴνου περιέφερον, καὶ πάντες ἐδέχοντο· 24

τῶν τότε] Paris. et Eton. *τότε* omittit. Deinde *καὶ οἱ λοχαγοὶ* cum Stephano dedit Weiske, ubi articulum *οἱ* cum ceteris Edd. omiserat Zeune.

τρίποδες] *Mensæ tripedes*, ut *τράπεζαι* proprie *quadripedes mensæ*, *τετράπεζαι*, ut ex h. l. docet Athenæus ii. p. 49.

οὗτοι δ᾽ ὅσον εἴκοσι] Margo Steph. Paris. Eton. *οὗτοι δ᾽ ἦσαν κρεῶν* dederunt, quam scripturam recipiendam censui, quanquam Athenæus vulgatam repræsentet utroque loco. Falsam tamen eam esse arguit cum insolens usus *τοῦ ὅσον*, tum præcipue antecedens oratio *τρίποδες εἰσηνέχθησαν πᾶσιν.* ubi si numerum convivarum Xenophon edere voluisset, dicendum erat *εἰσηνέχθησαν ὡς* vel *εἰς εἴκοσι.*

ζυμῖται μεγάλοι] Paris. Eton. *ζυμῆτες.* Athenæi editio Veneta cum Codd. *ζύμητες*, Bas. *ζύμηται.* Formam *ζύμητες* suspicatur nuperus Editor Athenæi corruptam ex *ζυμήεντες*; Hesychium enim annotasse Athenis vocatum *ζυμήεντα*, qui alibi esset *ζυμίτης.* Etiam in Polluce vi. 32. et 72. Codices *ζυμῆτες* dant. Etymol. M. ex h. l. repetiit verba *οἷον ἄρτοι ζυμῆται οἱ μεγάλοι.*

πρὸς τοῖς] Præpositionem omisit Guelf.

22. *τοῦτο ἐποίει*] Quod statim narrabitur. *τοὺς παρ᾽ αὐτῷ κειμένους— κατὰ μικρὰ* habet Athenæus, quam scripturam equidem præfero.

διεῤῥίπτει] Edd. vett. Guelf. Eton. *ἐῤῥίπτει* habent cum Edd. Athenæi Basil. et Casaub. *διεῤῥίπτει* ex Veneta et Codd. restituit Schweighäuser.

κατὰ ταὐτὰ] Vulgatum *ταῦτα* recte corrigi jussit Hutchinson. *τὰ αὐτὰ* habet Athenæus. Deinceps *καθ᾽ οὓς καὶ αἱ τρ.* dant Codices Athenæi, quod probavit Editor.

Ἀρύστας] Ita margo Steph. Paris. Athenæi libri editi et scripti cum Eustathio ad Iliad. p. 591. ed. Basil. Vulgo erat *Ἄριστος.* Guelf. *Ἄρυστος* habet.

διαῤῥιπτεῖν] Vulgatum *διαῤῥίπτειν* ex Athenæo correxit Zeune, comparans Convivii locum ii. 8. Deinceps *τριχύνικον* habent Edd. vett. et Guelf.

ὁ δ' Ἀρύστας, ἐπεὶ παρ' αὐτὸν φέρων τὸ κερας ὁ οἰνο-
χόος ἧκεν, εἶπεν, ἰδὼν τὸν Ξενοφῶντα οὐκέτι δειπνοῦντα·
Ἐκείνῳ, ἔφη, δός· σχολάζει γὰρ ἤδη, ἐγὼ δ' οὔπω.
25 Ἀκούσας ὁ Σεύθης τὴν φωνὴν, ἠρώτα τὸν οἰνοχόον, τί λέ-
γοι. Ὁ δὲ οἰνοχόος εἶπεν· ἑλληνίζειν γὰρ ἠπίστατο.
Ἐνταῦθα μὲν δὴ γέλως ἐγένετο.
26 Ἐπεὶ δὲ προὐχώρει ὁ πότος, εἰσῆλθεν ἀνὴρ Θρᾷξ, ἵπ-
πον ἔχων λευκόν· καὶ λαβὼν κέρας μεστὸν, εἶπε· Προ-
πίνω σοι, ὦ Σεύθη, καὶ τὸν ἵππον τοῦτον δωροῦμαι, ἐφ'
οὗ καὶ διώκων, ὃν ἂν ἐθέλῃς, αἱρήσεις, καὶ ἀποχωρῶν οὐ
27 μὴ δείσῃς τὸν πολέμιον. Ἄλλος, παῖδα εἰσαγαγὼν,
οὕτως ἐδωρήσατο προπίνων, καὶ ἄλλος ἱμάτια τῇ γυ-
ναικί. Καὶ Τιμασίων προπίνων ἐδωρήσατο φιάλην τε
28 ἀργυρᾶν καὶ τάπιδα ἀξίαν δέκα μνῶν. Γνήσιππος δὲ

24. ἧκεν] Ita vulgatum ἦν, quod est etiam in libris Athenæi, ex libro Brodæi, Paris. Eton. correxit Zeune.

οὔπω] Eton. οὐδέπω. Idem mox verba τὸν οἰνοχόον omisit.

25. μὲν δὴ] Vulgatum μὲν ἤδη ex Veneta et Codd. Athenæi correxi. Eton. liber verba hæc ἐνταῦθα—ἐγένετο omisit.

26. Ἐπεὶ δὲ] Eton. ἐπειδή. Sequens εἶπε omittit Athenæus et post Σεύθη interponit ἔφη, quod equidem ex more Xenophonteo etiam insertum malim.

τοῦτον] Athenæi Veneta et Codd. omittunt.

27. εἰσαγαγὼν] Ita cum Athenæo margo Steph. et Paris. Simplex ἀγαγὼν dant Edd. vulgatæ.

προπίνων ἐδωρήσατο] Athenæi libri verbum alterum omittunt; Porson etiam prius deletum voluit.

φιάλην τε] Stephanus τε omisit, Edd. vett. Guelf. post Τιμασίων rejiciunt, cum Paris. libro et Athenæo huc reposuit Zeune et Porson, iterum omisit Weiske.

τάπιδα] Athenæi Editio Basil. et Casaub. τάπιδα, Veneta cum Codice A. κοπίδα habet, quod reposuit in Athenæo et hic etiam Xenophonti restitutum voluit nuperus Editor, cujus festinantis nimis imprudentiam etiam hoc argumento cognoscere licet. Supra enim sect. 18. memoratas non recordabatur τάπιδας βαρβαρικὰς Timasionis.

28. Γνήσιππος] Edd. vett. Γνήσιπος. Verba ἵνα κἀγὼ—τιμᾶν omisit Athenæus: eaque offenderunt etiam Weiskium, cui primum displicet τὸ ἵνα ἔχω, durum et fere Hebraicum. Sequi enim debere: ὥστε—ἕξω. Deinde quærit, unde exploratum illud Gnesippo fuerit, regem Thracum pauperibus in convivio munera dedisse? Postea Gnesippum ait sibi ipsum repugnare. Nam si honoris tantum causa regi donum offerebatur, licuisse illi vel aquam haustam manu Seuthæ offerre, ut ille Persa regi suo. Suspicabatur igitur vitium hæsisse in verbis, quæ sic corrigere tentabat: ὅτι κάλλιστος μὲν εἴη ἀρχαῖος νόμος, τοὺς ἔχοντας—τοῖς δὲ μὴ ἔχουσι δεῖ διδόναι τ. β. Ego quidem nec Hebraice scio, nec Hebraici quid saporis gustare potui. Hoc video, Gnesippum, cum mori Thracio satisfacere non posset, facete memorare legem antiquissimam, auctoritate morem Thracium antecedentem, quæ

τις Ἀθηναῖος ἀναστὰς εἶπεν, ὅτι ἀρχαῖος εἴη νόμος κάλ-
λιστος, τοὺς μὲν ἔχοντας διδόναι τῷ βασιλεῖ τιμῆς ἕνεκα·
τοῖς δὲ μὴ ἔχουσι διδόναι τὸν βασιλέα· ἵνα κἀγὼ, ἔφη,
σοὶ ἔχω δωρεῖσθαι καὶ τιμᾶν. Ὁ δὲ Ξενοφῶν ἠπορεῖτο, 29
ὅ τι ποιήσοι· καὶ γὰρ ἐτύγχανεν, ὡς τιμώμενος, ἐν τῷ
πλησιαιτάτῳ δίφρῳ Σεύθῃ καθήμενος. Ὁ δὲ Ἡρα-
κλείδης ἐκέλευσεν αὐτῷ τὸ κέρας ὀρέξαι τὸν οἰνοχόον.
Ὁ δὲ Ξενοφῶν (ἤδη γὰρ ὑποπεπωκὼς ἐτύγχανεν) ἀνέ-
στη, θαῤῥαλέως δεξάμενος τὸ κέρας, καὶ εἶπεν· Ἐγὼ δέ 30
σοι, ὦ Σεύθη, δίδωμι ἐμαυτὸν καὶ τοὺς ἐμοὺς τούτους
ἑταίρους, φίλους εἶναι πιστούς· καὶ οὐδένα ἄκοντα,
ἀλλὰ πάντας μᾶλλον ἔτι ἐμοῦ σοὶ βουλομένους φίλους
εἶναι. Καὶ νῦν πάρεισιν οὐδέν σε προσαιτοῦντες, ἀλλὰ 31
καὶ προϊέμενοι καὶ πονεῖν ὑπὲρ σοῦ καὶ προκινδυνεύειν
ἐθέλοντες· μεθ᾽ ὧν, ἂν οἱ θεοὶ θέλωσι, πολλὴν χώραν

præciperet, ut beatiores regi suo munus offerant, pauperioribus contra rex ipse munera donet. Deinde emendationes propositæ a viro docto minime mihi aptæ et ingenio vel dictioni Xenophontis convenire videntur: *ὥστε—ἔξω.—ὅτι κάλλιστος μὲν εἴη ἀρχαῖος νόμος.* Debebat enim esse *εἴη ὁ ἀρχαῖος νόμος.*

29. *ὅ τι ποιήσοι*] Margo Steph. Paris. Eton. *τί ποιήσοι.* Deinceps *πλησιωτάτῳ* Paris.

Σεύθῃ] Omissum in Edd. Guelf. nomen tanquam suspectum seclusit Zeune, omisit Weiske. Hic tamen ad vocabulum *πλησιαιτάτῳ* intelligendum censet *Σεύθῃ*, quod ait incommodo loco post *δίφρῳ* additum legi in Edd. elegantius vero abesse.

ὑποπεπωκὼς] Pessime Edd. vett. Guelf. *ὑποπεπτωκώς.* Cf. Leopardi Emendat. ix. 23.

θαῤῥαλέως] Athenæus *θαρσαλέως καὶ δεξάμενος τὸ κέρας εἶπε.* Idem sequens *δὲ* post *Ἐγὼ* omisit. Comparavit Hutchinson locum Diogenis ii. 34. ubi Æschines ad Socratem: *πένης εἰμὶ, καὶ ἄλλο μὲν οὐδὲν ἔχω, δίδωμι δέ σοι ἐμαυτόν.* Seneca de Benefic. i. c. 8. *Nihil, inquit, dignum te, quod dare tibi possim, invenio—Itaque dono tibi quod unum habeo, me ipsum.*

30. *φίλους εἶναι*] Eton. *φίλους σοι εἶναι.* Verba *ἀλλὰ πάντες—εἶναι* omisit Athenæus.

μᾶλλον ἔτι] Omissum vulgo et a Weiskio *ἔτι* ex margine Steph. Paris. Regio B. et Eton. addidit Zeune.

31. *οὐδέν σε*] Pronomen omisit Athenæus. Sequens vulgo *προσέμενοι* omisit, sed *βουλόμενοι* post *προκινδυνεύειν* collocatum habet. Liber Brodæi et Eton. *προϊέμενοι—προκινδυνεύειν ἐθέλοντες* habent: quam scripturam non modo elegantiorem et numerosiorem, sed veram etiam et necessariam esse censeo. Vitium vulgatæ arguit geminatum *καὶ* sine ulla efficaciæ accessione. Deinde verbum *προσαιτοῦντες* postulare videtur oppositum *προϊέμενοι*, *sua profundentes, impendentes in usum tuum.* Itaque vulgatum *προσέμενοι* correxit et *ἐθέλοντες* addidi post *προκινδυνεύειν.*

ἂν οἱ θεοὶ] Guelf. *ἐὰν οἱ θεοί.* deinde *καλὰς καταστήσῃ* Edd. vett. Guelf.

τὴν μὲν ἀπολήψῃ, πατρῴαν οὖσαν, τὴν δὲ κτήσῃ· πολλοὺς δὲ ἵππους, πολλοὺς δὲ ἄνδρας καὶ γυναῖκας καλὰς κτήσῃ, οὓς οὐ ληΐζεσθαι δεήσει, ἀλλ' αὐτοὶ φέροντες
32 παρέσονται πρός σε δῶρα. Καὶ ὁ Σεύθης ἀναστὰς συνεξέπιε καὶ συγκατεσκεδάσατο μετ' αὐτοῦ τὸ κέρας.

δεήσει] Paris. Eton. σε anteponunt, et mox ante δῶρα omittunt pronomen.

32. Καὶ ὁ Σεύθης ἀναστὰς] Ita vulgatum Ἀναστὰς ὁ Σεύθης correxi ex Athenæo, suadente Weiskio.

συνεξέπιε] Athenæus et Suidas sub v. κατασκεδάζειν habent simplex συνέπιε.

συγκατεσκέδασε] Edd. vett. Guelf. Athenæus συγκατεσκέδασε τῷ μετ' αὐτοῦ. Paris. Eton. συγκατεσκεδάσατο μετὰ τοῦτο τὸ κέρας. Suidas συγκατεσκεδάσατο μετὰ τὸ αὐτοῦ κέρας. Cum Leonclavio Stephanus et Gramm. secutus auctoritatem Eustathii scribit: συγκατεδάσατο τῷ, interpretatus: *porrigebat ei, qui proximus ab eo erat.* Kuster ad Suidam συγκατεσκεδάσατο εἰς τοὺς μετ' αὐτοῦ; Hutchinson συγκατεσκέδασε κατὰ τοὺς μετ' αὐτοῦ. Contra Pierson ad Mœrin p. 217. Toup ad Suidam p. 215. Larcher, Porson et Zeune συγκατεσκέδασε τῶν μετ' αὐτοῦ corrigunt. Omnes vero hi Interpretes fundum habent emendationis locum Platonis Leg. i. p. 31. Bip. Σκύθαι καὶ Θρᾷκες ἀκράτῳ παντάπασι χρώμενοι γυναῖκές τε καὶ αὐτοὶ, κατὰ τῶν ἱματίων καταχεόμενοι, καλὸν καὶ εὔδαιμον ἐπιτήδευμα ἐπιτηδεύειν νενομίκασι. Suidas Scholion Platonicum exscripsisse videtur in voc. κατασκεδάζειν, ubi est: Ἔθος ἦν Θρᾴκιον ἐν τοῖς συμποσίοις, ἵνα, ὅταν πίωσι τοῦ οἴνου οἱ συμπόται ὅσον δύνωνται, τὸ λοιπὸν τοῦ οἴνου καταχέωσι κατὰ τῶν ἱματίων τῶν συμποτῶν· ὅπερ ἔλεγον κατασκεδάζειν· οὕτω Ξενοφῶν ἐν τῇ ζ' τῆς τοῦ Κύρου Ἀναβάσεως. Hinc Toupius locum hunc interpretabatur: *quod reliquum erat vini in convivas effudit.* Sane non eleganter! Rediit tamen ad antiquum τῷ Weiske, qui locum ita expedire conatur: τῷ μετ' αὐτοῦ scilicet ἐκπιόντι καὶ συγκατασκεδάσαντι Ξενοφῶντι. In hac vero ratione durissimum est τῷ μετ' αὐτοῦ intelligere ἐκπιόντι, atque adeo inutile est additamentum hoc; quoniam in verbo συνεξέπιε lector quivis animadvertit respici Xenophontem. Deinde verbum συγκατασκεδάζειν nullo casu nominis adjecto sensum habet aut nullum aut mancum. Quod Zeunianæ scripturæ opposuit Weiske, redit ad votum, ut libris commendaretur. Sed librorum auctoritate in mutatione tam levi τῶν pro τῷ non est opus! In Athenæo nuperus Editor ex edit. Veneta et Codice A. posuit συγκατεσκεδάσατο μετ' αὐτοῦ τὸ κέρας. quam verissimam ait esse scripturam, eamque vertit: *simulque cum eo reliquum poculi in terram profudit.* Videlicet hoc est sapere ex libris scriptis, non ex ingenio. Mihi ita videtur. Platonis locum obscure vertunt *ac mero vestes perfundunt.* Suasne an convivarum? Græca habent *suas sibi vestes perfundunt*, vel potius *in vestes suas effundunt.* Si de alienis intelligi voluisset, dixisset κατὰ τῶν ἱματίων τῶν συμποτῶν καταχέοντες. Pessime igitur locum interpretatus est is, quem Suidas exscripsit, nisi is in Xenophonte scriptum legerat: συνεξέπιε καὶ κατεσκέδασε τῶν μετ' αὐτοῦ. ubi τοὺς μετ' αὐτοῦ interpretatus esse videtur τοὺς συμπότας. Sed id locum habere in Xenophonte non posse videtur. Nam οἱ μετ' αὐτοῦ sunt non omnes convivæ, sed Thraces soli intelligendi sunt. Græcis enim insultare et ἐμπαροινεῖν voluisse videri poterat Seuthes, quippe qui morem hunc ignorabant. Præterea οἱ μετ' αὐτοῦ more solenni dicuntur, *qui eum comitabantur, qui cum eo erant.* Ita vero Seuthes vinum effuderat in Thraces suos, quem quidem morem universæ genti adscribit Suidas. Sed, uti jam dixi, is sensum loci Platonici depravavit, ad quem scriptura optimorum librorum Xenophontis exigenda est. Igitur a sententia viro-

Μετὰ ταῦτα εἰσῆλθον κέρασί τε, οἵοις σημαίνουσιν, αὐ-
λοῦντες καὶ σάλπιγξιν ὠμοβοΐναις, ῥυθμούς τε καὶ οἷον
μαγάδι σαλπίζοντες. Καὶ αὐτὸς Σεύθης ἀναστὰς ἀνέ- 33
κραγέ τε πολεμικὸν, καὶ ἐξήλατο, ὥσπερ βέλος φυλατ-
τόμενος, μάλα ἐλαφρῶς. Εἰσῄεσαν δὲ καὶ γελωτοποιοί.

rum doctorum omnium discedendum mihi fuit, et restitui librorum optimorum scripturam *συνεσκεδάσατο μετ᾽ αὐτοῦ τὸ κέρας.* unde quidam alii libri fecerunt: *συνεσκέδασε τῷ μετ᾽ αὐτοῦ.* Xenophon gratificatur Seuthæ in eo, ut morem Thracum imitatus vinum reliquum ex cornu in vestem sibi effundat.

Μετὰ ταῦτα] Athenæus interserit δέ. Deinceps vulgatæ Edd. cum Guelf. et Paris. dant Κερασουνταῖοι, *οἳ σημαίνουσιν αὐλοῖς τε καί.* Eton. habet: Κερασουνταῖοι, *οἳ σημαίνουσιν αὐλοῦντες καί.* Regius B. *κέρασί τε οἷοι σημαίνουσιν αὐλοῦντες καί.* unde Larcher efficiebat: *οἳ κέρασιν ἐσήμηνον αὐλοῖς τε καί.* sed aliter vertit: *dont les uns sonnerent une charge avec des flûtes comme si c' eût été avec des cornes.* Recte vidit Larcherus Cerasuntios ab hoc loco alienos esse, non tam, quod putabat vir doctus, quoniam nimis hinc erant remoti, (artifices enim scenici et tibicines ex longinquo sæpe arcessebantur) sed forma ista nominis est inusitata, et dicendi potius erant Κερασούντιοι, ut alibi vocat ipse Xenophon v. 7, 13. Zeune edidit: *κέρασί τε αὐλοῦντες καὶ σ. ὠμοβοΐναις,* omissis verbis *οἳ σημαίνουσιν αὐλοῖς,* quæ putabat esse glossema participii *αὐλοῦντες.* Itaque locum vertit: *postea ingressi sunt alii, qui cornibus canebant, alii, qui tibiis e crudo bovis corio factis ad numerum et tanquam magadi carmen modulabantur.* Weiske edidit Κερασουνταῖοι, *οἳ σημαίνουσιν αὐλοῖς τε καὶ σάλπιγξιν.* sed pluribus rationes Zeunianas refellit, quam scripturam a se proditam confirmavit. Ex lectione Codd. Buttmannus meus efficiebat *κέρασίν τε οἷον αὐλοῖς σημαίνοντες.* Mihi tamen omnium optima visa est scriptura Venetæ editionis et Codicis A. Athenæi, quam probavit etiam Schweighäuser et vertit: *qui cornua, qualibus ad signa danda utuntur,* (malim qualibus classicum canunt) *inflabant, et tubis ex crudo boum corio confectis modulate ac veluti magadin pulsarent, canebant.* Accedit locus infra cap. 2. sect. 19. ubi Seuthes Græcis subsidio accurrit *σαλπιγκτὴν ἔχων τὸν Θράκιον—τοσοῦτον καὶ τὸ κέρας ἐφθέγγετο αὐτῷ.* Habes Thracium tubicinem cornu *σημαίνοντα* seu classicum canentem.

ὠμοβοΐναις] Athenæi Editio Veneta *ὠμοβοίαις,* Codex A. *ὠμοβωίαις,* unde *ὠμοβοείαις* procudit nuperus Editor.

οἷον μαγάδι] Athenæus *οἱονεί.* Eton. *μαγάδιν.* Hutchinson locum Athenæi ex libro 4. apposuit hunc: *Ὁ δὲ μάγαδις καλούμενος αὐλὸς, ὁ καὶ παλαιομάγαδις ὀνομαζόμενος, ἐν ταὐτῷ ὀξὺν καὶ βαρὺν φθόγγον ἐπιδείκνυται.* qui mihi huc pertinere non videtur, ubi de tuba sermo est, vel potius de genere aliquo *ἀσκαύλου.* Tamen Weiske deceptus illo Athenæi loco comparationem cum magade refert ad sonum gravem, quem tibia, et acutum, quem tuba ediderit. Illud tamen bene vidit concentum musicum soni gravis et acuti per *ἀντιφωνίαν* significari, illum scilicet, quem verbo *μαγαδίζειν* indicabant. Dixi ea de re in Lexico Gr. sub verbo *ἀντιφωνέω.* Male igitur Interpretes Latini: *in numerum et tanquam magade tubis canentes,* et Halbkart: *nach dem Takte bliesen, eine Musik, die den Tönen der Magadis glich,* cum debuisset: *nach dem Takte und gleichsam in der Octave auf der Trompete bliesen und accompagnirten.* Fateor tamen me nondum satis illud *ῥυθμοὺς σαλπίζειν* intelligere.

33. Καὶ αὐτὸς] Guelf. *καὐτὸς* habet, deinde Castalio *τι πολεμικὸν* dedit. Ex motu Seuthæ recte arguit Weiske, instrumentorum concentum bellicum quid sonasse, cum quo saltus Seuthæ congrueret.

34 Ὡς δ' ἦν ἥλιος ἐπὶ δυσμαῖς, ἀνέστησαν οἱ Ἕλληνες,
καὶ εἶπον, ὅτι ὥρα εἴη νυκτοφύλακας καθιστάναι, καὶ
σύνθημα παραδιδόναι. Καὶ Σεύθην ἐκέλευον παραγ-
γεῖλαι, ὅπως εἰς τὰ Ἑλληνικὰ στρατόπεδα μηδεὶς τῶν
Θρᾳκῶν εἴσεισι νυκτός· οἵ τε γὰρ πολέμιοι Θρᾷκες ἡμῖν,
35 καὶ ὑμεῖς οἱ φίλοι. Ὡς δ' ἐξῄεσαν, συνανέστη ὁ Σεύ-
θης, οὐδέν τι μεθύοντι ἐοικώς. Ἐξελθὼν δ' εἶπεν, αὐ-
τοὺς τοὺς στρατηγοὺς ἀποκαλέσας· Ὦ ἄνδρες, οἱ πολέ-
μιοι ἡμῶν οὐκ ἴσασί πω τὴν ἡμετέραν συμμαχίαν· ἢν
οὖν ἔλθωμεν ἐπ' αὐτοὺς, πρὶν φυλάξασθαι, ὥστε μὴ
ληφθῆναι, ἢ παρασκευάσασθαι, ὥστε ἀμύνασθαι, μά-
36 λιστα ἂν λάβοιμεν χρήματα καὶ ἀνθρώπους. Συνεπ-
ῄνουν ταῦτα οἱ στρατηγοὶ, καὶ ἡγεῖσθαι ἐκέλευον. Ὁ
δ' εἶπε· Παρασκευασάμενοι ἀναμένετε· ἐγὼ δ', ὁπόταν
καιρὸς ᾖ, ἥξω παρ' ὑμᾶς· καὶ τοὺς πελταστὰς καὶ
37 ὑμᾶς ἀναλαβὼν, ἡγήσομαι σὺν τοῖς θεοῖς. Καὶ ὁ Ξενο-
φῶν εἶπε· Σκέψαι τοίνυν, εἴπερ νυκτὸς πορευσόμεθα, εἰ
ὁ Ἑλληνικὸς νόμος κάλλιον ἔχει· μεθ' ἡμέραν μὲν γὰρ
ἐν ταῖς πορείαις ἡγεῖται τοῦ στρατεύματος, ὁποῖον ἀεὶ

34. *δυσμαῖς*] Edd. vett. Guelf. *δυσμὰς* habent. Sequens *εἴη* omittit Eton.

εἴσεισι] Stephanus *εἰσίῃ* aut *εἰσίοι* scribendum censebat. Futurum, cujus vim verbum *εἴσεισι* habet, cum *ὅπως μὴ* et *μηδὲ* copulatum defendit Zeune ex Cyrop. iii. 3, 42. et iv. 2, 39.

οἵ τε γὰρ πολέμιοι Θρᾷκες ἡμῖν, καὶ ὑμεῖς οἱ φίλοι] Juntina, Guelf. Eton. habent *ὥστε γὰρ*, præterea Eton. *Θρᾷκες ὑμῖν καὶ ἡμῖν οἱ φίλοι.* Paris. et margo Steph. *οἵ τε γὰρ π. Θ. ὑμῖν καὶ ἡμῖν οἱ φίλοι.* Vulgatum defendit et vertit Zeune: *nam non minus Thraces sunt hostes quam vos amici.* Weiske *πολέμιοι ἡμῖν Θρᾷκες* scriptum malebat et vertebat: *Nam et hostes nostri e Thracum genere sunt, et vos amici nostri e Thracum item estis genere.*

35. *ἐξῄεσαν*] Eton. *ἀνέστησαν.* Deinceps idem cum Paris. et margine Steph. *οὐδὲν ἔτι* habet.

αὐτοὺς τοὺς στρατηγοὺς] Paris. Eton. *αὐτὸς οὗτος.* sed vulgatum bene habet, *sevocatis solis ducibus.*

ἡμετέραν] Ita Castalio, Amasæus, Hutchinson, ceteri libri *ὑμετέραν* habent.

μάλιστα ἂν] Eton. omisit hæc, et statim verbum *ἡγεῖσθαι.*

36. *ὁπόταν*] Margo Steph. *ὁπότε* habet. Sequens *ᾖ* vulgato *εἴη* ex Paris. Eton. substitui probante Porsono. Deinde *πρὸς ὑμᾶς* liber Brodæi et Eton.

37. *πορευσόμεθα, εἰ*] Edd. vett. Guelf. *πορευσοίμεθα ἤ.* Deinde *καθ' ἡμέραν* liber Brodæi, Paris. Eton. Sed vide iv. 6, 12.

ἡγεῖται] Vulgatum *ἡγεῖσθαι* ex li-

πρὸς τὴν χώραν συμφέρει, ἐάν τε ὁπλιτικὸν, ἐάν τε πελ-
ταστικὸν, ἐάν τε ἱππικόν· νύκτωρ δὲ νόμος τοῖς Ἕλλησίν
ἐστιν ἡγεῖσθαι τὸ βραδύτατον· οὕτω γὰρ ἥκιστα διασπᾶ- 38
ται τὰ στρατεύματα, καὶ ἥκιστα λανθάνουσιν ἀποδιδρά-
σκοντες ἀλλήλους· οἱ δὲ διασπασθέντες πολλάκις καὶ
περιπίπτουσιν ἀλλήλοις, καὶ ἀγνοοῦντες κακῶς ποιοῦσι
καὶ πάσχουσιν. Εἶπεν οὖν Σεύθης· Ὀρθῶς τε λέγετε, 39
καὶ τῷ νόμῳ τῷ ὑμετέρῳ πείσομαι. Καὶ ὑμῖν μὲν ἡγε-
μόνας δώσω, τῶν πρεσβυτάτων τοὺς ἐμπειροτάτους τῆς
χώρας, αὐτὸς δ' ἐφέψομαι τελευταῖος, τοὺς ἵππους
ἔχων· ταχὺ γὰρ πρῶτος, ἂν δέῃ, παρέσομαι. Σύνθημα
δ' εἶπον Ἀθηναῖοι κατὰ τὴν συγγένειαν. Ταῦτ' εἰπόντες
ἀνεπαύοντο.

bro Brodæi et Eton. correxit Hutchinson et Weiske, male defendit Zeune. Deinde ὁποῖον ἂν δεῖ habet Eton. Sequens ὁπλιτικὸν male Eton. in Ἑλληνικὸν mutavit.

ἐάν τε πελταστικὸν] Hæc omisit Steph. incuria, ut videtur, operarum; habent enim libri omnes editi et scripti.

39. καὶ τῷ νόμῳ] Brodæus malebat: καὶ ἐγὼ τῷ νόμῳ.

Ἀθηναῖοι] Margo Steph. Paris. Eton. habent Ἀθηναίαν. Guelf. a prima manu scriptum Ἀθηναῖον habet. Ἀθηναίαν probavit etiam auctor versionis Anglicæ, Bingham, et Porson. Cui scripturæ, quominus probari possit, obstare censebat Zeune verba sequentia κατὰ τὴν συγγένειαν. Quid tamen in iis esset contrarium, non dixit. Cum eo sentiens Weiske censebat locum, si probaveris Ἀθηναίαν, hunc sensum habere posse: *Thraces hanc tesseram proposuisse, quod essent cognatione cum Atheniensibus Minervæ cultoribus juncti.* Subdit tamen: *verum clarius et pluribus verbis talia Xenophon eloqui solet. Præterea si solum Ἀθηναίας nomen, sine aliquo verbo boni ominis causa adjecto, non displicet, certe auctor alibi tesseram nominativo casu commemorat.* Denique, si sana sint verba, censet omnia hæc ad formulam tesseræ pertinere: Ἀθηναῖοι κατὰ τὴν συγγένειαν. Quod Zeune secutus Hutchinsonum et Larcherum statuit, Atheniensibus propter cognationem hunc honorem habitum fuisse, ut ipsi dicerent tesseræ formulam, ei opinioni Weiske monet obstare verba ipsa, quæ tum ita scripta oportuerat: Τὸ δὲ σύνθημα εἶπον οἱ Ἀθηναῖοι κατὰ τὴν συγγένειαν. Quin omnino omissurum fuisse videri Xenophontem totam sententiam, certe verba extrema κατὰ τὴν συγγένειαν. Porson ad confirmandam lectionem Ἀθηναίαν nihil aliud attulit, nisi quod formam vocabuli ex Aristophanis Avibus versu 829. Equit. 760. firmavit et Platonis Euthydemo p. 82. ed. Oxon. ex Eustathio ad Odyss. p. 1456. l. 50. restituit. Mihi in utraque scriptura displicet verbum εἶπον, cum a Seuthe Græci tesseram poposcissent sect. 34. σύνθημα παραδιδόναι. Ducis hoc ad officium pertinebat. Deinde tessera cum Græcis et Thracibus erat communicanda; ea itaque brevis esse debebat, præcipue si Græca esset, quo facilius Thraces eam memoria retinerent Græci sermonis ignari. Itaque minime assentiri possum Weiskio, Ἀθηναῖοι κατὰ

40 Ἡνίκα δ᾽ ἦν ἀμφὶ μέσας νύκτας, παρῆν Σεύθης,
ἔχων τοὺς ἱππέας τεθωρακισμένους, καὶ τοὺς πελταστὰς
σὺν τοῖς ὅπλοις. Καὶ ἐπεὶ παρέδωκε τοὺς ἡγεμόνας, οἱ
μὲν ὁπλῖται ἡγοῦντο, οἱ δὲ πελτασταὶ εἵποντο, οἱ δὲ ἱπ-
41 πεῖς ὠπισθοφυλάκουν. Ἐπεὶ δὲ ἡμέρα ἦν, ὁ Σεύθης
παρήλαυνεν εἰς τὸ πρόσθεν, καὶ ἐπήνεσε τὸν Ἑλληνικὸν
νόμον· πολλάκις γὰρ ἔφη νύκτωρ αὐτὸς, καὶ σὺν ὀλίγοις
πορευόμενος, ἀποσπασθῆναι σὺν τοῖς ἵπποις ἀπὸ τῶν
πεζῶν· νῦν δὲ, ὥσπερ δεῖ, ἀθρόοι πάντες ἅμα τῇ ἡμέρᾳ
φαινόμεθα. Ἀλλ᾽ ὑμεῖς μὲν περιμένετε αὐτοῦ, καὶ
42 ἀναπαύεσθε· ἐγὼ δὲ σκεψάμενός τι ἥξω. Ταῦτ᾽ εἰπὼν
ἤλαυνε δι᾽ ὄρους ὁδόν τινα λαβών. Ἐπεὶ δ᾽ ἀφίκετο εἰς
χιόνα πολλὴν, ἐσκέψατο ἐν τῇ ὁδῷ, εἰ εἴη ἴχνη ἀνθρώ-
πων ἢ προηγούμενα, ἢ ἐναντία. Ἐπεὶ δὲ ἀτριβῆ ἑώρα
43 τὴν ὁδὸν, ἧκε ταχυ πάλιν, καὶ ἔλεγε· Καλῶς, ὦ ἄνδρες,
ἔσται, ἐὰν θεὸς θέλῃ· τοὺς γὰρ ἀνθρώπους λήσομεν
ἐπιπεσόντες. Ἀλλ᾽ ἐγὼ μὲν ἡγήσομαι τοῖς ἵπποις, ὅπως,
ἄν τινα ἴδωμεν, μὴ διαφυγὼν σημήνῃ τοῖς πολεμίοις·
ὑμεῖς δ᾽ ἕπεσθε· κἂν λειφθῆτε, τῷ στίβῳ τῶν ἵππων
ἕπεσθε· ὑπερβάντες δὲ τὰ ὄρη ἥξομεν εἰς τὰς κώμας
πολλάς τε καὶ εὐδαίμονας.

44 Ἡνίκα δὲ ἦν μέσον ἡμέρας, ἤδη τε ἦν ἐπὶ τοῖς ἄκροις,
καὶ κατιδὼν τὰς κώμας, ἧκεν ἐλαύνων πρὸς τοὺς ὁπλί-
τας, καὶ ἔλεγεν· Ἀφήσω ἤδη καταθεῖν τοὺς μὲν ἱππέας

τὴν συγγένειαν formulam fuisse tesseræ. Meliores igitur libros expectandos censeo.

40. παρέδωκε] Edd. vett. Guelf. παρέδωκαν.

41. ἀναπαύεσθε] Eton. liber ἀναπαύσασθε habet.

42. ἐν τῇ ὁδῷ] Hæc desunt in libro Etonensi.

προηγούμενα] Eton. πρόσω ἡγούμενα. Sequens ἧκε ex Eton. et Paris. recepit Zeune in locum vulgati ἥκει, quod revocavit Weiske. Præterea Eton. ταχὺ omisit.

43. καλῶς, ὦ ἄνδρες] Eton. ἄνδρες, καλῶς. Deinde ἢν θεὸς Paris.

λειφθῆτε] Paris. Eton. ἐφθῆτε habent. Deinde ὑπερβάλλοντες Eton. sed dicendum erat ὑπερβαλόντες.

πολλάς] Inepte Eton. τινάς.

44. πρὸς τοὺς] Eton. εἰς τοὺς habet.

εἰς τὸ πεδίον, τοὺς δὲ πελταστὰς ἐπὶ τὰς κώμας.
'Αλλ' ἕπεσθε ὡς ἂν δύνησθε τάχιστα, ὅπως, ἄν τις
ὑφιστῆται, ἀλέξησθε. Ἀκούσας ταῦτα ὁ Ξενοφῶν, 45
κατέβη ἀπὸ τοῦ ἵππου. Καὶ ὃς ἤρετο· Τί καταβαίνεις,
ἐπεὶ σπεύδειν δεῖ; Οἶδα, ἔφη, ὅτι οὐκ ἐμοῦ μόνον δέῃ· οἱ
δ' ὁπλῖται θᾶττον δραμοῦνται καὶ ἥδιον, ἂν καὶ ἐγὼ πε-
ζὸς ἡγῶμαι.

Μετὰ ταῦτα ᾤχετο, καὶ Τιμασίων μετ' αὐτοῦ, ἔχων 46
ἱππέας ὡς τετταράκοντα τῶν Ἑλλήνων. Ξενοφῶν δὲ
παρηγγύησε τοὺς εἰς τριάκοντα ἔτη παριέναι ἀπὸ τῶν λό-
χων εὐζώνους. Καὶ αὐτὸς μὲν ἐτρόχαζε, τούτους ἔχων·
Κλεάνωρ δὲ ἡγεῖτο τῶν ἄλλων Ἑλλήνων. Ἐπεὶ δ' ἐν 47
ταῖς κώμαις ἦσαν, Σεύθης, ἔχων ὅσον πεντήκοντα ἱπ-
πέας, προσελάσας εἶπε· Τάδε δὴ, ὦ Ξενοφῶν, ἃ σὺ
ἔλεγες· ἔχονται οἱ ἄνθρωποι· ἀλλὰ γὰρ οἱ ἱππεῖς ἔρη-
μοι οἴχονταί μοι, ἄλλος ἀλλαχῇ διώκων· καὶ δέδοικα,
μὴ συστάντες ἀθρόοι που κακόν τι ἐργάσωνται οἱ πολέ-

45. δέῃ] Male conjunctivum verbi impersonalis δεῖ cum Hutchinsono putavit Zeune. Recte Amasæus *te non mea unius opera indigere.* Deinde ἂν ἐγὼ omisso καὶ Eton.

46. ᾤχετο, καὶ] Post ᾤχετο, quod ad Seuthen refertur, comma posui, monente Halbkartio.

τοὺς εἰς τριάκοντα] Juntina, Guelf. Eton. πεντήκοντα numerant. Hinc satis certum argumentum nos habere ætatis Xenophontis, fere triginta annos tum nati, recte monet Weiske. Paulo antea ἱππεῖς habet Eton.

λόχων] Ita cum Steph. secunda et Paris. Hutchinson. λοχαγῶν est in reliquis Edd. Guelf. Eton. Sequens ἄλλων omittunt Edd. vett. et Guelf.

47. πεντήκοντα] Margo Steph. Villois. Paris. Eton. τριάκοντα. Sequens προσελάσας ex iisdem libris dedit Hutchinson pro προελάσας.

Τάδε δὴ] ἐστὶν vel γίγνεται supplebat Zeune, et referebat cum Larchero ad monitum Xenophontis sect. 38. quod displicet Weiskio, quod Xenophon, de itinere nocturno monuisset, res autem hic medio die agantur adversus hostes. Deinde particulas ἀλλὰ γὰρ novi aliquid annectere. *Igitur,* inquit, *aut intelligere debemus* κατὰ τὸ σιωπώμενον, *Xenophontem dixisse, hostes haud dubie oppressum iri, aut antecessit aliquid sect.* 43. *aut* 45. *ab eo dictum. Nam alias vehementer animosus aliis animum addere studet: hoc autem capite extremo has partes fere demandasse videtur Seuthæ.* Verum Xenophon sect. 37. de itinere nocturno et diurno dixerat, et ordinem ducendi exercitus enarraverat; ad utrumque pertinent etiam verba οὕτω γὰρ ἥκιστα διασπᾶται— πάσχουσιν. Igitur Seuthen ad ista respicere nunc puto, nec aliquid a Xenophonte omissum esse, quod ex Seuthæ oratione nunc primum intelligamus.

ἀλλαχῇ] Margo Steph. Paris. Eton. ἄλλος ἄλλῃ. quod non minus probari poterat in hac narratione.

μιοι. Δεῖ δὲ καὶ ἐν ταῖς κώμαις καταμένειν τινὰς
48 ἡμῶν· μεσταὶ γάρ εἰσιν ἀνθρώπων. Ἀλλ' ἐγὼ μὲν,
ἔφη ὁ Ξενοφῶν, σὺν οἷς ἔχω, τὰ ἄκρα καταλήψομαι· σὺ
δὲ Κλεάνορα κέλευε διὰ τοῦ πεδίου παρατεῖναι τὴν φά-
λαγγα παρὰ τὰς κώμας. Ἐπεὶ δὲ ταῦτα ἐποίησαν,
συνηλίσθησαν ἀνδράποδα μὲν ὡς χίλια, βόες δὲ δισχί-
λιοι, καὶ ἄλλα πρόβατα μύρια. Καὶ τότε μὲν αὐτοῦ
ηὐλίσθησαν.

CAP. IV.

ΤΗι δ' ὑστεραίᾳ κατακαύσας ὁ Σεύθης τὰς κώμας
παντελῶς, καὶ οὐδεμίαν οἰκίαν λιπὼν, (ὅπως φόβον ἐν-
θείη καὶ τοῖς ἄλλοις, οἷα πείσονται, ἂν μὴ πείθωνται)
2 ἀπῄει πάλιν. Καὶ τὴν μὲν λείαν ἀπέπεμψε διατίθε-
σθαι Ἡρακλείδῃ εἰς Πέρινθον, ὅπως μισθὸς γένηται τοῖς
στρατιώταις· αὐτὸς δὲ καὶ οἱ Ἕλληνες ἐστρατοπεδεύσαντο
ἀνὰ τὸ Θυνῶν πεδίον. Οἱ δ' ἐκλιπόντες, ἔφευγον εἰς τὰ
ὄρη.
3 Ἦν δὲ χιὼν πολλὴ, καὶ ψῦχος οὕτως, ὥστε τὸ ὕδωρ,
ὃ ἐφέροντο ἐπὶ δεῖπνον, ἐπήγνυτο, καὶ ὁ οἶνος ὁ ἐν τοῖς
ἀγγείοις, καὶ τῶν Ἑλλήνων πολλῶν καὶ ῥῖνες ἀπεκαίοντο
4 καὶ ὦτα. Καὶ τότε δῆλον ἐγένετο, οὗ ἕνεκα οἱ Θρᾷκες
τὰς ἀλωπεκίδας ἐπὶ ταῖς κεφαλαῖς φοροῦσι καὶ τοῖς

ἡμῶν] Castalio et Amasæus ὑμῶν.

48. συνηλίσθησαν] Edd. vett. Guelf. συνηυλίσθησαν. Brodæus corrigebat συνειλήφθησαν. Deinde εἰς χίλια Eton.

2. ὅπως μισθὸς γένηται] Eton. liber habet ὅπως ἂν μισθὸς γένοιτο. deinde ἐστρατοπεδεύοντο Paris. Eton.

ἀνὰ τὸ Θυνῶν] Paris. omittit ἀνὰ τό.

3. ὁ οἶνος ὁ ἐν τοῖς] Ita Codex Eton. Alter articulus vulgo aberat. Ovidius Tristium iii. 10, 23. *udaque consistunt formam servantia testæ Vina, nec hausta meri, sed data frusta bibunt.*

ἀπεκαίοντο] Edd. vett. Guelf. ἀπεκαίνοντο, sed in Guelf. supposito puncto ν notatum est. Paris. ἀπεκρίναντο. Margo Steph. ἀπεκαίνοντο et ἀπεκείραντο habet. Suidas in verbo ἀποκαίω habet locum hunc: πολλοὶ δὲ ὑπὸ κρύους ἀπεκαύθησαν χεῖρας καὶ πόδας.

4. δῆλον] Juntina, Guelf. a prima manu δὴ habet, verum dedit Castalio.

ἀλωπεκίδας] Herodotus vii. 75.

ὠσὶ, καὶ χιτῶνας οὐ μόνον περὶ τοῖς στέρνοις, ἀλλὰ καὶ
περὶ τοῖς μηροῖς· καὶ ζειρὰς μέχρι τῶν ποδῶν ἐπὶ τῶν
ἵππων ἔχουσιν, ἀλλ' οὐ χλαμύδας. Ἀφιεὶς δὲ τῶν αἰ- 5
χμαλώτων ὁ Σεύθης εἰς τὰ ὄρη, ἔλεγεν, ὅτι, εἰ μὴ κατα-
βήσονται [οἰκήσοντες] καὶ πείσονται, ὅτι κατακαύσει
καὶ τούτων τὰς κώμας καὶ τὸν σῖτον, καὶ ἀπολοῦνται τῷ
λιμῷ. Ἐκ τούτου κατέβαινον καὶ γυναῖκες καὶ παῖδες
καὶ πρεσβύτεροι· οἱ δὲ νεώτεροι ἐν ταῖς ὑπὸ τὸ ὄρος κώ-
μαις ηὐλίζοντο. Καὶ ὁ Σεύθης καταμαθὼν, ἐκέλευσε 6
τὸν Ξενοφῶντα τῶν ὁπλιτῶν τοὺς νεωτάτους λαβόντα
συνεπισπέσθαι. Καὶ ἀναστάντες τῆς νυκτὸς ἅμα τῇ
ἡμέρᾳ παρῆσαν ἐπὶ τὰς κώμας· καὶ οἱ μὲν πλεῖστοι
ἐξέφυγον· (πλησίον γὰρ ἦν τὸ ὄρος) ὅσους δὲ ἔλαβε, κατ-
ηκόντισεν ἀφειδῶς Σεύθης.

Ἐπισθένης δὲ ἦν τις Ὀλύνθιος παιδεραστὴς, ὃς ἰδὼν 7

Θρήϊκες δὲ ἐπὶ μὲν τῆσι κεφαλῆσι ἀλωπεκέας ἔχοντες ἐστρατεύοντο, περὶ δὲ τὸ σῶμα κιθῶνας, ἐπὶ δὲ ζειρὰς περιβεβλημένοι ποικίλας· περὶ δὲ τοὺς πόδας τε καὶ τὰς κνήμας πέδιλα νεβρῶν. Ovidius l. c. *pellibus et sutis arcent male frigora braccis: Oraque de toto corpore sola patent.*

ζειρὰς] Easdem Herodotus vii. 69. Arabibus tribuit: ζειρὰς ὑπεζωσμένοι ἦσαν. Harpocratio: Ζειρὰ ἢ σειρὰ, ὥς τινες, ἦν ἔνδυμά τι, ὃ ἐπενεδύοντο μετὰ τοὺς χιτῶνας, ὥσπερ ἐφαπτίδας. Etymol. M. ζειραὶ, χιτῶνες ἀνακεκολπωμένοι ἢ ἀνάκωλοι. Ante Hutchinsonum ζεῖρας h. l. erat.

μέχρι τῶν ποδῶν] Articulum ex Eton. et Etym. M. adjunxi.

5. [οἰκήσοντες] καὶ] Hanc scripturam reddidit Amasæus: οἰκήσονται habet margo Villois. Lectionem marginis Steph. καταβήσονται καὶ σπείσονται interpretatus est Leonclavius; eamque ipse etiam probo propter sect. 12.

κατακαύσει] Eton. κατακαύσονται, omisso ὅτι. Voluit, credo, κατακαύσεται. Repetiti ὅτι exemplum ex v. 6, 19. positum a Zeunio, non est plane simile nostro, sed amplius verbis.

Ἐκ τούτου] Edd. vett. Guelf. ἐκ τούτων habent. Articulum οἱ ante πρεσβύτεροι omisi cum Eton.

6. συνεπισπέσθαι] Vulgato συνέπεσθαι ex margine Steph. Paris. Eton. substituit Zeune.

ἐπὶ τὰς κώμας] Ita Paris. Vulgo est ταῖς κώμαις. Cyrop. i. 4, 6. εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι πάρεισιν. ii. 4, 21. παρεῖναι πρὸς αὐτόν.

κατέλαβον] Margo Steph. Paris. Eton. dedit ἔλαβε, et sequens ἀφειδῶς Σεύθης pro vulgato ἅπαντας ὁ Σεύθης. Weiske Zeunii conjecturam ἅπαντας ἀφειδῶς ὁ Σεύθης recepit.

7. Ὀλύνθιος] Eundem esse, qui supra Ἀμφιπολίτης dicitur peltastarum dux, putabat Hutchinson, qui Neonem comparabat Asinæum, qui alibi Λακωνικὸς vocetur. Sed non est par ratio in utroque, nisi Amphipolitas imperium in Olynthios exercuisse adstruxeris. Ceterum Suidas sua hinc duxit in voc. Ἐπισθένης.

καλὸν παῖδα ἡβάσκοντα ἄρτι, πέλτην ἔχοντα, μέλλοντα
ἀποθνήσκειν, προσδραμὼν Ξενοφῶντα ἱκέτευσε βοηθῆσαι
8 παιδὶ καλῷ. Καὶ ὃς προσελθὼν τῷ Σεύθῃ δεῖται, μὴ
ἀποκτεῖναι τὸν παῖδα· καὶ τοῦ Ἐπισθένους διηγεῖται
τὸν τρόπον, καὶ ὅτι λόχον ποτὲ συνελέξατο, σκοπῶν οὐδὲν
ἄλλο, ἢ εἴ τινες εἶεν καλοί· καὶ μετὰ τούτων ἦν ἀνὴρ
9 ἀγαθός. Ὁ δὲ Σεύθης ἤρετο· Ἦ καὶ ἐθέλοις ἂν, ὦ
Ἐπίσθενες, ὑπὲρ τούτου ἀποθανεῖν; Ὁ δ᾽ ἐπανατείνας
τὸν τράχηλον· Παῖε, εἶπεν, εἰ κελεύει ὁ παῖς, καὶ μέλ-
10 λει χάριν εἰδέναι. Ἐπήρετο ὁ Σεύθης τὸν παῖδα, εἰ
παίσειεν αὐτὸν ἀντὶ ἐκείνου. Οὐκ εἴα ὁ παῖς, ἀλλ᾽ ἱκέ-
τευε μηδὲ ἕτερον κατακαίνειν. Ἐνταῦθα δὴ ὁ Ἐπισθέ-
νης, περιλαβὼν τὸν παῖδα, εἶπεν· Ὥρα σοι, ὦ Σεύθη,
περὶ τοῦδέ μοι διαμάχεσθαι· οὐ γὰρ μεθήσω τὸν παῖ-
11 δα. Ὁ δὲ Σεύθης γελῶν, ταῦτα μὲν εἴα· ἔδοξε δ᾽ αὐτῷ
αὐτοῦ αὐλισθῆναι, ἵνα μὴ ἐκ τούτων τῶν κωμῶν οἱ ἐπὶ
τοῦ ὄρους τρέφοιντο. Καὶ αὐτὸς μὲν ἐν τῷ πεδίῳ ὑπο-
καταβὰς ἐσκήνου· Ξενοφῶν δὲ, ἔχων τοὺς ἐπιλέκτους, ἐν
τῇ ὑπὸ τὸ ὄρος ἀνωτάτω κώμῃ· καὶ οἱ ἄλλοι Ἕλληνες ἐν
τοῖς ὀρεινοῖς καλουμένοις Θρᾳξὶ πλησίον κατεσκήνησαν.

πέλτην ἔχοντα.] Additum hoc, ut intelligamus, Episthenem non minus animi virtutem spectasse quam formam corporis, censet Weiske. Nam puer ille non abjecerat, ut ignavi solent, sed, ut homo fortis, peltam retinebat, qua fuerat armatus. Recte hæc vir doctus monuit!

προσδραμὼν] Deest in Juntina et Guelf. deinde ἱκέτευε dat Paris.

8. δεῖται] Vulgatum δέεται, quod Ionibus proprium est, ex Eton. correxit Zeune, probante Porsono. Sic est infra sect. 20. Convivii ii. 9. δέεται tamen revocavit Weiske.

λόχον] Cf. Plato Symposii c. 6. Nostri Symp. viii. 32. deinceps Guelf. ἢ omisit, margo Steph. cum Eton. ἤ τίνες habet.

9. Ὁ δὲ Σεύθης] Eton. καὶ ὁ Σεύθης.

10. Ἐπήρετο—ἐκείνου] Omisit hæc Eton. Deinde ὥρα μοι Edd. vett. Guelf. ὥρα omisso σοι Eton. habet.

11. ἵνα μὴ] Margo Steph. Paris. Eton. ἵνα μηδ᾽ habent. Sequens οἱ ante ἐπὶ τοῦ ὄρους deest in Eton.

αὐτὸς μὲν] Edd. vett. Guelf. μὲν omittunt; deinde καταβὰς dat Guelf. postea Eton. ὁ δὲ Ξενοφῶν ἔχων.

ἀνωτάτω] Guelf. ἀνωτάτῃ habet.

ὀρεινοῖς] Brodæi liber ὀρείοις, Paris. Eton. ὁρίοις καλουμένοις. Muretus, deleto ἐν, ex sect. 21. scribendum putabat τοῖς Ὀρείταις καλουμένοις. Articulum τοῖς ante καλουμένοις de sententia Stephani et auctoribus Codicibus, quos antestatur Stephanus, delendum censuerat Hutchinson, seclusit Zeune, omisit Weiske.

Ἐκ τούτου ἡμέραι οὐ πολλαὶ διετρίβοντο, καὶ οἱ ἐκ 12
τοῦ ὄρους Θρᾶκες, καταβαίνοντες πρὸς τὸν Σεύθην, περὶ
ὁμήρων καὶ σπονδῶν διεπράττοντο. Καὶ Ξενοφῶν ἐλθὼν
ἔλεγε τῷ Σεύθῃ, ὅτι ἐν πονηροῖς τόποις σκηνῷεν, καὶ
πλησίον εἶεν οἱ πολέμιοι· ἥδιον δ' ἂν ἔξω αὐλίζεσθαι
ἔφη ἐν ἐχυροῖς ἂν χωρίοις μᾶλλον, ἢ ἐν τοῖς στεγνοῖς,
ὥστε ἀπολέσθαι. Ὁ δὲ θαῤῥεῖν ἐκέλευε, καὶ ἔδειξεν 13
ὁμήρους παρόντας αὐτῷ. Ἐδέοντο δὲ καὶ τοῦ Ξενοφῶν-
τος καταβαίνοντές τινες τῶν ἐκ τοῦ ὄρους, συμπρᾶξαι
σφίσι τὰς σπονδάς. Ὁ δ' ὡμολόγει, καὶ θαῤῥεῖν ἐκέ-
λευε, καὶ ἠγγυᾶτο μηδὲν αὐτοὺς κακὸν πείσεσθαι πει-
θομένους Σεύθῃ. Οἱ δ' ἄρα ταῦτ' ἔλεγον κατασκοπῆς
ἕνεκα.

Ταῦτα μὲν τῆς ἡμέρας ἐγένετο· εἰς δὲ τὴν ἐπιοῦσαν 14
νύκτα ἐπιτίθενται ἐλθόντες ἐκ τοῦ ὄρους οἱ Θυνοί. Καὶ
ἡγεμὼν μὲν ἦν ὁ δεσπότης ἑκάστης τῆς οἰκίας· χαλεπὸν
γὰρ ἦν ἄλλῳ τὰς οἰκίας, σκότους ὄντος, ἀνευρίσκειν ἐν
ταῖς κώμαις· καὶ γὰρ αἱ οἰκίαι κύκλῳ περιεσταύρωντο
μεγάλοις σταυροῖς τῶν προβάτων ἕνεκα. Ἐπεὶ δ' ἐγέ- 15
νοντο κατὰ τὰς θύρας ἑκάστου τοῦ οἰκήματος, οἱ μὲν εἰσ-
ηκόντιζον, οἱ δὲ τοῖς σκυτάλοις ἔβαλλον, ἃ ἔχειν ἔφασαν,

12. οὐ πολλαὶ] Margo Steph. Paris. Eton. ἡμέραι τε πολλαί. Quid si fuisse suspicer ἡμέραι τ' οὐ πολλαί?

ἐλθὼν] Steph. et Paris. habet participium omissum in Edd. vett. Guelf. Eton.

σκηνῷεν] Guelf. σκηνοῖεν. Deinde ἑτέροις χωρίοις dant margo Steph. Paris. Eton.

στεγνοῖς] Ex Guelf. hoc dedit Zeune pro στενοῖς. Ita ἔξω (τῆς κώμης) αὐλίζεσθαι opponitur τῷ σκηνῆσαι ἐν στεγνοῖς i. e. sub tectis vici. Ita τὸ στεγνὸν est in Œconom. vii. 19. seqq.

13. παρόντας αὐτῷ] Ita Aldina et Hutchins. cum margine Villois. αὐτῶν Juntina, Steph. Guelf. Paris. Eton. Sequens τῶν post τινὲς deest in Paris. libro.

μηδὲν αὐτοὺς] Edd. vett. Guelf. αὐτοὺς μηδέν.

14. ἑκάστης τῆς] Ex Paris. articulum adjecit Zeune hic et sect. 15. Deinde ἄλλως pro ἄλλῳ dat Eton. non male!

15. ἑκάστου τοῦ] Suadente Brodæo τοῦ adjecit Zeune.

ἃ ἔχειν] Paris. pro his ἄρχειν habet. Ad ἔφασαν Weiske intelligit Græcos; sed ita sequi debebat ἀποκόψοντας. Igitur videntur Thyni captivi intelligi. Deinde ἐνεπίπρασαν Aldina, ἐνεμπίμπρασαν Guelf.

ὡς ἀποκόψοντες τῶν δοράτων τὰς λόγχας· οἱ δὲ ἐνεπίμ-
πρασαν· καὶ Ξενοφῶντα ὀνομαστὶ καλοῦντες, ἐξιόντα
ἐκέλευον ἀποθνήσκειν, ἢ αὐτοῦ ἔφασαν κατακαυθήσε-
σθαι αὐτόν.
16 Καὶ ἤδη τε διὰ τοῦ ὀρόφου ἐφαίνετο πῦρ, καὶ ἐντεθω-
ρακισμένοι οἱ περὶ Ξενοφῶντα ἔνδον ἦσαν, ἀσπίδας καὶ
μαχαίρας καὶ κράνη ἔχοντες. Καὶ Σιλανὸς Μακέστιος,
ἐτῶν ὀκτωκαίδεκα ὢν, σημαίνει τῇ σάλπιγγι· καὶ εὐθὺς
ἐκπηδῶσιν ἐσπασμένοι τὰ ξίφη καὶ οἱ ἐκ τῶν ἄλλων
17 σκηνωμάτων. Οἱ δὲ Θρᾶκες φεύγουσιν, ὥσπερ δὴ τρό-
πος αὐτοῖς, ὄπισθεν περιβαλλόμενοι τὰς πέλτας· καὶ
αὐτῶν ὑπεραλλομένων τοὺς σταυροὺς ἐλήφθησάν τινες
κρεμασθέντες, ἐνισχομένων τῶν πελτῶν ἐν τοῖς σταυροῖς·
οἱ δὲ καὶ ἀπέθανον, διαμαρτόντες τῶν ἐξόδων· οἱ δ' Ἑλ-
18 ληνες ἐδίωκον ἔξω τῆς κώμης. Τῶν τε Θυνῶν ὑποστρα-
φέντες τινὲς ἐν τῷ σκότει, τοὺς παρατρέχοντας παρ' οἰ-
κίαν καιομένην ἠκόντιζον εἰς τὸ φῶς ἐκ τοῦ σκότους· καὶ
ἔτρωσαν Ἱερώνυμόν τε καὶ Ἐνοδίαν τὸν λοχαγὸν, καὶ

16. *ἀσπίδας καὶ μαχαίρας*] Omisit Juntina cum Guelf.

ἐτῶν ὀκτωκαίδεκα ὢν] Eton. liber *ἐτῶν ἤδη ὡς ὀκτωκαίδεκα ὢν* habet. Quod ætatem adolescentis annotavit Xenophon, videtur causam eam habuisse, quod ad inflandam tubam corporis adulti viribus opus esse videbatur.

17. *ὑπεραλλομένων*] Castalio *ὑπερβαλλομένων* edidit. deinde Juntina *εἰλήφθησαν.*

ἐνισχομένων] Paris. Eton. *ἐνεχομένων* —*τοῖς σταυροῖς* omisso *ἐν. πελτασστῶν* male Juntina cum Guelf.

18. *παρ' οἰκίαν*] Guelf. cum Aldina *οἰκίαν ἠκόντιζον καιομένην.* Etonensis post *ἠκόντιζον* adjungit *καὶ οἱ μὲν εἰς.* quæ fortasse est eadem varietas scripturæ, sed vitiata. Mirum interpretes omnes de vitio hujus loci aperto tacere. Primum reversi Thyni per tenebras, ex his ipsis tenebris et latebris, *ἐκ τοῦ σκότους ἠκόντιζον εἰς τὸ φῶς.* Hucusque bene procedit verborum structura. Sed unde pendent verba *τοὺς παρατρέχοντας παρ' οἰκίαν καιομένην?* Mihi videntur hæc conjungenda cum sequentibus hoc fere modo: *καὶ παρατρέχοντας παρ' οἰκίαν καιομένην ἔτρωσαν Ἱερώνυμόν τε* &c.

τε καὶ Ἐνοδίαν] Margo Steph. cum Paris. *Εὐοδέα* dat. Zeune *Ἐνοπέα*, ex urbe Messeniæ *Ἐνόπη*, scribendum conjecit. Weiske plura vulneratorum nomina excidisse recte conjecit, cum nominibus gentilibus et notatione dignitatis. Primum enim *καὶ δὲ* non sequi nisi post repetitum *καὶ* et post plura hominum nomina. Deinde, si Hieronymum et Theagenem solos nominare voluisset Xenophon, utrumque lochagum, dicturum fuisse *τοὺς λοχαγούς.* Hanc equidem opinionem ipse etiam amplector. Atque ita apparet totam hanc sectio-

Θεαγένην δὲ Λοκρὸν τὸν λοχαγόν· ἀπέθανε δὲ οὐδείς· κατεκαύθη μέντοι καὶ ἐσθής τινων καὶ σκευή. Σεύθης 19
δὲ ἧκε βοηθήσων σὺν ἑπτὰ ἱππεῦσι τοῖς πρώτοις, καὶ τὸν σαλπιγκτὴν ἔχων τὸν Θρᾴκιον. Καὶ ἐπείπερ ᾔσθετο, ὅσον περ χρόνον ἐβοήθει, τοσοῦτον καὶ τὸ κέρας ἐφθέγγετο αὐτῷ· ὥστε καὶ τοῦτο φόβον συμπαρεῖχε τοῖς πολεμίοις. Ἐπεὶ δ᾽ ἦλθεν, ἐδεξιοῦτό τε καὶ ἔλεγεν, ὅτι οἴοιτο τεθνεῶτας πολλοὺς εὑρήσειν.

Ἐκ τούτου ὁ Ξενοφῶν δεῖται τοὺς ὁμήρους τε αὐτῷ 20
παραδοῦναι, καὶ ἐπὶ τὸ ὄρος, εἰ βούλεται, συστρατεύεσθαι· εἰ δὲ μὴ, αὐτὸν ἐᾶσαι. Τῇ οὖν ὑστεραίᾳ παρα- 21
δίδωσιν ὁ Σεύθης τοὺς ὁμήρους, πρεσβυτέρους ἄνδρας, τοὺς κρατίστους, ὡς ἔφασαν, τῶν ὀρεινῶν· καὶ αὐτὸς ἔρχεται σὺν τῇ δυνάμει. Ἤδη δ᾽ εἶχε καὶ τριπλασίαν δύναμιν ὁ Σεύθης· ἐκ γὰρ τῶν Ὀδρυσῶν, ἀκούοντες, ἃ πράττοι ὁ Σεύθης, πολλοὶ κατέβαινον συστρατευσόμενοι. Οἱ δὲ Θυνοὶ, ἐπεὶ εἶδον ἀπὸ τοῦ ὄρους πολλοὺς μὲν ὁπλί- 22
τας, πολλοὺς δὲ πελταστὰς, πολλοὺς δὲ ἱππέας, καταβάντες ἱκέτευον σπείσασθαι· καὶ πάντα ὡμολόγουν

nem miris modis pluribus in locis esse vitiatam.

Θεαγένην] Paris. Θεογένην, Guelf. a prima manu Θεογένη habet.

καὶ ἐσθής τινων καὶ] Ita cum margine Steph. liber Brodæi, Paris. Eton. Hutchinson, sed ἔστιν ὧν καὶ σκεύη Edd. vett. Guelf. quod in ἔστιν ὧν τὰ σκεύη mutatum voluit Muretus, simpliciter probavit Porson.

19. τοῖς πρώτοις] *Qui primi ad Seuthen redierant, antea dispersi*, interpretatur Hutchinson; *qui primi ad opem ferendam Græcis advolaverant*, Zeune.

ἐπείπερ ᾔσθετο] Mureti conjecturam ἐπεὶ παρίστατο videtur Amasæus secutus vertisse: *et ubi in conspectu fuit.* Weiske locum lacunosum esse censens, hoc supplementum proposuit participii φεύγοντας vel διωκομένους post ᾔσθετο additi. Sed sana hic omnia esse recte monet Halbkart. Periculum Græcorum ex incendio Seuthes facile cognoverat.

ἐβοήθει] Muretus μετὰ βοῆς ἔθει interpretatur. Est simpliciter *accurrere auxilio.*

καὶ τοῦτο] Edd. vett. αὐτὸ, Guelf. ταὐτό. Zeune αὐτὸ τοῦτο conjiciebat. Cum Stephano facit margo Villois.

ἐδεξιοῦτό τε] Edd. vett. et Guelf. τε omittunt. Sequens εὑρήσειν in locum vulgati εὑρίσκειν recepi ex Paris.

21. πρεσβυτέρους ἄνδρας] Eton. πρεσβυτέρους ἤδη. Deinceps Ὀρειτῶν Edd. vett. Guelf. cf. ad sect. 11.

τριπλασίαν] Quam antea, cum Græci advenirent.

κατέβαινον] Odrysas mediterraneas regiones incoluisse ita significat.

22. ἀπὸ τοῦ ὄρους] Præpositionem omittunt Edd. vett. Sequens ἱππίας dedit Zeune pro vulgato ἱππεῖς.

23 ποιήσειν, καὶ τὰ πιστὰ λαμβάνειν ἐκέλευον. Ὁ δὲ Σεύθης, καλέσας τὸν Ξενοφῶντα, ἐπεδείκνυεν, ἃ λέγοιεν· καὶ οὐκ ἂν ἔφη σπείσασθαι, εἰ Ξενοφῶν βούλοιτο τιμω-
24 ρήσασθαι αὐτοὺς τῆς ἐπιθέσεως. Ὁ δ' εἶπεν· Ἀλλ' ἔγωγε ἱκανὴν νομίζω καὶ νῦν δίκην ἔχειν, εἰ οὗτοι δοῦλοι ἔσονται ἀντ' ἐλευθέρων· συμβουλεύειν μέντοι ἔφη αὐτῷ, τὸ λοιπὸν ὁμήρους λαμβάνειν τοὺς δυνατωτάτους κακόν τι ποιεῖν, τοὺς δὲ γέροντας οἴκοι ἐᾷν. Οἱ μὲν οὖν ταύτῃ πάντες δὲ προσωμολόγουν.

CAP. V.

ΥΠΕΡΒΑΛΛΟΥΣΙ δὲ πρὸς τοὺς ὑπὲρ Βυζαντίου Θρᾷκας, εἰς τὸ Δέλτα καλούμενον· αὕτη δ' ἦν οὐκέτι ἀρχὴ Μαισάδου, ἀλλὰ Τήρου τοῦ Ὀδρυσοῦ, ἀρχαίου τινός.

23. ἃ λέγοιεν] Eton. ἃ ἔλεγεν. Sequens σπείσασθαι posui pro vulgato σπείσεσθαι, monente Porsono.

24. καὶ νῦν] Hæc ex margine Steph. libro Brodæi, Paris. Eton. adjecit Zeune, quæ mihi dictionem Xenophonteam minime redolere videntur. Expectabam equidem ἤδη.

πάντες δὴ] Ex Eton. δὴ adjunxi vulgo omissum.

1. ὑπερβάλλουσι] Montes trajecisse arguit verbum. Sed mallem addidisset nomen Græcorum et Seuthæ Xenophon.

ὑπὲρ] Paris. ὑπὸ habet. Δέλτα ex h. l. memorat Eustathius ad Dionysii Periegesin versu 242. de quo audi P. Gyllium de Bosporo Thracio p. 153. *Equidem a Bosporo obivi pedibus ad Salmydessum oram Ponti importuosam, longe lateque apertam septentrionibus ventis; in medio itinere vidi locum, quem Xenophon appellat Delta, cæteri scriptores Delcon sive Delconem: hodie nominant* Dercon; *id oppidum est, quod ab urbe Byzantio abest iter pedestre unius diei. Ex tribus partibus clauditur lacu dulci, nisi cum tempestatibus mare incitatum exiguo Euripo intromittit, a quo piscis Delcon appellatur, ab Athenæo commemoratus. Is qualis sit, in nostris piscationibus informabitur.* Hucusque Gyllius. Athenæus libro iii. p. 118. ex Euthydemo medico memorat δελκανὸν—ἀπὸ Δέλκωνος τοῦ ποταμοῦ. ad quem Casaubonus ex Hesychio Δέλκον, λίμνην ἰχθυοφόρον περὶ τὴν Θρᾴκην, comparavit. Gyllii locum ignoravit etiam nuperus Editor Athenæi.

Μαισάδου] Junt. Steph. Μησάδου, Castal. Μηδυσάδου, Guelf. Μυσάδου, Eton. Μεσάδου, Paris. Μαισόδου. Cf. ad vii. 2, 32.

Τήρου] Edd. vett. Guelf. Τηρίου, Paris. Τήρους.

ἀρχαίου τινὸς] Zeune putat eundem esse, de quo supra vii. 2, 22. ubi Τήρης Seuthæ πρόγονος vocatur. Quidni igitur Xenophon repetiit τοῦ Σεύθου προγόνου. Deinde mirum genus dicendi mihi videbatur esse hoc αὕτη δ' ἦν οὐκέτι ἀρχὴ Μαισάδου, viventis tum, ἀλλὰ Τήρου, qui tum diu mortuus inter antiquos censebatur. Dicendum potius fuerat, incolas ejus regionis olim paruisse Teri, tunc excusso regum jugo liberos fuisse et αὐτονόμους. Hutchinson Teren putat eundem, de quo Thucydides ii. 29. ὁ δὲ Τήρης οὗτος ὁ τοῦ Σιτάλκου πατὴρ πρῶτος Ὀδρύσαις τὴν μεγάλην βασιλείαν ἐπὶ πλέον

Καὶ ὁ Ἡρακλείδης ἐνταῦθα ἔχων τὴν τιμὴν τῆς λείας 2
παρῆν. Καὶ Σεύθης, ἐξαγαγὼν ζεύγη ἡμιονικὰ τρία,
(οὐ γὰρ ἦν πλείω) τὰ δ᾽ ἄλλα βοεικὰ, καλέσας Ξενο-
φῶντα ἐκέλευσε λαβεῖν, τὰ δ᾽ ἄλλα διανεῖμαι τοῖς
στρατηγοῖς καὶ λοχαγοῖς. Ξενοφῶν δὲ τάδ᾽ εἶπεν· 3
Ἐμοὶ μὲν τοίνυν ἀρκεῖ καὶ αὖθις λαβεῖν· τούτοις δὲ τοῖς
στρατηγοῖς δωροῦ, οἳ σὺν ἐμοὶ ἠκολούθησαν, καὶ λοχα-
γοῖς. Καὶ τῶν ζευγῶν λαμβάνει ἓν μὲν Τιμασίων ὁ Δαρ- 4
δανεὺς, ἓν δὲ Κλεάνωρ ὁ Ὀρχομένιος, ἓν δὲ Φρυνίσκος ὁ
Ἀχαιός· τὰ δὲ βοεικὰ ζεύγη τοῖς λοχαγοῖς κατεμερί-
σθη. Τὸν δὲ μισθὸν ἀποδίδωσιν, ἐξεληλυθότος ἤδη τοῦ
μηνὸς, εἴκοσι μόνον ἡμερῶν· ὁ γὰρ Ἡρακλείδης ἔλεγεν,
ὅτι οὐ πλεῖον ἐμπολῆσαι. Ὁ οὖν Ξενοφῶν ἀχθεσθεὶς 5
εἶπε· Δοκεῖς μοι, ὦ Ἡρακλείδη, οὐχ ὡς δεῖ κήδεσθαι
Σεύθου· εἰ γὰρ ἐκήδου, ἧκες ἂν πλήρη φέρων τὸν μι-
σθὸν, καὶ προσδανεισάμενος, εἰ μή γ᾽ ἄλλως ἐδύνω, καὶ
ἀποδόμενος τὰ σαυτοῦ ἱμάτια.

Ἐντεῦθεν ὁ Ἡρακλείδης ἠχθέσθη τε, καὶ ἔδεισε, μὴ 6
ἐκ τῆς Σεύθου φιλίας ἐκβληθείη· καὶ ὅ τι ἐδύνατο ἀπὸ
ταύτης τῆς ἡμέρας Ξενοφῶντα διέβαλλε πρὸς Σεύθην.

τῆς ἄλλης Θράκης ἐποίησε. Recte! Sed ita Xenophon dicere debebat τοῦ τῶν Ὀδρυσῶν ἀρχαίου βασιλέως. Sed articulus τοῦ post Τήρου additus monet, Teren filium Odrysi, antiqui illius, a quo Odrysii populi appellati fuerint, intelligi voluisse Xenophontem. Igitur post Ὀδρύσου comma posui. Inter Thraciæ εὐπατρίδας numeratur Τίρις καὶ Δρομιχαίτης Polyæno iv. 16. Τήρης ὁ Σιτάλκου πατὴρ est in Plutarchi Apophthegm. p. 87. ed. Hutten.

4. λαμβάνει] Male Guelf. λαμβάνειν scriptum habet.

Φρυνίσκος] Paris. Eton. Φίληξ habent. Sequens κατεμερίσθη recepi ex iisdem libris in locum vulgati κατεμέρισε.

οὐ πλεῖον ἐμπολῆσαι] Guelf. cum Edd. vett. οὔτε. Deinde ἐμποδίσαι Eton. Vulgatum ἐμπωλῆσαι monente Piersono ad Mœrin. p. 156. et Porsono correxi.

5. ἀχθεσθεὶς εἶπε] Margo Steph. Paris. Eton. εἶπεν ἐπομόσας plenius habent; sed mihi ἐπομόσας, quod ab h. l. alienum est, videtur inserendum in narratione de Heraclide ἔλεγεν ἐπομόσας. Digna enim hominis fraudulenti ingenio affirmatio juramento addito videtur.

σαυτοῦ] Edd. vett. Guelf. ἑαυτοῦ. quod ubique ut magis Atticum præferendum censebat Porson.

6. Ἐντεῦθεν ὁ] Edd. vett. Guelf. ἐντεῦθέν τε habent. Deinde διέβαλε Paris.

7 Οἱ μὲν δὴ στρατιῶται Ξενοφῶντι ἐνεκάλουν, ὅτι οὐκ εἶχον
τὸν μισθόν· Σεύθης δὲ ἤχθετο αὐτῷ, ὅτι ἐντόνως τοῖς
8 στρατιώταις ἀπῄτει τὸν μισθόν. Καὶ τέως μὲν ἀεὶ ἐμέ-
μνητο, ὡς, ἐπειδὰν ἐπὶ θάλατταν ἀπέλθῃ, παραδώσοι
αὐτῷ Βισάνθην καὶ Γάνον καὶ Νέον τεῖχος· ἀπὸ δὲ τού-
του τοῦ χρόνου οὐδενὸς ἔτι τούτων ἐμέμνητο. Ὁ μὲν γὰρ
Ἡρακλείδης καὶ τοῦτο διαβεβλήκει, ὡς οὐκ ἀσφαλὲς εἴη,
τείχη παραδιδόναι ἀνδρὶ δύναμιν ἔχοντι.
9 Ἐκ τούτου ὁ μὲν Ξενοφῶν ἐβουλεύετο, τί χρὴ ποιεῖν
περὶ τοῦ ἔτι ἄνω στρατεύεσθαι· ὁ δ᾽ Ἡρακλείδης, εἰσ-
αγαγὼν τοὺς ἄλλους στρατηγοὺς πρὸς Σεύθην, λέγειν τε
ἐκέλευεν αὐτοὺς, ὅτι οὐδὲν ἂν ἧττον σφεῖς ἀγάγοιεν τὴν
στρατιὰν, ἢ Ξενοφῶν, τόν τε μισθὸν ὑπισχνεῖτο αὐτοῖς ἐν-
τὸς ὀλίγων ἡμερῶν ἔκπλεων παρέσεσθαι δυοῖν μηνοῖν·
10 συστρατεύεσθαί τε ἐκέλευε. Καὶ ὁ Τιμασίων εἶπεν·
Ἐγὼ μὲν τοίνυν, οὐδ᾽ ἂν πέντε μηνῶν μισθὸς μέλλῃ εἶ-
ναι, στρατευσαίμην ἂν ἄνευ Ξενοφῶντος. Καὶ ὁ Φρυνί-
σκος καὶ Κλεάνωρ συνωμολόγουν Τιμασίωνι.
11 Ἐντεῦθεν Σεύθης ἐλοιδόρει τὸν Ἡρακλείδην, ὅτι οὐ

7. οἱ μὲν δὴ] Eton. οἱ μὲν οὖν. Ex eodem sequenti sectione ἀπέλθῃ reposuit Zeune; solœcum ἀπέλθοι revocavit Weiske.

8. παραδώσοι] Ita cum Guelf. Zeune. παραδώσω Juntina. Vulgatum παραδώσει revocavit Weiske.

Βισάνθην] Guelf. Βισάνθιν. Plinius iv. sect. 18. *At in ora amnis Erginus oppidum fuit Ganos: deseritur et Lysimachia jam in Cherroneso.* ubi antea legebatur *Gonos.* Scylacis Periplus p. 28. ed. Hudsoni: Μετὰ τὴν Χεῤῥόνησον ἐστὶ Θράκια τείχη τάδε· πρῶτον Λευκὴ ἀκτὴ, Τειρίστασις, Ἡράκλεια, Γᾶνος, Γανίαι, Νέον τεῖχος, Πείρινθος πόλις καὶ λιμὴν, Δαμινὸν τεῖχος, Σηλυμβρία πόλις καὶ λιμήν. Æschines c. Ctesiph. p. 474. nominat Σέῤῥιον τεῖχος καὶ Δορίσκον καὶ Ἐργίσκην καὶ Μουργίσκην καὶ Γάνος καὶ Γανίδα. Cf. Valesius ad Harpocrat. p. 16.

9. ἐβουλεύετο] Merito Weiske desiderat mentionem arcessiti a Seuthe Xenophontis et propositi belli per superiorem Thraciam gerendi. Idem ἔτι ἀνωτέρω scriptum malebat.

ἔκπλεων] Omisit liber Eton. recte puto; aut excidisse verba plura putandum. Debebatur enim militibus stipendium (vide sect. 4.) plurium dierum mensis præteriti; huc refertur ἔκπλεων μισθόν; sed quod additur δυοῖν μηνοῖν, novam spem militibus et ducibus facere vult Heraclides, quasi stipendium in duos menses paratum et in promtu sit.

10. μέλλῃ] Castalio μέλλοι dedit. Sequens ἂν ante ἄνευ omissum malim, quanquam repeti interdum ἂν bene sciam.

παρακαλεῖ καὶ Ξενοφῶντα. Ἐκ δὲ τούτου παρακα-
λοῦσιν αὐτὸν μόνον. Ὁ δὲ γνοὺς τοῦ Ἡρακλείδου τὴν
πανουργίαν, ὅτι βούλοιτο αὐτὸν διαβάλλειν πρὸς τοὺς
ἄλλους στρατηγοὺς, παρέρχεται λαβὼν τούς τε στρατη-
γοὺς πάντας καὶ τοὺς λοχαγούς. Καὶ ἐπεὶ πάντες 12
ἐπείσθησαν, συνεστρατεύοντο, καὶ ἀφικνοῦνται, ἐν δεξιᾷ
ἔχοντες τὸν Πόντον, διὰ τῶν Μελινοφάγων καλουμένων
Θρᾳκῶν, εἰς τὸν Σαλμυδησσόν. Ἔνθα τῶν εἰς τὸν Πόν-
τον πλεουσῶν νηῶν πολλαὶ ὀκέλλουσι καὶ ἐκπίπτουσι·
τέναγος γάρ ἐστιν ἐπὶ πάμπολυ τῆς θαλάττης. Καὶ οἱ 13
Θρᾷκες οἱ κατὰ ταῦτα οἰκοῦντες, στήλας ὁρισάμενοι, τὰ
καθ' αὑτοὺς ἕκαστοι ἐκπίπτοντα λῄζονται· τέως δ' ἐλέ-
γοντο, πρὶν ὁρίσασθαι, ἁρπάζοντες πολλοὶ ὑπ' ἀλλήλων
ἀποθνήσκειν. Ἐνταῦθα εὑρίσκοντο πολλαὶ μὲν κλίναι, 14

11. *καὶ Ξενοφῶντα*] Ita margo Steph. Paris. Eton. Vulgo erat *τὸν Ξεν.*

12. *Πόντον*] Aldina, Guelf. *τόπον.* Melinophagos ex h. l. et Theopompi Chii historiis commemorat Stephanus Byzantinus. Qui fuerint, mox videbimus.

Σαλμυδησσὸν] Libri antiquiores *Σαλμυδισσὸν*, Paris. Eton. *Ἁλμυδησσόν.*

ὀκέλλουσι] Edd. vett. *ὠκέλλουσι* habent. Sequens *ἐπὶ πάμπολυ* pro vulgato *ἐπὶ πολὺ* dedit Paris. Eton. Scymnus Chius: *εἶτ' αἰγιαλός τις Σαλμυδησσὸς λεγόμενος ἐφ' ἑπτακόσια στάδια τεναγώδης ἄγαν καὶ δυσπρόσορμος ἀλίμενός τε παντελῶς παρατέταται, τοῖς ναύταις ἐχθρώτατος τόπος.* Strabo vii. p. 438. ed. Siebenk. de Salmydesso: *ἔστι δὲ οὗτος ἔρημος αἰγιαλὸς καὶ λιθώδης, ἀλίμενος, ἀναπεπταμένος πολὺς πρὸς τοὺς βορέας, σταδίων ὅσον ἑπτακοσίων μέχρι Κυανέων τὸ μῆκος, πρὸς ὃν οἱ ἐκπίπτοντες ὑπὸ τῶν Ἀστῶν διαρπάζονται τῶν ὑπερκειμένων, Θρᾳκίου ἔθνους.* Idem p. 442. *Ὑπέρκειται δὲ τοῦ Βυζαντίου τὸ τῶν Ἀστῶν ἔθνος, ἐν ᾧ Καλύβη πόλις, Φιλίππου τοῦ Ἀμύντου τοὺς πονηροτάτους ἐνταῦθα ἱδρύσαντος.* Hos igitur Astos esse puto *Μελινοφάγους Θρᾷκας* Xenophontis. Hinc Astice regio Plinii, *Ἀστικὴ στρατηγία* Ptolemæi. Æschylus Promethei versu 732. *Σαλμυδησία γνάθος τραχεῖα Πόντου, ἐχθρόξενος ναύτησι, μητρυιὰ νεῶν.*

13. *στήλας ὁρισάμενοι*] Hutchinson *ἐρεισάμενοι* et deinceps *ἐρείσασθαι* maluit, Morus *στήλαις*, vulgatum Zeune interpretatur *columnas tanquam terminos statuere.* Deinceps *ἕκαστα* habent Edd. vett. Guelf.

ἐλέγοντο] Margo Steph. Paris. Eton. *ἐλέγοντο πρὶν ὁρίσασθαι ἁρπάζοντας πολλούς.*

ἀποθνήσκειν] Arrianus Peripli Ponti p. 25. de Salmydesso: *τούτου τοῦ χωρίου μνήμην πεποίηται Ξενοφῶν ὁ πρεσβύτερος, καὶ μέχρι τούτου λέγει τὴν στρατιὰν ἐλθεῖν τῶν Ἑλλήνων, ἧς αὐτὸς ἡγήσατο, ὅτε τὰ τελευταῖα σὺν Σεύθῃ τῷ Θρᾳκὶ ἐστράτευσεν· καὶ περὶ τῆς ἀλιμενότητος τοῦ χωρίου πολλὰ ἀνέγραψεν, ὅτι ἐνταῦθα ἐκπίπτει τὰ πλοῖα χειμῶνι βιαζόμενα, καὶ οἱ Θρᾷκες οἱ πρόσχωροι ὅτι ὑπὲρ τῶν ναυαγίων ἐν σφίσιν διαμάχονται.* In Fragmento Peripli Ponti p. 15. ed. Hudsoni primum *Θυνιὰς* dicitur *εὐλίμενος ἄκρα τῆς Ἀστι-*

πολλὰ δὲ κιβώτια, πολλαὶ δὲ βίβλοι, καὶ τἄλλα πολλὰ, ὅσα ἐν ξυλίνοις τεύχεσι ναύκληροι ἄγουσιν. Ἐντεῦ-
15 θεν ταῦτα καταστρεψάμενοι, ἀπῄεσαν πάλιν. Ἔνθα δὴ Σεύθης εἶχε στράτευμα ἤδη πλέον τοῦ Ἑλληνικοῦ· ἔκ τε γὰρ Ὀδρυσῶν πολὺ ἔτι πλείους καταβεβήκεσαν, καὶ οἱ ἀεὶ πειθόμενοι συνεστρατεύοντο. Κατηυλίσθησαν δὲ ἐν τῷ πεδίῳ ὑπὲρ Σηλυβρίας, ὅσον πεντήκοντα σταδίους
16 ἀπέχοντες τῆς θαλάττης. Καὶ μισθὸς μὲν οὐδείς πω ἐφαίνετο· πρὸς δὲ τὸν Ξενοφῶντα οἵ τε στρατιῶται πάνυ χαλεπῶς εἶχον, ὅ τε Σεύθης οὐκέτι οἰκείως διέκειτο,

κῆς Θρᾴκης ὑπάρχουσα. deinde repetuntur verba supra posita, quibus adduntur hæc: οὗτος δ' ὁ Ἁλμυδισσὸς αἰγιαλὸς ἐφ' ἑπτακόσια στάδια τεναγώδης ἄγαν καὶ et reliqua, quæ supra ex Scymno posui, nisi quod hic est ταῖς ναυσὶν ἐχθρότατος τόπος. Denique Diodorus partem narrationis Xenophonteæ sed mutilatæ retulit in libri xiv. c. 37. his verbis: οἱ δὲ πλεῖστοι στρατιωτικὸν εἰθισμένοι ζῆν βίον, καὶ σχεδὸν ὄντες πεντακισχίλιοι, στρατηγὸν αὐτῶν εἵλοντο Ξενοφῶντα, ὃς ἀναλαβὼν τὴν δύναμιν ὥρμησε πολεμήσων Θρᾷκας τοὺς περὶ τὸν Σαλμυδησσὸν οἰκοῦντας· οὗτος δ' ἐστὶ μὲν ἐπ' ἀριστερᾷ τοῦ Πόντου, παρεκτείνων δ' ἐπὶ πολὺ πλεῖστα ποιεῖ ναυάγια. Οἱ μὲν οὖν Θρᾷκες εἰώθεισαν περὶ τούτους τοὺς τόπους ἐφεδρεύοντες τοὺς ἐκπίπτοντας τῶν ἐμπόρων αἰχμαλωτίζειν. Ὁ δὲ Ξενοφῶν μετὰ τῶν συνηθροισμένων στρατιωτῶν ἐμβαλὼν αὐτῶν ἐς τὴν χώραν, μάχῃ τε ἐνίκησε καὶ τὰς πλείστας τῶν κωμῶν ἐνέπρησε. ubi vides res antea gestas cum posterioribus turpiter misceri. Præterea Xenophon ipse infra cap. 7, 23. ἑξακισχιλίους ponit Græcos.

14. εὑρίσκοντο] Ita Paris. Eton. Vulgatum εὑρίσκονται decebat potius περιηγητὴν, non rerum a se gestarum narratorem.

βίβλοι] Liber Brodæi et Paris. γεγραμμένοι habet, quod supplementum ideo repudiat Larcher, quod librorum scriptorum tum magna fuerit raritas, nec verosimile sit, eos a mercatoribus fuisse in oras barbarorum transvectos. Ipse igitur scribi voluit βυβλία πολλὰ, *funiculos*, *rudentes*, *restes* interpretatus. Cui respondit Zeune ita, ut moneret naves ejectas tempestate in oram barbarorum sine dubio iter instituisse in alteram Ponti oram, ad Chersonesum Tauricam et Bosporum Cimmerium, quæ loca coloniis Græcis frequentarentur. Deinde suspicatur βίβλους esse non tam libros scriptos, sed fasciculos chartæ, cum in loco Theopompi historici apud Longinum c. 43. inter dona Ægyptiorum regi Persarum oblata numerentur etiam χάρται βιβλίων. Addit varium usum papyri ex Theophrasti loco: καὶ ἐκ τῆς βίβλου ἱστία τε πλέκουσι καὶ ψιάθους καὶ ἐσθῆτάς τινας καὶ στρωμνὰς καὶ σχοινία καὶ ἕτερα πλείω. Opinionem hanc posteriorem amplectitur Weiske.

15. ἤδη πλέον] Ex libro Brodæi, Guelf. Paris. Eton. ἤδη adjeci cum Weiskio; compara cap. 4. sect. 21.

ἔτι πλείους] Edd. vett. Guelf. πλέον habent. deinde οἱ αὐτοὶ πειθόμενοι.

Σηλυβρίαν] Ita vett. Edd. Guelf. Σηλυμβρίαν Steph. Σηλυβρίας dedi cum Paris. Eton.

πεντήκοντα] Margo Steph. Paris. Eton. τριάκοντα numerant. Præterea ὅσον Eton. omittit.

16. πρὸς δὲ τὸν] Edd. vett. Guelf. καὶ πρὸς μὲν habent. Sequens πάνυ χαλεπῶς ex Guelf. recepi. Margo Steph. Paris. Eton. παγχαλεπῶς dant. Vulgabatur πάντες χαλεπῶς.

ἀλλ' ὁπότε συγγενέσθαι αὐτῷ βουλόμενος ἔλθοι, πολλαὶ ἤδη ἀσχολίαι ἐφαίνοντο.

CAP. VI.

EN δὲ τούτῳ τῷ χρόνῳ, σχεδὸν ἤδη δύο μηνῶν ὄντων, ἀφικνοῦνται Χαρμῖνός τε ὁ Λάκων καὶ Πολύνεικος παρὰ Θίμβρωνος· καὶ λέγουσιν, ὅτι Λακεδαιμονίοις δοκεῖ στρατεύεσθαι ὡς ἐπὶ Τισσαφέρνην, καὶ Θίμβρων ἐκπέπλευκεν ὡς πολεμήσων· καὶ δεῖται ταύτης τῆς στρατιᾶς, καὶ λέγει, ὅτι δαρεικὸς ἑκάστῳ ἔσται μισθὸς τοῦ μηνὸς, καὶ τοῖς λοχαγοῖς διμοιρία, καὶ τοῖς στρατηγοῖς τετραμοιρία. 2
Ἐπεὶ δ' ἦλθον οἱ Λακεδαιμόνιοι, εὐθὺς ὁ Ἡρακλείδης, πυθόμενος, ὅτι ἐπὶ τὸ στράτευμα ἥκουσι, λέγει τῷ Σεύθῃ, ὅτι κάλλιστον γεγένηται· Οἱ μὲν γὰρ Λακεδαιμόνιοι δέονται τοῦ στρατεύματος, σὺ δὲ οὐκ ἔτι δέῃ· ἀποδιδοὺς δὲ τὸ στράτευμα αὐτοῖς χαριεῖ, σὲ δὲ οὐκ ἔτι ἀπαιτήσονται τὸν μισθὸν, ἀλλ' ἀπαλλάξονται ἐκ τῆς χώρας.

Ἀκούσας ταῦτα ὁ Σεύθης, κελεύει παράγειν· καὶ 3
ἐπεὶ εἶπον, ὅτι ἐπὶ τὸ στράτευμα ἥκουσι, λέγει, ὅτι τὸ στράτευμα ἀποδίδωσι, φίλος τε καὶ σύμμαχος βούλεται εἶναι, καλεῖ τε αὐτοὺς ἐπὶ ξενίᾳ. Καὶ ἐξένιζε μεγα-

ἐφαίνοντο] Vulgatum ἐγίνοντο ex margine Steph. libro Brodæi, Paris. Eton. cum Weiskio correxi. ἐγένοντο est in Edd. vett. et Guelf.

1. Θίμβρωνος] Edd. vett. Guelf. Θίβρωνος. Cf. ad Hellenic. iii. 1, 3. seqq.

ὡς ἐπὶ] Paris. Eton. omittunt ὡς. Verba καὶ τοῖς στ. τετραμοιρία desunt in Juntina.

2. ἐπὶ τὸ στράτευμα] Ad arcessendum et avocandum exercitum.

κάλλιστον] Ita liber Brodæi, Paris. Eton. Vulgo est κάλλιον. iidem libri sequens οὐκ ἔτι δέῃ dederunt pro οὐ δέῃ, quod erat ante Zeunianam.

ἀπαιτήσονται] Ita Eton. pro ἀπαιτήσουσι, quod vulgabatur.

ἐκ τῆς χώρας] Vulgatum ἐκ τῆς γῆς ex margine Steph. Paris. Eton. correxi, cum propter auctoritatem optimorum librorum, tum maxime ob numeros orationis.

3. παράγειν] Lacedæmonios legatos jubet adduci. Deinde σύμμαχος ὡς λέγεται εἶναι habet margo Villois. in qua scriptura forte ὡς βούλεται εἶναι latet.

ἐπὶ ξενίᾳ. Καὶ] Vulgatam distinctionem εἶναι· καλεῖ τε—ἐπὶ ξενίᾳ, καὶ ἐξένιζε mutavi, ut priora verba ad orationem Seuthæ referantur: tempus etiam præsens καλεῖ suadet ita. Vulgatum ἐπὶ ξένια correxit Hutchinson.

λοπρεπῶς. Ξενοφῶντα δὲ οὐ καλεῖ, οὐδὲ τῶν ἄλλων
4 στρατηγῶν οὐδένα. Ἐρωτώντων δὲ τῶν Λακεδαιμονίων,
τίς ἀνὴρ εἴη Ξενοφῶν, ἀπεκρίνατο, ὅτι τὰ μὲν ἄλλα εἴη οὐ
κακὸς, φιλοστρατιώτης δέ· καὶ διὰ τοῦτο χεῖρόν ἐστιν
αὐτῷ. Καὶ οἱ εἶπον· Ἀλλ' ἦ δημαγωγεῖ ὁ ἀνὴρ τοὺς
5 ἄνδρας; Καὶ ὁ Ἡρακλείδης· Πάνυ μὲν οὖν, ἔφη. Ἆρ'
οὖν, ἔφασαν, μὴ καὶ ἡμῖν ἐναντιώσεται περὶ τῆς ἀπαγω-
γῆς; Ἀλλ' ἢν ὑμεῖς, ἔφη ὁ Ἡρακλείδης, συλλέξαντες
αὐτοὺς ὑπόσχησθε τὸν μισθὸν, ὀλίγον ἐκείνῳ προσχόντες
6 ἀποδραμοῦνται σὺν ὑμῖν. Πῶς ἂν οὖν, ἔφασαν, ἡμῖν
συλλεγεῖεν; Αὔριον ὑμᾶς, ἔφη ὁ Ἡρακλείδης, πρωῒ
ἄξομεν πρὸς αὐτούς· καὶ οἶδα, ἔφη, ὅτι, ἐπειδὰν ὑμᾶς
ἴδωσιν, ἄσμενοι συνδραμοῦνται. Αὕτη μὲν ἡ ἡμέρα οὕ-
τως ἔληξε.

7 Τῇ δ' ὑστεραίᾳ ἄγουσιν ἐπὶ τὸ στράτευμα τοὺς Λά-
κωνας Σεύθης τε καὶ Ἡρακλείδης, καὶ συλλέγεται ἡ
στρατιά· τὼ δὲ Λάκωνε ἐλεγέτην, ὅτι Λακεδαιμονίοις
δοκεῖ πολεμεῖν Τισσαφέρνει, τῷ ὑμᾶς ἀδικήσαντι· ἢν οὖν

4. τίς ἀνὴρ] Edd. vett. Guelf. ὅτι τίς ἀνήρ.

χεῖρόν ἐστιν αὐτῷ] Weiske sententiam non satis claram, ut in Xenophonte, esse censens ex sect. 39. addi volebat: πρός τε τῶν Λακεδαιμονίων καὶ πρὸς αὐτοῦ. *deteriori est conditione* græca interpretatur.

5. Ἆρ' οὖν—μὴ] Ut in Platonis Gorgia sect. 34. est: ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρθῶς κολάζοντες; et sect. 35. ἆρ' οὖν οὐ περὶ τούτου ἠμφισβητήσαμεν; ita in media oratione Memorab. ii. 6, 34. ἆρα μὴ διαβάλλεσθαι δόξεις ὑπ' ἐμοῦ; Formulæ ἆρ' οὖν οὐκ exempla alia Platonica posuit Hoogeveen Schützii p. 101. ἆρα μὴ ex loco Memorab. habet p. 97. sed ἆρ' οὖν μὴ omisit. Locum Sophoclis Antigonæ 632. ὦ παῖ, τελείαν ψῆφον ἆρα μὴ κλύων τῆς μελλονύμφου, πατρὶ λυσσαίνων πάρει; recte correxit G. Hermann. ad Vigerum p. 789. ἆρά μοι scribens. Addo nunc simillimum Platonis locum in Protagora p. 90. ed. Bip. ἀλλ' ἆρα μὴ οὐ τοιαύτην ὑπολαμβάνεις σου τὴν παρὰ Πρωταγόρου μάθησιν ἔσεσθαι, ἀλλ' οἵαπερ ἡ παρὰ τοῦ γραμματιστοῦ ἐγένετο. quem locum frustra tentavit Stephanus ὅρα pro ἄρα conjiciens, quod ipsum ex Ficini versione ductum est.

περὶ τῆς] Eton. præpositionem omisit.

ὑπόσχησθε] Eton. ὑπόσχοισθε, quod cum ἢν non coit.

ἐκείνῳ προσχόντες] Leonclavius et Hutchinson commate post participium posito referunt hæc ad legatos, rectius Stephanus ad milites. Ceterum ἐν πόνῳ habent Paris. Eton. παρασχόντες Juntina et Guelf. Deinde σὺν ἡμῖν Eton.

6. ἔφη, ὅτι] Guelf. ἔφη, ὡς habet.

ἴητε σὺν ἡμῖν, τόν τε ἐχθρὸν τιμωρήσεσθε, καὶ δαρεικὸν ἕκαστος οἴσει τοῦ μηνὸς ὑμῶν· λοχαγὸς δὲ, τὸ διπλοῦν· στρατηγὸς δὲ, τὸ τετραπλοῦν. Καὶ οἱ στρατιῶται ἄσμε- 8
νοί τε ἤκουσαν, καὶ εὐθὺς ἀνίσταταί τις τῶν Ἀρκάδων, τοῦ Ξενοφῶντος κατηγορήσων. Παρῆν δὲ καὶ Σεύθης, βουλόμενος εἰδέναι, τί πραχθήσεται· καὶ ἐν ἐπηκόῳ εἱστήκει, ἔχων τὸν ἑρμηνέα· συνίει δὲ καὶ αὐτὸς Ἑλληνιστὶ τὰ πλεῖστα. Ἔνθα δὴ λέγει ὁ Ἀρκάς· Ἀλλ' ἡμεῖς 9
μὲν, ὦ Λακεδαιμόνιοι, καὶ πάλαι ἂν ἦμεν παρ' ὑμῖν, εἰ μὴ Ξενοφῶν δεῦρο ἡμᾶς πείσας ἀπήγαγεν· ἔνθα δὴ ἡμεῖς μὲν τὸν δεινὸν χειμῶνα στρατευόμενοι καὶ νύκτα καὶ ἡμέραν οὐδὲν πεπάμεθα· ὁ δὲ τοὺς ἡμετέρους πόνους ἔχει· καὶ Σεύθης ἰδίᾳ μὲν ἐκεῖνον πεπλούτικεν, ἡμᾶς δὲ ἀποστερεῖ τὸν μισθόν· ὥστε, ὅ γε πρῶτος λέγων, ἐγὼ 10
μὲν, ἔφη, εἰ τοῦτον ἴδοιμι καταλευσθέντα, καὶ δόντα δίκην, ὧν ἡμᾶς περιεῖλκε, καὶ τὸν μισθὸν ἄν μοι δοκῶ ἔχειν, καὶ οὐδὲν ἂν ἔτι τοῖς πεπονημένοις ἄχθεσθαι. Μετὰ τοῦτον ἄλλος ἀνέστη ὁμοίως καὶ ἄλλος. Ἐκ δὲ τούτων Ξενοφῶν ἔλεξεν ὧδε·

Ἀλλὰ πάντα μὲν ἄρα ἄνθρωπον ὄντα προσδοκᾶν δεῖ, 11

7. ἴητε—τόν τε] Edd. vett. Guelf. Eton. ἦτε. Sequens τε omittit Eton.

9. Ἀλλ' ἡμεῖς μὲν] Hæc verba omisit Eton. Deinde margo Villois. habet ἔνθα γε μὲν τὸν δεινόν.

πεπάμεθα] Vulgatum πεπαύμεθα ex libris scriptis Stephani præeunte Welsio et Hutchinsono correxit Zeune.

πεπλούτικεν] Edd. vett. Guelf. Paris. Eton. male πεπλούτηκεν.

10. ὅ γε πρῶτος λέγων] Xenophontis hæc esse narrantis, non Arcadis accusantis verba, docet ipsa structura eorum. Weiske in iis vim nescio quam inesse putabat, ut demonstretur, quam inique cum Xenophonte egerint milites, cum is, qui primo loco dicebat, nondum exploratis aliorum sententiis, neque inflammatus aliorum invidiosa oratione, ausus sit ipsum turpi morte dignum pronuntiare. Mihi vero verba aliena ab h. l. et spuria esse videbantur.

πεπονημένοις] Hoc pro vulgato πεποιημένοις Hutchinson dedit ex Paris. et Eton. Sed in Paris. est καὶ οὐδὲν ἐπὶ τοῖς πεπονημένοις. Margo etiam Steph. ἐπὶ commemoravit.

ἄλλος ἀνέστη] Edd. vett. Guelf. ἄλλος ἀνέστη ἄν. Hinc suborta est Zeunio conjectura satis inficeta: ἀνέστη, ἀνέστη ὁμοίως καὶ ἄλλος. Rectius Weiske comma vulgo positum post ἀνέστη sustulit.

Ἐκ δὲ τούτων] Guelf. ἐκ δὲ τούτου habet, quod præfero. Alia ratio est supra i. 3, 11. ὅ τι χρὴ ποιεῖν ἐκ τούτων.

11. μὲν ἄρα] Ex Paris. ἄρα addidi.

ὁπότε καὶ ἐγὼ νυνὶ μὲν ὑφ' ὑμῶν αἰτίας ἔχω, ἐν ᾧ πλεί-
στην προθυμίαν ἐμαυτῷ γε δοκῶ συνειδέναι περὶ ὑμᾶς
παρεσχημένος. Ἀπετραπόμην μέν γε ἤδη οἴκαδε ὡρ-
μημένος, μὰ τὸν Δία, οὔ τι πυνθανόμενος ὑμᾶς εὖ πράτ-
τειν, ἀλλὰ μᾶλλον ἀκούων ἐν ἀπόροις εἶναι, ὡς ὠφελή-
12 σων, εἴ τι δυναίμην. Ἐπεὶ δ' ἦλθον, Σεύθου τουτουῒ
πολλοὺς ἀγγέλους πρὸς ἐμὲ πέμποντος, καὶ πολλὰ ὑπι-
σχνουμένου ἐμοὶ, εἰ πείσαιμι ὑμᾶς πρὸς αὐτὸν ἐλθεῖν,
τοῦτο μὲν οὐκ ἐπεχείρησα ποιεῖν, ὡς αὐτοὶ ὑμεῖς ἐπίστα-
σθε· ἦγον δ', ὅθεν ᾤμην τάχιστ' ἂν ὑμᾶς εἰς τὴν Ἀσίαν
διαβῆναι. Ταῦτα γὰρ καὶ βέλτιστα ἐνόμιζον ὑμῖν εἶ-
13 ναι, καὶ ὑμᾶς ᾔδειν βουλομένους. Ἐπεὶ δὲ Ἀρίσταρχος,
ἐλθὼν σὺν τριήρεσιν, ἐκώλυσε διαπλεῖν ἡμᾶς, ἐκ τούτου
(ὅπερ εἰκὸς δήπου ἦν) συνέλεξα ὑμᾶς, ὅπως βουλευσαί-
14 μεθα, ὅ τι χρὴ ποιεῖν. Οὐκοῦν ὑμεῖς ἀκούοντες μὲν
Ἀριστάρχου ἐπιτάττοντος ὑμῖν εἰς Χερρόνησον πορεύεσθαι,
ἀκούοντες δὲ Σεύθου πείθοντος ἑαυτῷ συστρατεύεσθαι,
πάντες μὲν ἐλέγετε σὺν Σεύθῃ ἰέναι, πάντες δ' ἐψηφί-
σασθε ταῦτα. Εἴ τι οὖν ἐγὼ ἐνταῦθα ἠδίκησα, ἀγα-
15 γὼν ὑμᾶς, ἔνθα πᾶσιν ὑμῖν ἐδόκει, εἴπατε. Ἐπεί γε
μὴν ψεύδεσθαι ἤρξατο Σεύθης περὶ τοῦ μισθοῦ, εἰ μὲν
ἐπαινῶ αὐτόν, δικαίως ἄν με καὶ αἰτιῷσθε καὶ μισοῖτε·

Sequens νυνὶ ex Junt. Guelf. Paris. recepit Zeune. αἰτίαν cum Hutchinsono dedit Weiske.

ἐμαυτῷ γε] Vulgo additum δή μοι ut solœcum damnat liber Eton. igitur omisi.

ὁρμώμενος] Margo Steph. Paris. Eton. ὡρμημένος οὐ, μὰ τὸν Δία. unde tempus unice verum accepi.

12. αὐτοὶ ὑμεῖς] Ex libro Brodæi et Eton. ὑμεῖς addidit Zeune.

ἦγον] Margo Steph. cum Paris. ἦκον. deinde ᾠόμην Eton. habet.

13. βουλευσαίμεθα] Edd. vett. Guelf. βουλευσώμεθα. Ceterum verba ὅπερ εἰκὸς δήπου ἦν alienum locum occupasse suspicor, et reponenda statim post ἡμᾶς. Hic enim, ubi nunc sunt, otiosa videntur esse.

14. ἐψηφίσασθε] Ita margo Steph. cum Paris. Vulgo est ἐπιψηφίσασθε.

Εἴ τι οὖν—εἴπατε] Eton. liber εἰ cum verbo εἴπατε omisit.

15. Ἐπεί γε μὴν] Margo Steph. ἐπεὶ δέ γε ὑμῖν. Paris. Eton. ἐπεὶ δὲ ὑμῖν.

ἄν με καὶ] Ex Guelf. καὶ addidit Zeune. Sequens πάντων primus addidit Stephanus.

εἰ δὲ πρόσθεν αὐτῷ πάντων μάλιστα φίλος ὤν, νῦν
πάντων διαφορώτατός εἰμι, πῶς ἂν ἔτι δικαίως, αἱρού-
μενος ὑμᾶς ἀντὶ Σεύθου, ὑφ' ὑμῶν αἰτίαν ἔχοιμι περὶ ὧν
πρὸς τοῦτον διαφέρομαι; Ἀλλ' εἴποιτε ἄν, ὅτι ἔξεστι, 16
καὶ τὰ ὑμέτερα ἔχοντα παρὰ Σεύθου τεχνάζειν. Οὐκ-
οῦν δῆλον τοῦτό γε, ὅτι, εἴπερ ἐμοὶ ἐτέλει τι Σεύθης, οὐχ
οὕτως ἐτέλει δήπου, ὡς ὧν τε ἐμοὶ δοίη στεροῖτο, καὶ
ἄλλα ὑμῖν ἀποτίσειεν; Ἀλλ' οἶμαι, εἰ ἐδίδου, ἐπὶ τούτῳ
ἂν ἐδίδου, ὅπως ἐμοὶ δοὺς μεῖον, μὴ ἀποδοίη ὑμῖν τὸ
πλεῖον. Εἰ τοίνυν οὕτως ἔχειν οἴεσθε, ἔξεστιν ὑμῖν αὐ- 17
τίκα μάλα ματαίαν ταύτην τὴν πρᾶξιν ἀμφοτέροις ἡμῖν
ποιῆσαι, ἐὰν πράττητε αὐτὸν τὰ χρήματα. Δῆλον γάρ,
ὅτι Σεύθης, εἰ ἔχω τι παρ' αὐτοῦ, ἀπαιτήσει με, καὶ
ἀπαιτήσει μέντοι δικαίως, ἐὰν μὴ βεβαιῶ τὴν πρᾶξιν
αὐτῷ, ἐφ' ᾗ ἐδωροδόκουν. Ἀλλὰ πολλοῦ μοι δοκῶ δεῖν 18
τὰ ὑμέτερα ἔχειν· ὀμνύω γὰρ ὑμῖν θεοὺς ἅπαντας καὶ
πάσας, μηδέ, ἃ ἐμοὶ ἰδίᾳ ὑπέσχετο Σεύθης, ἔχειν·
πάρεστι δὲ αὐτός, καὶ ἀκούων σύνοιδέ μοι, εἰ ἐπιορκῶ.
Ἵνα δὲ μᾶλλον θαυμάσητε, συνεπόμνυμι, μηδέ, ἃ οἱ 19
ἄλλοι στρατηγοὶ ἔλαβον, εἰληφέναι, μὴ τοίνυν μηδ' ὅσα

πῶς ἂν ἔτι] Ex Guelf. ἂν inserui, in quo est πῶς ἄν τι.

16. τοῦτό γε, ὅτι, εἴπερ] Etón. liber τοῦτό γε ἐστι, εἴπερ habet.

ὡς ὧν τε] Edd. vett. Guelf. ὡς, οὔτε ὧν habent; deinceps ἐπὶ τοῦτο — τὸ πλεῖστον.

17. παρ' αὐτοῦ] Ita cum margine Villois. Steph. Hutchinson et Weiske. ἀπ' αὐτοῦ dedit Zeune. Male ἔχω τε Hutchinson.

με, καὶ ἀπαιτήσει] Hæc ex libro Paris. et Eton. accesserunt, vulgo omisso, unde legitur soloece: αὐτοῦ, ἀπαιτήσει μέντοι δικαίως. In Edd. vett. est, ut in Guelf. ἀπαιτήσει μέν τε, in Castal. ἀπαιτήσει μέν γε.

βεβαιῶ τὴν πρᾶξιν αὐτῷ] Vulgatum αὐτοῦ correxi. βεβαιοῦν h. l. est idem, quod ἐμπεδοῦν. Cyrop. v. 1, 22. ἀλλὰ καὶ Ὑρκανίοις τοὺς ὅρκους καὶ τὰς δεξιάς, ἃς ἔδωκα, ἐμπεδώσω. viii. 8, 2. ὅτι πρότερον βασιλεὺς καὶ οἱ ὑπ' αὐτῷ καὶ τοῖς τὰ ἔσχατα πεποιηκόσιν, εἴ τε ὅρκους ὀμόσαιεν, ἠμπέδουν, εἴ τε δεξιὰς δοῖεν, ἐβεβαίουν.

ἐδωροδόκουν] Ita margo Steph. cum Paris. Vulgabatur ἐδωροδοκούμην. Utrumque eodem sensu dici, falso ait Zeune; δωροδοκεῖσθαι enim, quo utitur Demosthenes aliquoties, significat *corruptum muneribus facere aliquid.* Contra δωροδοκεῖν eidem, ut Aristophani aliisque Atticis scriptoribus, est *munera accipere.*

18. σύνοιδε] Junt. cum Guelf. συνίοι δὲ habent.

19. μὴ τοίνυν μηδ'] Frequentius dicitur μήτοι γε ὅσα, *dum, ne dicam.*

20 τῶν λοχαγῶν ἔνιοι. Καὶ τί δὴ ταῦτα ἐποίουν; Ὤμην,
ὦ ἄνδρες, ὅσῳ μᾶλλον συμφέροιμι τούτῳ τὴν τότε πενίαν,
τοσούτῳ μᾶλλον αὐτὸν φίλον μοι ἔσεσθαι, ὁπότε δυνη-
θείη. Ἐγὼ δὲ ἅμα ὁρῶ αὐτὸν εὖ πράττοντα, καὶ
21 γιγνώσκω δὴ αὐτοῦ τὴν γνώμην. Εἴποι δή τις ἄν· Οὔκ-
ουν αἰσχύνῃ οὕτω μωρῶς ἐξαπατώμενος; Ναὶ μὰ Δία
ᾐσχυνόμην μέντοι, εἰ ὑπὸ πολεμίου γε ὄντος ἐξηπατήθην·
φίλῳ δ᾽ ὄντι ἐξαπατᾷν αἴσχιόν μοι δοκεῖ εἶναι ἢ ἐξα-
22 πατᾶσθαι. Ἐπεί, εἴ γε πρὸς φίλους ἐστὶ φυλακή,
πᾶσαν οἶδα ὑμᾶς φυλαξαμένους, ὡς μὴ παρασχεῖν
τούτῳ πρόφασιν δικαίαν, μὴ ἀποδιδόναι ὑμῖν, ἃ ὑπέ-
σχετο· οὔτε γὰρ ἠδικήσαμεν τοῦτον οὐδὲν, οὔτε κατεβλα-
κεύσαμεν τὰ τούτου, οὔτε μὴν κατεδειλιάσαμεν οὐδὲν,
23 ἐφ᾽ ὅ τι ἡμᾶς οὗτος παρεκάλεσεν. Ἀλλὰ φαίητε ἂν,
ἔδει τὰ ἐνέχυρα τότε λαβεῖν, ὡς μηδὲ, εἰ ἐβούλετο, ἐδύ-
νατο ἂν ταῦτα ἐξαπατᾷν. Πρὸς ταῦτα δὲ ἀκούσατε, ἃ
ἐγὼ οὐκ ἄν ποτε εἶπον τούτου ἐναντίον, εἰ μή μοι παντά-
πασιν ἀγνώμονες ἐδοκεῖτε εἶναι, ἢ λίαν εἰς ἐμὲ ἀχάρι-
24 στοι. Ἀναμνήσθητε γὰρ, ἐν ποίοις τισὶν ὄντες πράγμα-
σιν ἐτυγχάνετε, ἐξ ὧν ὑμᾶς ἐγὼ ἀνήγαγον πρὸς Σεύθην.
Οὐκ εἰς μὲν Πέρινθον, εἰ προσίητε τῇ πόλει, Ἀρίσταρχος

20. *φίλον μοι ἔσεσθαι*] Margo Steph. Paris. Eton. *φίλον ποιήσεσθαι, ὁπότε δυνασθείη.*

καὶ γιγνώσκω—γνώμην] Verbis mitibus et oratione justo breviore utitur, ut Seuthæ præsenti parcat, recte monente Weiskio.

21. *μωρῶς*] Paris. *μωρὸς* habet; deinde Edd. vett. Guelf. *αἰσχύνομαι.*

πολεμίου γε ὄντος] Ita liber Brodæi, margo Steph. Paris. Eton. Vulgo erat *οὕτως.*

22. *εἴ γε—φυλακὴ*] i. e. qua quidem sola erga amicos cautione opus esse videtur.

πᾶσαν—φυλαξαμένους] Ita margo Steph. cum Paris. et Eton. *διαφυλ.* erat antea. Præterea *πάντας* ex margine Steph. receperunt Welsius et Hutchinson.

οὔτε μὴν] Margo Villois. *οὐδὲ μὴν* annotavit.

23. *ὡς—ἐδύνατο ἂν ταῦτα*] Verba *ἂν ταῦτα* ex libro Eton. adscivi. Superest tamen, quod mihi dubitationem facit, *ὡς—ἐδύνατο ἄν*, nisi comparare volueris lectionem antiquam sect. 26. *ἡμῖν ὁπλιτικὸν μὲν ἦν, ὡς ἀθρόοι μὲν ἰόντες ἐπὶ τὰς κώμας ἴσως ἂν ἐδυνάμεθα σῖτον λαμβάνειν.*

μοι παντάπασιν] Vulgo intersertum *ἢ* cum libro Eton. omisi; quam varietatem silentio præteriit Zeune.

24. *εἰ προσίητε*] Edd. vett. Guelf.

ὑμᾶς ὁ Λακεδαιμόνιος οὐκ εἴα εἰσιέναι, ἀποκλείσας τὰς
πύλας· ὑπαίθριοι δὲ ἔξω ἐστρατοπεδεύετε· μέσος δὲ χει-
μὼν ἦν· ἀγορᾷ δὲ ἐχρῆσθε, σπάνια μὲν ὁρῶντες τὰ ὤνια,
σπάνια δὲ ἔχοντες, ὅτων ὠνήσεσθε. Ἀνάγκη δὲ ἦν μένειν 25
ἐπὶ Θρᾴκης· (τριήρεις γὰρ ἐφορμοῦσαι ἐκώλυον διαπλεῖν)
εἰ δὲ μένοι τις, ἐν πολεμίᾳ χώρᾳ εἶναι, ἔνθα πολλοὶ μὲν
ἱππεῖς ἐναντίοι ἦσαν, πολλοὶ δὲ πελτασταί. Ἡμῖν δὲ 26
ὁπλιτικὸν μὲν ἦν, ᾧ, ἀθρόοι μὲν ἰόντες ἐπὶ τὰς κώμας,
ἴσως ἂν ἐδυνάμεθα σῖτον λαμβάνειν οὐδέν τι ἄφθονον·
ὅτῳ δὲ διώκοντες ἂν ἢ ἀνδράποδα ἢ πρόβατα κατελαμ-
βάνομεν, οὐκ ἦν ἡμῖν· οὔτε γὰρ ἱππικὸν οὔτε πελταστι-
κὸν ἔτι ἐγὼ συνεστηκὸς κατέλαβον παρ᾽ ὑμῖν. Εἰ οὖν, 27
ἐν τοιαύτῃ ἀνάγκῃ ὄντων ὑμῶν, μηδ᾽ ὁντιναοῦν μισθὸν
προσαιτήσας, Σεύθην σύμμαχον ὑμῖν προσέλαβον, ἔχοντα

Eton. *πρόσιτε* habent. Ita memorat Zeune. Sed ex Eton. libro annotatum reperi *Πέρινθον πρόσιτε πόλιν, Ἀρίσταρχος.* Locum sanum equidem non præsto. Monuit me God. Hermannus, virum doctum in Ephemeride Anglica *Critical Review*, Januarii 1803. p. 8. corrigere *εἰ προσηΐτε τῇ πόλει*, *if ye had arrived before the city.*

ἀγορᾷ δὲ ἐχρῆσθε] Si bene habet locus, significat: *victum et commeatum, nemine præbente, emere coacti eratis.* An dicitur ut *ἀγορᾷ δέχεσθαι τὸ στρατόπεδον* apud Thucydidem?

ὅτων ὠνήσεσθε] Ita Stephanus. *ὅταν ὠνῆσθε* margo Steph. Paris. Eton. Contra *ὅτου* Edd. vett. Guelf. quod probat Abresch Animadv. ad Æschylum p. 186. et Porson.

25. *ἐφορμοῦσαι*] Edd. vett. Guelf. *ἐφορμῶσαι.* deinde *μένει* Guelf. Sequens *χώρᾳ* omittit Eton. liber.

26. *ᾧ, ἀθρόοι*] Aldinum *ὡς, ἀθρόοι* cum Stephano revocavit Weiske, quod cum verbis *ἴσως ἂν ἐδυνάμεθα* non convenit. Quare cum Zeunio sequor scripturam Juntinæ, Guelf. Paris. marg. Steph. Accedit sequens *ὅτῳ.*

κατελαμβάνομεν] Vulgatum *καταλαμβάνοιμεν* correxi ex scriptura Eton. unde *καταλαμβάνομεν* posuit Hutchinson, omissum a Zeunio. Convenit antecedens *ἴσως ἂν ἐδυνάμεθα.*

οὐκ ἦν ἡμῖν] Edd. vett. *οὐκ ἦν ὑμῖν.* Sequens *συνεστηκὸς* male Index Zeunianus *equitatum congregatum* interpretatur. Ita et alii, quos merito reprehendit Weiske; ipse vero vertit: *equitum et peltastarum copiæ juste descriptæ, centuriatæ et instructæ.* Aliud enim esse *συνηθροισμένον*, aliud *συνεστηκός.* Nam, inquit, si tantum dispersæ fuissent ad quodcunque vel otium vel negotium illæ copiæ, quantulum quæso laboris fuisset, illas cogere et congregare? Putat igitur, equites post abitum Xenophontis rursus inter *ὁπλίτας* lectos militasse, peltastas quoque in reliquas cohortes distributos fuisse. Verum equidem potius peltastas cum equitibus abiisse puto cum iis, quos memorat Xenophon vii. 2, 3. Præterea est in græco *ἔτι συνεστηκὸς*, quo significari videtur equitatus plane dissolutus. Ita noster Cyrop. vi. 1, 54. *ἐπεὶ δὲ πάντα συνειστήκει αὐτῷ τὰ περὶ τοὺς πύργους*, *postquam turrium constructio esset confecta.*

ἱππέας καὶ πελταστὰς, ὧν ὑμεῖς προσεδεῖσθε, κακῶς
28 ἂν ἐδόκουν ὑμῖν βεβουλεῦσθαι πρὸ ὑμῶν; Τούτων γὰρ
δήπου κοινωνήσαντες, καὶ σῖτον ἀφθονώτερον ἐν ταῖς κώ-
μαις εὑρίσκετε, διὰ τὸ ἀναγκάζεσθαι τοὺς Θρᾷκας
κατὰ σπουδὴν μᾶλλον φεύγειν· καὶ προβάτων καὶ ἀν-
29 δραπόδων μετέσχετε. Καὶ πολέμιον οὐκέτι οὐδένα ἑωρῶ-
μεν, ἐπειδὴ τὸ ἱππικὸν ἡμῖν προσεγένετο· τέως δὲ θαρ-
σαλέως ἡμῖν ἐφείποντο οἱ πολέμιοι καὶ ἱππικῷ καὶ πελ-
ταστικῷ, κωλύοντες μηδαμῇ κατ' ὀλίγους ἀποσκεδαννυ-
30 μένους τὰ ἐπιτήδεια ἀφθονώτερα ἡμᾶς πορίζεσθαι. Εἰ
δὲ δὴ ὁ συμπαρέχων ὑμῖν ταύτην τὴν ἀσφάλειαν, μὴ
πάνυ πολὺν μισθὸν προσετέλει τῆς ἀσφαλείας, τοῦτο δὴ
τὸ πάθημα τὸ σχέτλιον; καὶ διὰ τοῦτο οὐδαμῇ οἴεσθε
31 χρῆναι ζῶντα ἐμὲ ἂν εἶναι; Νῦν δὲ δὴ πῶς ἀπέρχεσθε;
Οὐ διαχειμάσαντες μὲν ἐν ἀφθόνοις τοῖς ἐπιτηδείοις,
περιττὸν δ' ἔχοντες τοῦτο, εἴ τι ἐλάβετε παρὰ Σεύθου;
τὰ γὰρ τῶν πολεμίων ἐδαπανᾶτε· καὶ ταῦτα πράττον-
τες, οὔτε ἄνδρας ἐπείδετε ὑμῶν αὐτῶν ἀποθανόντας, οὔτε
32 ζῶντας ἀπεβάλετε. Εἰ δέ τι καλὸν πρὸς τοὺς ἐν τῇ
Ἀσίᾳ βαρβάρους ἐπέπρακτο ὑμῖν, οὐ καὶ ἐκεῖνο σῶν
ἔχετε, καὶ πρὸς ἐκείνοις νῦν ἄλλην εὔκλειαν προσειλή-
φατε, καὶ τοὺς ἐν τῇ Εὐρώπῃ Θρᾷκας, ἐφ' οὓς ἐστρα-
τεύεσθε, κρατήσαντες; Ἐγὼ μὲν ὑμᾶς φημὶ δικαίως

27. πρὸ ὑμῶν] Ita Steph. cum Guelf. et Paris. et sic est βουλεύεσθαι πρὸ Cyrop. i. 6, 42. πρὸς est in Edd. vett. et Eton. libro.

28. μετέσχετε] Margo Steph. Paris. Eton. μᾶλλον μετέσχετε.

29. οὐκέτι οὐδένα ἑωρῶμεν] Vulgo est πολέμιον οὐδένα ἔτι ἑωρῶμεν, sed mecum facit Paris. Eton. nisi quod in Eton. Junt. et Guelf. est ἐπεωρῶμεν.

τέως] Eton. τέλος — ὑμῖν. Postea ὑμᾶς Paris. ἡμᾶς vero omittunt Edd. vett. Guelf. Eton.

30. ζῶντα ἐμὲ ἂν εἶναι] Vulgatum ζῶντά μ' ἀνεῖναι, quod sensu plane omni destituitur, ex Paris. et Eton. correxi, ubi tamen χαρῆναι est scriptum pro χρῆναι.

31. εἴ τι ἐλάβετε] Ita margo Steph. cum libro Brodæi, Paris. Eton. Vulgo erat ὅ, τι; in Eton. præterea est λάβοιτε.

τὰ γὰρ τῶν] Male Juntina cum Guelf. τὰ γὰρ παρὰ τῶν habet.

32. ὑμῖν, οὐ καὶ ἐκεῖνο] Vulgatum οὐκ ἐκεῖνο ex Guelf. mutavit Zeune. In Paris. est οὐκ ἀεὶ, in Eton. ἀεὶ ὑμῖν, οὐκ ἀεί.

ἄν, ὧν ἐμοὶ χαλεπαίνετε, τούτων τοῖς θεοῖς χάριν εἰδέναι,
ὡς ἀγαθῶν. Καὶ τὰ μὲν δὴ ὑμέτερα τοιαῦτα. Ἄγετε 33
δὲ πρὸς τῶν θεῶν, καὶ τὰ ἐμὰ σκέψασθε ὡς ἔχει.
Ἐγὼ μὲν γὰρ, ὅτε πρῶτον ἀπῄρα οἴκαδε, ἔχων μὲν ἔπαι-
νον πολὺν πρὸς ὑμῶν ἀπεπορευόμην, ἔχων δὲ δι' ὑμᾶς καὶ
ὑπὸ τῶν ἄλλων Ἑλλήνων εὔκλειαν· ἐπιστευόμην δὲ ὑπὸ
Λακεδαιμονίων· οὐ γὰρ ἄν με ἔπεμπον πάλιν πρὸς
ὑμᾶς. Νῦν δ' ἀπέρχομαι πρὸς μὲν Λακεδαιμονίους, 34
ὑφ' ὑμῶν διαβεβλημένος, Σεύθῃ δὲ ἀπηχθημένος ὑπὲρ
ὑμῶν, ὃν ἤλπιζον, εὖ ποιήσας μεθ' ὑμῶν, ἀποστροφὴν
καὶ ἐμοὶ καλὴν καὶ παισὶν, εἰ γένοιντο, καταθήσεσθαι.
Ὑμεῖς δ', ὑπὲρ ὧν ἐγὼ ἀπήχθημαί τε πλεῖστα, καὶ 35
ταῦτα πολὺ κρείττοσιν ἐμαυτοῦ, πραγματευόμενός τε οὐδὲ
νῦν πω πέπαυμαι ὅ τι δύναμαι ἀγαθὸν ὑμῖν, τοιαύτην
γνώμην ἔχετε περὶ ἐμοῦ. Ἀλλ' ἔχετε μέν με, οὔτε φεύ- 36
γοντα λαβόντες, οὔτε ἀποδιδράσκοντα· ἢν δὲ ποιήσητε,
ἃ λέγετε, ἴστε, ὅτι ἄνδρα κατακανόντες ἔσεσθε, πολλὰ
μὲν δὴ πρὸ ὑμῶν ἀγρυπνήσαντα, πολλὰ δὲ σὺν ὑμῖν
πονήσαντα καὶ κινδυνεύσαντα, καὶ ἐν τῷ μέρει καὶ

33. τὰ μὲν δὴ] Ex Eton. δὴ inserui, et deinde vulgatum ἄγετε δὴ, πρὸς θεῶν correxi.

τὰ ἐμὰ] Cum Junt. et Guelf. τὰ ἐμαυτοῦ dedit Zeune.

πρῶτον] Margo Steph. Paris. Guelf. πρότερον. Deinceps ἀπῄα Edd. vett. cum Guelf. Postea ἐπὶ τῶν ἄλλων Juntina habet.

34. πρὸς μὲν] Edd. vett. Guelf. μὲν omittunt. Sequens ἀπηχθημένος dedi ex libro Eton. ubi tamen ἀπεχθημένος scriptum esse dicitur. Vulgo erat ἀπεχθόμενος.

ἤλπιζον] Ita cum Eton. Zeune. Vulgatum antea ἤλπισ' ἂν, quod solœcum est, revocavit tamen Weiske.

εἰ γένοιντο] Stephani conjecturam in locum vulgati γένοιτο recepi cum Welsio et Hutchinsono. Eandem probavit etiam Weiske, ita tamen, ut vulgatam scripturam excusaret exemplis locorum, ubi nomina vel masculina vel feminina verbis singularis numeri junguntur. Zeune verba hæc ineptissime ad ἀποστροφὴν referebat. Ex hoc vero loco apparet, Xenophonti tum (Olympiadis xciv. anno 4. vel Ol. xcv. 1.) necdum conjugem liberosve fuisse.

35. ἀγαθὸν ὑμῖν] Miror pronomen ad sensum absolvendum necessarium, oblatum a libris Brodæi, Paris. Eton. sprevisse cum Zeunio Weiskium, quanquam ille antecedens ὑπὲρ ὧν referebat etiam ad πρ. ἀγαθόν. Contra si ὑμῖν omittendum censeas, tum vero copulam τε ante οὐδὲ delendam censeo, comparato loco in Hierone viii. 8. ὅτι καὶ ἐξ ὧν ἀπεχθάνονται οἱ ἄνθρωποι, ἡμᾶς πολὺ πλείω τῶν ἰδιωτῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι.

παρὰ τὸ μέρος· θεῶν δὲ ἵλεων ὄντων καὶ τρόπαια βαρβά-
ρων πολλὰ δὴ σὺν ὑμῖν στησάμενον· ὅπως δέ γε τῶν Ἑλ-
λήνων μηδενὶ πολέμιοι γένοισθε, πᾶν ὅσον ἐγὼ ἐδυνάμην,
37 πρὸς ὑμᾶς διατεινάμενον. Καὶ γὰρ οὖν νῦν ὑμῖν ἔξε-
στιν ἀνεπιλήπτως πορεύεσθαι, ὅποι ἂν ἕλησθε, καὶ
κατὰ γῆν καὶ κατὰ θάλατταν. Ὑμεῖς δὲ, ὅτι πολλὴ
ὑμῖν εὐπορία φαίνεται, καὶ πλεῖτε, ἔνθα δὴ ἐπιθυμεῖτε
πάλαι, δέονται δὲ ὑμῶν οἱ τὸ μέγιστον δυνάμενοι, μι-
σθὸς δὲ φαίνεται, ἡγεμόνες δὲ ἥκουσι Λακεδαιμόνιοι, οἱ
κράτιστοι νομιζόμενοι εἶναι, νῦν δὴ καιρὸς δοκεῖ ὑμῖν εἶναι,
38 ὡς τάχιστα ἐμὲ κατακτανεῖν; οὐ μὴν, ὅτε γε ἐν τοῖς
ἀπόροις ἦμεν, ὦ πάντων μνημονικώτατοι· ἀλλὰ καὶ
πατέρα ἐμὲ ἐκαλεῖτε, καὶ ἀεὶ ὡς εὐεργέτου μεμνῆσθαι
ὑπισχνεῖσθε. Οὐ μέντοι ἀγνώμονες οὐδ᾽ οὗτοί εἰσιν, οἱ
νῦν ἥκοντες ἐφ᾽ ὑμᾶς· ὥστε, ὡς ἐγὼ οἶμαι, οὐδὲ τούτοις
δοκεῖτε βελτίονες εἶναι, τοιοῦτοι ὄντες περὶ ἐμέ. Ταῦτα
εἰπὼν ἐπαύσατο.

39 Χαρμῖνος δὲ ὁ Λακεδαιμόνιος ἀναστὰς εἶπεν οὑτωσί·
Ἀλλ᾽ ἐμοὶ μέντοι, ὦ ἄνδρες, οὐ δικαίως γε δοκεῖτε τῷ
ἀνδρὶ τούτῳ χαλεπαίνειν· ἔχω γὰρ καὶ αὐτὸς αὐτῷ μαρ-
τυρῆσαι· Σεύθης γὰρ, ἐρωτῶντος ἐμοῦ καὶ Πολυνείκου

36. παρὰ τὸ μέρος] Weiske cum Zeunio interpretatur: *et ex officio et præter officium*, comparans Arriani Anab. iii. 26, 8. de Parmenione: *ἀλλὰ καὶ τῶν ἄλλων ξένων, ὧν πολλάκις καὶ ἐν μέρει καὶ παρὰ τὸ μέρος κατὰ πρόσταξιν τὴν Ἀλεξάνδρου ξὺν χάριτι ἐξηγεῖτο.* ubi ex nostro loco scribendum esse liquet ἐν τῷ μέρει.

γένοισθε] Guelf. Eton. γένησθε.

πρὸς ὑμᾶς] Eton. liber hæc omisit, ad sententiam tamen necessaria. *contra vos* recte interpretatur Weiske, comparans locum vii. 1, 25. seqq. Guelf. deinde διατεινόμενον habet.

[πρὸς ὑμᾶς διατεινάμενον] In annotatione Mori ingenio honos erat suus tribuendus, qui primus in Indice monuerat: πρὸς ὑμᾶς, *si vera est lectio, significabit* apud vos *seu* vestra causa. *Ex Epistola.*]

37. νῦν ὑμῖν] Eton. liber νῦν omisit.

ἕλησθε] Ita margo Steph. Paris. Eton. Vulgatum ante Zeunium θέλητε revocavit Weiske.

οἱ κράτιστοι] Articulum οἱ ex Guelf. restituit Zeune.

38. βελτίονες εἶναι] Eton. β. ὄντες habet.

39. οὑτωσί] Edd. vett. ἀλλ᾽ οὑτωσὶ, ἄνδρες, ἐμοὶ μὲν οὐ. Guelf. οὑτωσί· ἀλλ᾽ ἐμοὶ μὲν οὐ. Deinde Πολυνίκου ubique dat Guelf. Πολυνείκους Junt. Eton. ἀλλ᾽ οὑτωσὶν ἐμοί.

περὶ Ξενοφῶντος, τίς ἀνὴρ εἴη, ἄλλο μὲν οὐδὲν εἶχε μέμ-
φεσθαι, ἄγαν δὲ φιλοστρατιώτην ἔφη αὐτὸν εἶναι· διὸ
καὶ χεῖρον αὐτῷ εἶναι πρὸς ἡμῶν τε τῶν Λακεδαιμονίων,
καὶ πρὸς αὐτοῦ. Ἀναστὰς ἐπὶ τούτῳ Εὐρύλοχος ὁ Λου- 40
σιάτης Ἀρκὰς εἶπε· Δοκεῖ γέ μοι, ἄνδρες Λακεδαιμό-
νιοι, τοῦτο ὑμᾶς πρῶτον ἡμῶν στρατηγῆσαι, παρὰ Σεύ-
θου ἡμῖν τὸν μισθὸν ἀναπρᾶξαι ἢ ἑκόντος ἢ ἄκοντος, καὶ
μὴ πρότερον ἡμᾶς ἀπαγαγεῖν. Πολυκράτης δὲ Ἀθη- 41
ναῖος εἶπεν ἀναστὰς ὑπὲρ Ξενοφῶντος· Ὁρῶ γε μὴν, ὦ
ἄνδρες, ἔφη, καὶ Ἡρακλείδην ἐνταῦθα παρόντα· ὃς πα-
ραλαβὼν τὰ χρήματα, ἃ ἡμεῖς ἐπονήσαμεν, ταῦτα ἀπο-
δόμενος, οὔτε Σεύθῃ ἀπέδωκεν, οὔτε ἡμῖν τὰ γινόμενα,
ἀλλ' αὐτὸς κλέψας πέπαται. Ἢν οὖν σωφρονῶμεν,
ἑξόμεθα αὐτοῦ· οὐ γὰρ δὴ οὗτός γε, ἔφη, Θρᾷξ ἐστιν,
ἀλλὰ Ἕλλην ὢν Ἕλληνας ἀδικεῖ.

Ταῦτα ἀκούσας ὁ Ἡρακλείδης μάλα ἐξεπλάγη· καὶ 42
προσελθὼν τῷ Σεύθῃ λέγει· Ἡμεῖς, ἢν σωφρονῶμεν,
ἄπιμεν ἐντεῦθεν ἐκ τῆς τούτων ἐπικρατείας. Καὶ ἀνα-
βάντες ἐπὶ τοὺς ἵππους, ᾤχοντο ἀπελαύνοντες εἰς τὸ
ἑαυτῶν στρατόπεδον. Καὶ ἐντεῦθεν Σεύθης πέμπει 43
Ἐβοζέλμιον τὸν ἑαυτοῦ ἑρμηνέα πρὸς Ξενοφῶντα, καὶ

μέμφεσθαι] Paris. *μέμψασθαι* habet.

40. Ἀναστὰς] Castalio edidit Ἀναστὰς δέ. Deinceps Λυσιάτης Aldina, Λουσιώτης Paris. Eton.

Δοκεῖ γέ μοι] Ita Eton. liber. Vulgo erat nimis abrupta oratione καὶ δοκεῖ δέ μοι, ὦ ἄνδρες. Weiske tamen interpretatur: *mihi quoque ut Xenophonti videtur.* Post Λακεδαιμόνιοι Zeune ex Edd. vett. et Guelf. ἔφη inseruit.

πρῶτον ἡμῶν] Aldina ὑμῶν, Castalio πρὸ τοῦ ἡμῶν edidit. Sed ita τοῦτο abundat. Eton. στρατηγῆσαι omittit. Videtur Xenophon rudem hominis sermonem imitari voluisse. Zeune vertit: *vos vestro in nos imperio hoc primum efficere oportere.*

ἀναπρᾶξαι—ἀπαγαγεῖν] Ita margo Steph. Paris. Eton. Vulgo πρᾶξαι—ἀγαγεῖν legitur.

41. ἀναστὰς] Quid in scriptura libri Paris. αἰνετῶς lateat, nondum excogitavi.

οὐ γὰρ δὴ] Weiske interpretatur: *quod inprimis tenendum est*, totam vero sententiam reddit: *Adeo hic ne Thrax quidem est.*

42. μάλα] Margo Steph. Paris. Eton. μᾶλλον habent. Eton. etiam ἀκούσας omittit.

43. Ἐβοζέλμιον] Guelf. Ἐβολζέμιον, Eton. Ἀβροζέλμην, margo Steph. cum Paris. Ἀβραζέλμην.

κελεύει αὐτὸν καταμεῖναι παρ' ἑαυτῷ, ἔχοντα χιλίους ὁπλίτας· καὶ ὑπισχνεῖται αὐτῷ ἀποδώσειν τά τε χωρία τὰ ἐπὶ θαλάττῃ, καὶ τὰ ἄλλα, ἃ ὑπέσχετο. Καὶ ἐν ἀποῤῥήτῳ ποιησάμενος, λέγει, ὅτι ἀκήκοε Πολυνείκου, ὡς, εἰ ὑποχείριος ἔσται Λακεδαιμονίοις, σαφῶς ἀποθανοῖτο
44 ὑπὸ Θίμβρωνος. Ἐπέστελλον δὲ ταὐτὰ καὶ οἱ ἄλλοι πολλοὶ ξένοι τῷ Ξενοφῶντι, ὡς διαβεβλημένος εἴη, καὶ φυλάττεσθαι δέοι. Ὁ δ' ἀκούων ταῦτα, δύο ἱερεῖα λαβὼν, ἔθυε τῷ Διῒ τῷ Βασιλεῖ, πότερά οἱ λῷϊον καὶ ἄμεινον εἴη μένειν παρὰ Σεύθῃ, ἐφ' οἷς Σεύθης λέγει, ἢ ἀπιέναι σὺν τῷ στρατεύματι. Ἀναιρεῖ δὲ αὐτῷ ἀπιέναι.

CAP. VII.

ΕΝΤΕΥΘΕΝ Σεύθης μὲν ἀπεστρατοπεδεύσατο προσωτέρω· οἱ δὲ Ἕλληνες ἐσκήνησαν εἰς κώμας, ὅθεν ἔμελλον, πλεῖστα ἐπισιτισάμενοι, ἐπὶ θάλατταν ἥξειν. Αἱ δὲ κῶμαι αὗται ἦσαν δεδομέναι ὑπὸ Σεύθου Μηδο-
2 σάδῃ. Ὁρῶν οὖν ὁ Μηδοσάδης δαπανώμενα τὰ ἐν ταῖς κώμαις ὑπὸ τῶν Ἑλλήνων, χαλεπῶς ἔφερε· καὶ λαβὼν ἄνδρα Ὀδρύσην, δυνατώτατον τῶν ἄνωθεν καταβεβηκότων, καὶ ἱππέας ὅσον πεντήκοντα, ἔρχεται καὶ προσκα-

παρ' ἑαυτῷ] Eton. παρ' ἑαυτόν. Sequens ὑπισχνεῖται ex Paris. dedit Zeune pro vulgato antea ὑπισχνεῖτο.

ἐν ἀποῤῥήτῳ ποιησάμενος] Cf. Herodoti ix. 45. Aristoph. Equ. 648.

ἀποθανοῖτο] Ita Paris. et Eton. Vulgatum ἀποθάνοι nullo modo græcum tamen defendit Zeune, quod saltem ἀποθανοῖ scriptum oportebat. Quanquam etiam ex libris Paris. et Eton. ἀποθάνοιτο male scriptum laudari video. Deinceps Θίβρωνος habent Edd. vett. cum Guelf. Cum Stephano facit margo Villois.

44. ταὐτὰ] Hoc vulgato ταῦτα tanquam melius substitui. Verbum ἐπέστελλον cum Stephano recepit ex Paris. Hutchinson, improbante tamen Abreschio in Dilucid. Thucyd. p. 259. ἔπεμπον est in Edd. vett. Guelf. Eton.

ξένοι] Omittit cum Paris. Eton. liber.

ἀναιρεῖ] Verbum de extorum significatione rarum, in oraculorum responsis frequens. Sequens δὲ omittit Eton.

1. ἀπεστρατοπεδεύσατο] Eton. ἀπεστρατεύσατο. Sequens ἥξειν pro vulgato ἥκειν idem cum libro Brodæi dedit. Pro σκηνῆσαι alibi Xenophon κατασκηνεῖν dixit.

ἐπὶ θάλατταν] Eton. εἰς θ. habet.

2 πεντήκοντα] Margo Steph. Paris.

λεῖται Ξενοφῶντα ἐκ τοῦ Ἑλληνικοῦ στρατεύματος· καὶ
ὅς, λαβών τινας τῶν λοχαγῶν καὶ ἄλλους τινὰς τῶν
ἐπιτηδείων, προσέρχεται. Ἔνθα δὴ λέγει ὁ Μηδοσάδης· 3
Ἀδικεῖτε, ὦ Ξενοφῶν, τὰς ἡμετέρας κώμας πορθοῦντες.
Προλέγομεν οὖν ὑμῖν, ἐγώ τε ὑπὲρ Σεύθου, καὶ ὅδε ὁ
ἀνὴρ, παρὰ Μηδόκου ἥκων τοῦ ἄνω βασιλέως, ἀπιέναι
ἐκ τῆς χώρας· εἰ δὲ μὴ, οὐκ ἐπιτρέψομεν ὑμῖν, ἀλλ'
ἐὰν ποιῆτε κακῶς τὴν ἡμετέραν χώραν, ὡς πολεμίους
ἀλεξησόμεθα.

Ὁ δὲ Ξενοφῶν, ἀκούσας ταῦτα, εἶπεν· Ἀλλὰ σοὶ 4
μὲν τοιαῦτα λέγοντι καὶ ἀποκρίνασθαι χαλεπόν· τοῦδε
δὲ ἕνεκα τοῦ νεανίσκου λέξω, ἵν' εἰδῇ, οἷοί τε ὑμεῖς ἐστε,
καὶ οἷοι ἡμεῖς. Ἡμεῖς μὲν γὰρ, ἔφη, πρὶν φίλοι γενέ- 5
σθαι ὑμῖν, ἐπορευόμεθα διὰ ταύτης τῆς χώρας, ὅποι
ἐβουλόμεθα, ἣν μὲν ἐθέλοιμεν πορθοῦντες, ἣν δ' ἐθέλοι-
μεν κατακαίοντες. Καὶ σὺ, ὁπότε πρὸς ἡμᾶς ἦλθες 6
πρεσβεύων, ηὐλίζου παρ' ἡμῖν, οὐδένα φοβούμενος τῶν
πολεμίων. Ὑμεῖς δὲ οὐκ ἦτε εἰς τήνδε τὴν χώραν, ἢ, εἰ

Eton. τριάκοντα. Sequens τινὰς post ἄλλους omittit Eton.

3. ὅδε ὁ] Articulum ὁ ex Guelf. addidit Zeune, quem iterum omisit Weiske. Sect. 7. ἔχετε τήνδε τὴν χώραν. et sect. 4. τοῦδε ἕνεκα τοῦ. sect. 9. τόνδε τὸν ἄνδρα. οὗτοι οἱ στρατιῶται cap. 7, 33.

Μηδόκου] Margo Steph. Δημόκου. Cf. vii. 2, 32. vii. 3, 16. Deinde Edd. vett. Guelf. ἄνωθεν. Verum dedit Steph. cum Paris. Eton.

ἀλεξησόμεθα] Liber Brodæi, Paris. Eton. ἀλεξόμεθα habent. Supra i. 3, 6. οὔτ' ἂν ἀλεξήσασθαι erat, quod cum Castalione mutavi in ἀλέξασθαι. Sed dubitavi hic etiam sequi librorum optimorum auctoritatem; alia enim ratio est prioris loci, ubi aoristus adhibetur, cujus forma ἀλέξασθαι a Xenophonte frequentatur.

4. τοῦδε δὲ ἕνεκα τοῦ] Liber Brodæi, Eton. τούτου. Similis varietas est in Cyrop. vi. 1, 2.

εἰδῇ] Ita cum margine Leoncl. et Guelf. Welsius, Hutchinson, Zeune. εἰδῆτε Edd. cum Paris. Eton.

5. Ἡμεῖς μὲν γὰρ] Ex Paris. et Eton. γὰρ addidit Zeune et Weiske, sed hic dubitabat adhuc, recte an secus id fecerit. Observasse enim sibi videbatur, in oratione brevi et vehementi fere γὰρ omitti, uti Cyrop. iv. 5, 29. contra in oratione sedata et copiosiore adhiberi. Sed libri scripti mire variant locorum ejusmodi lectionem, ut firmum inde argumentum observationi, si quid colligere velis ex comparatione locorum, accedere non possit.

ὅποι] Guelf. ὅπη dat.

6. ἦλθες] Juntina, Guelf. ἔλθοις. Cf. vii. 2, 10. Post ηὐλίζου liber Brodæi τότε addit.

οὐκ ἦτε] Plusquamperfecti medii formam pro ᾔειτε ab εἶμι, *veniebatis*,

ποτε ἔλθοιτε, ὡς ἐν κρειττόνων χώρᾳ ηὐλίζεσθε ἐγκεχα-
7 λινωμένοις τοῖς ἵπποις. Ἐπεὶ δὲ ἡμῖν φίλοι ἐγένεσθε,
καὶ δι' ἡμᾶς σὺν θεοῖς ἔχετε τήνδε τὴν χώραν, νῦν δὴ ἐξε-
λαύνετε ἡμᾶς ἐκ τῆς χώρας, ἣν παρ' ἡμῶν ἑκόντων κατὰ
κράτος παρελάβετε· ὡς γὰρ αὐτὸς οἶσθα, οἱ πολέμιοι
8 οὐκ ἦσαν ἱκανοὶ ἡμᾶς ἐξελαύνειν. Καὶ οὐχ ὅπως δῶρα
δοὺς καὶ εὖ ποιήσας, ἀνθ' ὧν εὖ ἔπαθες, ἀξιοῖς ἡμᾶς
ἀποπέμψασθαι, ἀλλ' ἀποπορευομένους ἡμᾶς οὐδ' ἐναυ-
9 λισθῆναι, ὅσον δύνασαι, ἐπιτρέπεις. Καὶ ταῦτα λέγων
οὔτε θεοὺς αἰσχύνῃ οὔτε τόνδε τὸν ἄνδρα, ὃς νῦν μέν σε
ὁρᾷ πλουτοῦντα, πρὶν δὲ ἡμῖν φίλον γενέσθαι, ἀπὸ λῃ-
10 στείας τὸν βίον ἔχοντα, ὡς αὐτὸς ἔφησθα. Ἀτὰρ τί
καὶ πρὸς ἐμὲ ταῦτα λέγεις; ἔφη· οὐ γὰρ ἐγὼ ἔτι ἄρχω,
ἀλλὰ Λακεδαιμόνιοι, οἷς ὑμεῖς παρεδώκατε τὸ στράτευ-
μα ἀπάγειν, οὐδὲ ἐμὲ παρακαλέσαντες, ὦ θαυμαστό-
τατοι, ὅπως, ὥσπερ ἀπηχθανόμην αὐτοῖς, ὅτε πρὸς ὑμᾶς
ἦγον, οὕτω καὶ χαρισαίμην νῦν ἀποδιδούς.

annotarunt Zeune et Weiske. Aristophanes Pluti 659. ἔπειτα πρὸς τὸ τέμενος ἦμεν τοῦ θεοῦ. Eccles. 490. ἡνίκ' ἦμεν. Ex ejusdem Γηρυτάδῃ affert Etymol. M. p. 420. ἦσαν εὐθὺ τοῦ Διονυσίου. Idem p. 121. posuit προῆμεν, et ὑπὲρ τῶν ἐχθρῶν ἀπῆτε βεβουλευμένοι. Cf. Fischeri Animadv. ad Wellerum ii. p. 508.

τήνδε] Eton. ταύτην. Sequens ἢ Juntina in ᾗ mutavit.

7. σὺν θεοῖς] Ex Paris. et Eton. hæc adjecit Zeune: egregium et pietate Xenophontis dignum supplementum neglexit Weiske.

νῦν δὴ] Vulgatum νῦν δὲ recte correxit Leonclaviana.

παρελάβετε] Eton. παρελαύνετε. Verba παρ' ἡμῶν ἑκόντων opposita sequentibus κατὰ κράτος non convenire et posteriora aliena ab hoc loco esse vidit et monuit Weiske, qui ad antecedentem sententiam νῦν δὴ—χώρας pertinere putabat. Sentio equidem vim oppositi ἑκόντων ἡμῶν suadere, ut illa κατὰ κράτος priori membro inseramus; sed ita nimis violenta fit dictio ἐξελαύνετε ἡμᾶς κατὰ κράτος. Malim itaque in primo membro ita collocare: καὶ δι' ὑμᾶς σὺν θεοῖς κατὰ κράτος ἔχετε τήνδε τὴν χώραν.

ἡμᾶς ἐξελαύνειν] Eton. ὑμᾶς παρελαύνειν dat.

8. ἀλλ' ἀποπορευομένους] Vulgatum ἀλλὰ πορευομένους ex Guelf. correxit Zeune. Deinceps οὐδένα καταλισθῆναι Paris. οὐδένα καταυλισθῆναι Eton. habent. Postea δύνασθαι Edd. vett. Guelf.

9. ὃς νῦν μέν σε] Ex Eton. μὲν adjeci. Idem tamen τόνδε male omisit. Deinceps φίλος Guelf. De re compara supra vii. 2, 34.

10. Λακεδαιμόνιοι, οἷς] Ita ex margine Steph. Paris. Eton. correxi vulgatum Λακεδαιμονίοις.

ἀπάγειν] Zeunium ex Paris. ἀπαγαγεῖν scribentem imitari non sum ausus. Deinceps οὐδὲν ἐμὲ Eton. habet. Postea πρὸς ἡμᾶς Guelf. Paris.

ὅπως—χαρισαίμην] Refertur ἀποδε-

Ἐπεὶ δὲ ταῦτα ἤκουσεν ὁ Ὀδρύσης, εἶπεν· Ἐγὼ μὲν, 11
ὦ Μηδόσαδες, κατὰ τῆς γῆς καταδύομαι ὑπὸ τῆς αἰ-
σχύνης, ἀκούων ταῦτα. Καὶ εἰ μὲν πρόσθεν ἠπιστάμην,
οὐδ' ἂν συνηκολούθησά σοι· καὶ νῦν ἄπειμι· οὐ γὰρ ἂν
Μήδοκός με ὁ βασιλεὺς ἐπαινοίη, εἰ ἐξελαύνοιμι τοὺς εὐ-
εργέτας. Ταῦτ' εἰπὼν, ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπήλαυνε, 12
καὶ σὺν αὐτῷ οἱ ἄλλοι ἱππεῖς, πλὴν τεττάρων, ἢ πέντε.
Ὁ δὲ Μηδοσάδης (ἐλύπει γὰρ αὐτὸν ἡ χώρα πορθου-
μένη) ἐκέλευε τὸν Ξενοφῶντα καλέσαι τὼ Λακεδαιμο-
νίω. Ὁ δ' ἀπολαβὼν τοὺς ἐπιτηδειοτάτους, προσῆλθε 13
τῷ Χαρμίνῳ καὶ τῷ Πολυνείκῳ, καὶ ἔλεξεν, ὅτι καλεῖ
αὐτοὺς Μηδοσάδης, προερῶν ἅπερ αὐτῷ, ἀπιέναι ἐκ τῆς
χώρας. Οἶμαι ἂν οὖν, ἔφη, ὑμᾶς ἀπολαβεῖν τῇ στρα- 14
τιᾷ τὸν ὀφειλόμενον μισθὸν, εἰ εἴποιτε, ὅτι δέοιτο ὑμῶν ἡ
στρατιὰ συναναπρᾶξαι τὸν μισθὸν ἢ παρὰ ἑκόντος ἢ
παρὰ ἄκοντος Σεύθου· καὶ ὅτι τούτων τυχόντες, προθύ-
μως μὲν ἂν συνέπεσθαι ὑμῖν φασί· καὶ ὅτι δίκαια
ὑμῖν δοκοῦσι λέγειν· καὶ ὅτι ὑπέσχεσθε αὐτοῖς τότε
ἀπιέναι, ὅταν τὰ δίκαια ἔχωσιν οἱ στρατιῶται. Ἀκού- 15
σαντες οἱ Λάκωνες ταῦτα, ἔφασαν ἐρεῖν, καὶ ἄλλα,

σις ad solum verbum παρακαλέσαντες exclusa negatione, monente Weiskio.

11. καταδύομαι] Cyrop. vi. 1, 35. καταδύεσθαι ὑπὸ τῆς αἰσχύνης. Ceterum Eton. habet Ἐπεὶ ταῦτα omisso δέ.

οὐδ' ἂν] Ita margo Steph. Vulgo est οὐκ ἄν. Deinceps Eton. οὐδὲ γάρ.

12. πλὴν τεττάρων] Edd. vett. Guelf. πλὴν ἢ τεττάρων.

13. ὁ δ' ἀπολαβὼν] Eton. καὶ ὃς λαβών. Deinceps Πολυνίκῳ margo Villois.

προερῶν] Ex margine Steph. hoc suadente Zeunio recepi pro προσερῶν, quod miror a Weiskio retentum. Supra sect. 3. est προλέγομεν. In Paris. est προαιρῶν, Junt. Guelf. προορῶν.

14. ὑμᾶς] Vulgatum ἡμᾶς ex Guelf. Paris. correxit Zeune. Deinceps Paris. εἴπητε, δεδέηται ὑμᾶς. Etiam Eton. ὑμᾶς habet.

[Pro vulgatis nunc verbis: εἰ εἴποιτε, ὅτι δέοιτο ὑμῶν ἡ στρατιὰ συναναπρᾶξαι τὸν μισθὸν, ex Paris. libro ὅτι δεδέηται ὑμῶν scribendum fuisse, nunc demum animadverto. *Ex Epistola.*]

συναναπρᾶξαι] Cap. antec. sect. 40. παρὰ Σεύθου ἡμῖν τὸν μισθὸν πρᾶξαι ἢ ἑκόντος ἢ ἄκοντος. sed sect. 17. de ipsis militibus, quibus debebatur stipendium, ἐὰν πράττητε αὐτὸν τὰ χρήματα. ubi fortasse rectius πράττησθε scribatur. Infra vii. 7, 31. de Lacedæmoniis: ἐὰν τὰ παρὰ τοῦ νῦν ἀναπράξωσι. ubi male Eton. ἀναπράξωνται habet.

προθύμως] Omisit Eton. liber.

15. Λάκωνες ταῦτα, ἔφασαν] Leon-

ὁποῖα ἂν δύνωνται κράτιστα· καὶ εὐθὺς ἐπορεύοντο ἔχον-
τες πάντας τοὺς ἐπικαιρίους. Ἐλθόντων δ' ἔλεξε Χαρ-
μῖνος· Εἰ μέν τι σὺ ἔχεις, ὦ Μηδόσαδες, πρὸς ἡμᾶς λέ-
16 γειν· εἰ δὲ μὴ, ἡμεῖς πρός σε ἔχομεν. Ὁ δὲ Μηδοσά-
δης μάλα ὑφειμένως· Ἀλλ' ἐγὼ μὲν, ἔφη, λέγω, καὶ
Σεύθης ταὐτὰ, ὅτι ἀξιοῦμεν, τοὺς φίλους ἡμῖν γεγενη-
μένους μὴ κακῶς πάσχειν ὑφ' ὑμῶν· ὅ τι γὰρ ἂν τού-
τους κακῶς ποιῆτε, ἡμᾶς ἤδη ποιεῖτε· ἡμέτεροι γάρ εἰσιν.
17 Ἡμεῖς τοίνυν, ἔφασαν οἱ Λάκωνες, ἀπίοιμεν ἂν, ὁπότε
τὸν μισθὸν ἔχοιεν οἱ ταῦτα ὑμῖν καταπράξαντες· εἰ δὲ
μὴ, ἐρχόμεθα μὲν καὶ νῦν βοηθήσοντες τούτοις, καὶ
τιμωρησόμενοι ἄνδρας, οἳ τούτους παρὰ τοὺς ὅρκους ἠδί-
κησαν· ἢν δὲ καὶ ὑμεῖς τοιοῦτοι ἦτε, ἐνθένδε ἀρξόμεθα
18 τὰ δίκαια λαμβάνειν. Ὁ δὲ Ξενοφῶν εἶπεν· Ἐθέλοιτε
δ' ἂν, ὦ Μηδόσαδες, τούτοις ἐπιτρέψαι, (ἐπειδὴ φατὲ
φίλους εἶναι ὑμῖν) ἐν ὧν τῇ χώρᾳ ἐσμὲν, ὁπότερα ἂν
ψηφίσωνται, εἴθ' ὑμᾶς προσῆκεν ἐκ τῆς χώρας ἀπιέναι
19 εἴθ' ἡμᾶς; Ὁ δὲ ταῦτα μὲν οὐκ ἔφη· ἐκέλευε δὲ

clavius Λάκωνες, ταῦτα ἔφασαν edidit, quæ distinctio mihi propter sequens καὶ ἄλλα præplacet.

ὁποῖα] Edd. vett. Guelf. scripturam ὅμοια Castalio in ὅμοια ὡς mutavit.

Ἐλθόντων] Quod est in margine Steph. Paris. Eton. ἐλθὼν minime præfero vulgato; quoniam plures cum Charmino profecti erant. Atticis genitivi ejusmodi, omisso pronomine αὐτῶν, admodum sunt familiares.

μέν τι] Guelf. μέντοι. Post λέγειν intellige λέγε δή. Stephanus ipsum λέγειν mutandum suspicabatur in λέγε.

16. λέγω, καὶ Σεύθης ταῦτα] Ita vulgo scriptum hunc locum Weiske correxit. Debebat enim esse ἀλλ' ἐγὼ μὲν, ἔφη, καὶ Σεύθης λέγομεν τοῦτο.

φίλους ἡμῖν] Edd. vett. ὑμῖν, Eton. plane omisit. Specioso nomine appellat incolas Seuthæ imperio nunc subjectos. Deinde τούτοις pro τούτους Edd. vett. Guelf.

17. ταῦτα ὑμῖν καταπράξαντες] Male Eton. ταῦτα πράξαντες.

καὶ νῦν] Ordo nativus erat νῦν καὶ βοηθήσοντες τούτοις.

τὰ δίκαια λαμβάνειν] Supra sect. 14. ὅταν τὰ δίκαια ἔχωσιν erant τὰ δ. justa, stipendium; de qua notione dictum ad Hellenica vii. 4, 4. quibus adde locum Plutarchi in Dione c. 40. τὰ δίκαια τοῖς ξένοις ποιεῖν. Sed h. l. ambigue dictum, quasi simul δίκην λαμβάνειν minitentur Lacones. Pro ὅρκους margo Steph. νόμους dat.

φίλους—ὑμῖν] Ita Paris. Eton. pro ὑμῖν. Præterea Eton. φίλους ἔφατε ὑμῖν habet. Deinde ὁποτέραν ψηφ. Paris. habet.

προσῆκεν] Ita ex margine Steph. Paris. Eton. vulgatum πρόσθεν correxit Hutchinson.

μάλιστα μὲν αὐτὼ ἐλθεῖν τὼ Λάκωνε παρὰ Σεύθην
περὶ τοῦ μισθοῦ, καὶ οἴεσθαι ἂν Σεύθην πεῖσαι· εἰ δὲ
μὴ, Ξενοφῶντα σὺν αὐτῷ πέμπειν, καὶ συμπράξειν ὑπι-
σχνεῖτο· ἐδεῖτο δὲ τὰς κώμας μὴ κάειν. Ἐντεῦθεν 20
πέμπουσι τὸν Ξενοφῶντα καὶ σὺν αὐτῷ, οἳ ἐδόκουν ἐπι-
τηδειότατοι εἶναι. Ὁ δ' ἐλθὼν λέγει πρὸς τὸν Σεύθην·
Οὐδὲν ἀπαιτήσων, ὦ Σεύθη, πάρειμι, σὲ, ἀλλὰ δι- 21
δάξων, ἢν δύνωμαι, ὡς οὐ δικαίως μοι ἠχθέσθης, ὅτι
ὑπὲρ τῶν στρατιωτῶν ἀπῄτουν σε, ἃ ὑπέσχου αὐτοῖς προ-
θύμως· σοὶ γὰρ ἔγωγε οὐχ ἧττον ἐνόμιζον εἶναι συμφέρον
ἀποδοῦναι, ἢ ἐκείνοις ἀπολαβεῖν. Πρῶτον μὲν γὰρ οἶδα 22
μετὰ τοὺς θεοὺς εἰς τὸ φανερόν σε τούτους καταστήσαν-
τας, ἐπεί γε βασιλέα σε ἐποίησαν πολλῆς χώρας καὶ
πολλῶν ἀνθρώπων· ὥστε οὐχ οἷόν τ' ἐστὶ λανθάνειν,
οὔτε ἤν τι καλὸν, οὔτε ἤν τι αἰσχρὸν ποιήσῃς. Τοιούτῳ 23
δ', ὄντι ἀνδρὶ μέγα μέν μοι δοκεῖ εἶναι, μὴ δοκεῖν ἀχα-
ρίστως ἀποπέμψασθαι ἄνδρας εὐεργέτας, μέγα δ', εὖ
ἀκούειν ὑπὸ ἑξακισχιλίων ἀνθρώπων· τὸ δὲ μέγιστον,
μηδαμῶς ἄπιστον σαυτὸν καταστῆσαι, ὅ τι λέγεις.
Ὁρῶ γὰρ, τῶν μὲν ἀπίστων ματαίους καὶ ἀδυνάτους καὶ 24

19. *μάλιστα μὲν*] Ex Guelf. et Eton. *μὲν* adjeci, quod sequente *εἰ δὲ μὴ* Atticus usus postulat, uti bene docuit Vigerus p. 416. ed. Hermanni. Plato Gorgiæ sect. 63. *καὶ παρασκευαστέον μάλιστα μὲν μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι· ἐὰν δὲ δεηθῇ ἢ αὐτὸς—ἐπιθετέον δίκην καὶ κολαστέον.* Sed etiam non sequente *εἰ δὲ μὴ*, nec *ἐὰν*, adhibet idem ibidem sect. 82. *ἐνίοτε δὲ ἄλλην εἰσιδὼν ὁσίως βεβιωκυῖαν (ψυχὴν) καὶ μετ' ἀληθείας ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινὸς, μάλιστα μὲν φιλοσόφου—ἠγάσθη τε καὶ εἰς μακάρων νήσους ἀπέπεμψε.* Cf. ad librum de Equitat. vi. 14.

πεῖσαι] Ita margo Steph. liber Brodæi, Paris. Eton. Vulgo est *ἀκοῦσαι.*

πέμπειν] Propter sequens *συμπράξειν* Stephanus *πέμψειν* malebat; sed præsens hoc tempus pendet adhuc a verbo *ἐκέλευε.* Recte etiam Weiske monuit. Deinde *πρὸς Σεύθην* Eton.

21. *πάρειμι, σὲ*] Pronomen omittunt Paris. Eton. equidem post *διδάξων* repositum malim.

ἢν δύνωμαι] Ita Paris. Vulgo *ὡς ἂν δύνωμαι.*

ἀπολαβεῖν] Male margo Villois. *καταλαβεῖν* habet.

22. *αἰσχρὸν*] Eton. *κακόν.* deinde Edd. vett. *ποιήσεις.*

23. *μοι δοκεῖ*] Margo Steph. Paris. Eton. *ἐδόκει.*

ἑξακισχιλίων] Diodorus *πεντακισχιλίους* posuit, in loco supra allato ad Caput 5. sect. 13.

ὅ τι λέγεις] Eton. *ὅ τι λέγοις.* quod fere probaverim.

ἀτίμους τοὺς λόγους πλανωμένους· οἳ δ' ἂν φανεροὶ ὦσιν ἀλήθειαν ἀσκοῦντες, τούτων οἱ λόγοι, ἤν τι δέωνται, οὐδὲν μεῖον δύνανται ἀνύσασθαι, ἢ ἄλλων ἡ βία· ἤν τε τινὰ σωφρονίζειν βούλωνται, γιγνώσκω τὰς τούτων ἀπειλὰς οὐχ ἧττον σωφρονιζούσας, ἢ ἄλλων τὰς ἤδη κολάσεις· ἤν τέ τῳ τὶ ὑπισχνῶνται οἱ τοιοῦτοι ἄνδρες, οὐδὲν μεῖον διαπράττονται, ἢ οἱ ἄλλοι παραχρῆμα διδόντες.
25 Ἀναμνήσθητι δὲ καὶ σὺ, τί προτελέσας ἡμῖν συμμάχους ἡμᾶς ἔλαβες. Οἶσθ', ὅτι οὐδέν· ἀλλὰ πιστευθεὶς ἀληθεύσειν, ἃ ἔλεγες, ἐπῆρας τοσούτους ἀνθρώπους συστρατεύσασθαί τε καὶ συγκατεργάσασθαί σοι ἀρχὴν, οὐ πεντήκοντα μόνον ἀξίαν ταλάντων, (ὅσα οἴονται δεῖν οὗτοι
26 νῦν ἀπολαβεῖν) ἀλλὰ πολλαπλασίων. Οὐκοῦν τοῦτο μὲν πρῶτον, τὸ πιστεύεσθαί σε, τὸ καὶ τὴν βασιλείαν

24. ἀνύσασθαι] *Consequi.* Valckenarii emendationem, propositam ad Theocriti Idyll. xviii. 17. vulgato ἂν ἔσεσθαι substituit Zeune. Liber Eton. hæc omnia ἤν τι δέωνται—ἢ ἄλλων omisit. Ceterum vulgatum δύνωνται cum Weiskio correxi.

γιγνώσκω] Liber Brodæi γιγνώσκων. Deinde Steph. cum libro Paris. eumque secutus Zeune et Weiske dederunt τὸ ἤδη κολάζειν. Edd. vett. Guelf. Eton. ἄλλων τε δὴ κολάσεις. Castalio ἄλλων δὴ κολάσεις. Mihi librorum editorum scriptura vera visa est, quam, quia rarior est dicendi forma, librarii mutarunt. Thucydidis libro i. τὴν τῶν γεφυρῶν οὐ διάλυσιν, et libri v. c. 50. κατὰ τὴν οὐκ ἐξουσίαν τῆς ἀγωνίσεως licet comparare. Sed plane uti noster Demosthenes p. 664. τὴν ἤδη χάριν τοῦ μετὰ ταῦτα χρόνου παντὸς περὶ πλείονος ἡγεῖσθαι.

ἤν τέ τῳ τὶ] Paris. ἤν τότε. Deinde ὑπισχνοῦνται Edd. vett. Guelf.

οὐδὲν μεῖον διαπράττονται] Vulgatum διαπράττειν ex Paris. correxit Zeune, sed μείω reliquit cum Weiskio. μεῖον ex Eton. recepi. οὐδὲν esse pro οὐ positum censebat Zeune. Ita paulo antea est οὐδὲν μεῖον δύνανται ἀνύσασθαι. Weiske vulgatum διαπράττειν revocavit, alienum ab h. l. quia sibi ipsi dicuntur præcipue διαπράττεσθαι, non aliis διαπράττειν, ut antea οἱ λόγοι eorum ἀνύσασθαι ipsis, non ἀνύτειν aliis. Alioquin διαπράττειν possis referre ad antecedens γιγνώσκω.—Ceterum οἱ ante ἄλλοι deest in Edd. vett. Guelf.

25. Οἶσθ', ὅτι] Vulgatum οἶδ' ὅτι corrigi jussit Muretus, quod fecit Weiske. Egregiam Mureti annotationem omisit Zeune.

συγκατεργάσασθαι] Simplici κατεργάσασθαι ex Eton. substitui.

πεντήκοντα] Margo Steph. Paris. Eton. τριάκοντα. Deinceps ὅσα οἷόν τε Paris. Postea πολλαπλασίω Edd. vett. Guelf.

26. πιστεύεσθαί σε] Eton. σε in τε mutat; sequens τὸ omittunt Edd. vett. Guelf. habet Steph. cum Paris. deinde κατειργασμένων est in Edd. vett. Guelf. κατεργασαμένων Eton. κατεργασάμενον Paris. Leonclavius κατειργασμένον edidit, et ante eum Castalio, quod in annotationibus Edit. secundæ probavit Stephanus. τὸ τὴν—κατειργασμένον conjecerat etiam Muretus. Equidem ex Paris. et Eton. κατεργασάμενον prætuli.

σοὶ κατεργασάμενον, τούτων τῶν χρημάτων ὑπὸ σοῦ πι-
πράσκεται. Ἴθι δὴ, ἀναμνήσθητι, πῶς μέγα ἡγοῦ 27
τότε καταπράξασθαι, ὃ νῦν καταστρεψάμενος ἔχεις.
Ἐγὼ μὲν οἶδ᾽, ὅτι εὔξω ἂν, τὰ νῦν πεπραγμένα μᾶλλον
σοὶ καταπραχθῆναι, ἢ πολλαπλάσια τούτων τῶν χρη-
μάτων γενέσθαι. Ἐμοὶ τοίνυν μεῖζον βλάβος καὶ αἴ- 28
σχιον δοκεῖ εἶναι, τὸ ταῦτα νῦν μὴ κατασχεῖν, ἢ τότε μὴ
λαβεῖν, ὅσῳ περ χαλεπώτερον ἐκ πλουσίου πένητα γενέ-
σθαι, ἢ τὴν ἀρχὴν μὴ πλουτῆσαι· καὶ ὅσῳ λυπηρότερον
ἐκ βασιλέως ἰδιώτην φανῆναι, ἢ ἀρχὴν μὴ βασιλεῦσαι.
Οὐκοῦν ἐπίστασαι μὲν, ὅτι οἱ νῦν σοι ὑπήκοοι γενόμενοι 29
οὐ φιλίᾳ τῇ σῇ ἐπείσθησαν ὑπὸ σοῦ ἄρχεσθαι, ἀλλ᾽
ἀνάγκῃ· καὶ ὅτι ἐπιχειροῖεν ἂν πάλιν ἐλεύθεροι γίγνε-
σθαι, εἰ μή τις αὐτοὺς φόβος κατέχοι. Ποτέρως οὖν 30
οἴει, μᾶλλον ἂν φοβεῖσθαί τε αὐτοὺς, καὶ φρονεῖν τὰ
πρός σε, εἰ ὁρῷέν σοι τοὺς στρατιώτας οὕτω διακειμένους,
ὡς νῦν τε μένοντας ἂν, εἰ σὺ κελεύοις, αὖθίς τ᾽ ἂν ταχὺ
ἐλθόντας, εἰ δέοι, ἄλλους τε, τούτων περὶ σοῦ ἀκούοντας
πολλὰ ἀγαθὰ, ταχὺ ἄν σοι, ὁπότε βούλοιο, παραγενέ-
σθαι· ἢ εἰ καταδοξάσειαν, μήτε ἂν ἄλλους σοι ἐλθεῖν,

27. Ἴθι δὴ] Alterum argumentum exorditur simili ratione, ut prius sect. 25. ἀναμνήσθητι δέ. Deinceps ἡγοῦ τότε καταπράξασθαι dedi pro vulgato ἡγοῦ τοῦτο καταπρᾶξαι. In Paris. enim est ἡγοῦν τότε, in Eton. ἡγοῦντο τότε καταπράξεσθαι νῦν. Opponuntur sibi τότε (non τοῦτο) et νῦν; et καταπράττειν dicitur, qui alteri quid perficit.

28. τὸ ταῦτα] Guelf. τοσαῦτα. deinde μετασχεῖν Paris. Eton.

ἢ τὴν ἀρχὴν] Articulum ex Eton. adjeci.

29. ὑπήκοοι] Vulgatum ἐπήκοοι ita correxit Leonclavius, eamque scripturam in Codicibus reperisse se testatur Muretus.

ἄρχεσθαι] Paris. Eton. ἄρξασθαι. deinde ἐλεύθεροι γενόμενοι Eton.

30. Ποτέρως οὖν] Edd. vett. Guelf. οὖν omittunt, habet etiam margo Villois.

φρονεῖν τὰ πρός σε] Paris. Eton. σωφρονεῖν τὰ πρόσθεν. Præterea Eton. φοβεῖσθαι ἄν σε αὐτούς. Deinde εἰ ὁρῶσι Edd. vett. Guelf.

κελεύοις] Vulgatum κελεύεις ex libris aliis ita correxit Muretus.

ἄλλους τε] Edd. vett. Guelf. ἄλλως τε. deinde ὁπότε βούλοιο pro vulgatis πρὸς ὃ σὺ βούλοιο dedi ex margine Steph. Paris. Eton. Tot enim monosyllaba vocabula orationem non celerem sed scopas faciunt.

παραγενέσθαι] Ita liber Paris. quod postulat tempus toties antecedens ἄν. Miror vulgatum παραγίγνεσθαι a Weiskio etiam toleratum.

ἄλλους σοι] Pronomen omittunt

δι' ἀπιστίαν ἐκ τῶν νῦν γεγενημένων, τούτους τε αὐτοῖς
31 εὐνουστέρους εἶναι ἢ σοί; Ἀλλὰ μὴν οὐδὲν πλήθει γε
ἡμῶν λειφθέντες ὑπεῖξάν σοι, ἀλλὰ προστατῶν ἀπορίᾳ.
Οὐκοῦν νῦν καὶ τοῦτο κίνδυνος, μὴ λάβωσι προστάτας
αὐτῶν τινὰς τούτων, οἳ νομίζουσιν ὑπὸ σοῦ ἀδικεῖσθαι, ἢ
καὶ τούτων κρείττονας τοὺς Λακεδαιμονίους, ἐὰν οἱ μὲν
στρατιῶται ὑπισχνῶνται προθυμότερον αὐτοῖς συστρα-
τεύεσθαι, ἐὰν τὰ παρὰ σοῦ ἀναπράξωσιν, οἱ δὲ Λακε-
δαιμόνιοι, διὰ τὸ δεῖσθαι τῆς στρατιᾶς, συναινέσωσιν
32 αὐτοῖς ταῦτα. Ὅτι γε μὴν οἱ ὑπό σοι Θρᾷκες γενόμενοι
πολὺ ἂν προθυμότερον ἴοιεν ἐπί σε ἢ σύν σοι, οὐκ ἄδηλον·
σοῦ μὲν γὰρ κρατοῦντος, δουλεία ὑπάρχει αὐτοῖς· κρα-
33 τουμένου δὲ σοῦ, ἐλευθερία. Εἰ δὲ καὶ τῆς χώρας προ-
νοεῖσθαι ἤδη τι δεῖ ὡς σῆς οὔσης, ποτέρως ἂν οἴει ἀπαθῆ
κακῶν αὐτὴν εἶναι μᾶλλον, εἰ οὗτοι οἱ στρατιῶται, ἀπο-

Edd. vett. Guelf. Sequens *γεγενημένων* ex libro Brodæi et Eton. posui pro *γενομένων* solœco, quod toleravit tamen Weiske. Infra sect. 32. *οἱ νῦν ὑπό σοι γενόμενοι* erat, ubi *νῦν* cum Eton. libro omisi.

31. *οὐδὲν πλήθει*] Guelf. Paris. Eton. *οὐδὲ πλήθει.* deinde *ληφθέντες* Eton.

τοῦτο κίνδυνος] An bene dicatur, dubius hæreo. *τοῦτο* abesse malim.

[*Οὐκοῦν νῦν καὶ τοῦτο κίνδυνος.* Corrigendum esse inserta præpositione *διὰ* ita: *νῦν καὶ διὰ τοῦτο κίνδυνος*, monui supra in annotatione ad v. 9, 21. ubi est etiam de varietate scripturæ Codicum. *Ex Epistola.*].

λάβωσι πρ. ἀ. τινὰς] Edd. vett. Guelf. *λαβεῖν προστάτας τινὰς αὐτῶν.*

ἀναπράξωσιν] Eton. *ἀναπράξωνται* habet, quod ad milites relatum probari possit, sed vulgatum præfero, ad Lacedæmonios referendum. Ceterum *τὰ* ex Paris. recte inseruit Zeune; idem ex eodem *νῦν* post *σοῦ* addidit, quod cum Weiskio omisi.

διὰ τὸ δεῖσθαι] Vulgatum *δέεσθαι*, tanquam Ionicum, non Atticum, mutavi. Ita supra vii. 4, 8. *δέεται* correxit Zeune. *δεῖσθαι* est ii. 6, 13. vi. 4, 30. et alibi.

32. *οἱ ὑπό σοι*] Edd. vett. Guelf. Eton. *ὑπό σου*, quam scripturam exemplo Thucydidis i. 110. defendere conatur Abresch Dilucid. Thucyd. p. 113. sed Stephanus *σοι* ex Paris. dedit. Vulgo intersertum *νῦν* cum Eton. omisi. Cf. ad sect. 30.

προθυμότερον] Guelf. *προθυμότεροι.*

33. *κακῶν*] Eton. omisit; sequens *ἐγκαλοῦσι* de creditore debitum reposcente coram judice dici notum et docui in Lexico Gr. Isocratis exempla duo ex Trapez. p. 367. *τὰς μὲν τριακοσίας δραχμὰς ἐνεκάλεσεν ἐμοί.* et contra Euthyn. p. 402. *οὐ χρέος ἐγκαλῶν* posuit Hutchinson. Locus omnium clarissimus est Demosthenis contra Apaturium p. 900. *διὰ τί πέρυσι ἐπιδημῶν μὴ ὅτι δικάσασθαι, ἀλλ' οὐδ' ἐγκαλέσαι μοι ἐτόλμησε; — τῶν γὰρ τοιούτων ἐγκλημάτων πρότερον τὰς ἀπαιτήσεις ποιοῦνται ἅπαντες ἢ δικάζονται.* Ceterum *ἐγκαλῶσιν* habet Eton.

λαβόντες ἃ ἐγκαλοῦσιν, εἰρήνην καταλιπόντες οἴχοιντο, ἢ
εἰ οὗτοί τε μένοιεν ὡς ἐν πολεμίᾳ, σύ τε ἄλλους πειρῷο
πλείονας τούτων ἔχων ἀντιστρατοπεδεύεσθαι, δεομένους
τῶν ἐπιτηδείων; Ἀργύριον δὲ ποτέρως ἂν πλεῖον ἀναλω- 34
θείη, εἰ τούτοις τὸ ὀφειλόμενον ἀποδοθείη, ἢ εἰ ταῦτά τε
ὀφείλοιτο, ἄλλους τε κρείττονας τούτων δέοι μισθοῦσθαι;
Ἀλλὰ γὰρ Ἡρακλείδῃ, ὡς πρὸς ἐμὲ ἐδήλου, πάμπολυ 35
τοῦτο δοκεῖ τὸ ἀργύριον εἶναι. Ἦ μὴν πολύ γέ ἐστιν
ἔλαττον νῦν σοι καὶ λαβεῖν τοῦτο καὶ ἀποδοῦναι, ἢ, πρὶν
ἡμᾶς ἐλθεῖν πρός σε, τὸ δέκατον τούτου μέρος. Οὐ γὰρ 36
ἀριθμὸς ἐστὶν ὁ ὁρίζων τὸ πολὺ καὶ ὀλίγον, ἀλλ' ἡ δύνα-
μις τοῦ τε ἀποδιδόντος καὶ τοῦ λαμβάνοντος. Σοὶ δὲ
νῦν ἡ κατ' ἐνιαυτὸν πρόσοδος πλείων ἐστὶν, ἢ πρόσθεν τὰ
παρόντα, ἃ ἐκέκτησο. Ἐγὼ μὲν, ὦ Σεύθη, ταῦτα, ὡς 37
φίλου ὄντος σοῦ προενοούμην, ὅπως σύ τε ἄξιος δοκοίης
εἶναι, ὧν οἱ θεοί σοι ἔδωκαν ἀγαθῶν, ἐγώ τε μὴ δια-
φθαρείην ἐν τῇ στρατιᾷ. Εὖ γὰρ ἴσθι, ὅτι νῦν οὔτ' ἂν 38
ἐχθρὸν βουλόμενος ἐγὼ κακῶς ποιῆσαι δυνηθείην σὺν
ταύτῃ τῇ στρατιᾷ, οὔτ' ἂν, εἴ σοι πάλιν βουλοίμην βοη-

ὡς ἐν πολεμίᾳ] Paris. et Eton. omittunt ὡς. Præterea antecedens τε omittit Eton.

34. ποτέρως] Eton. πότερον. deinde εἰ τοῦτο Paris. et margo Steph.

ταῦτά τε ὀφείλοιτο] Margo Steph. Eton. ταῦτά σοι ὀφείλοιτο. Paris. contra habet ταῦτά τοι ὀφείλοιντο. sed nihil mutandum. Ita enim præcedente sectione erat εἰ οὗτοί τε μένοιεν, σύ τε ἄλλους πειρῷο &c. Sequens τούτων omisit Eton.

35. Ἡρακλείδῃ] Eton. Ἡρακλείδης.

36. Οὐ γὰρ ἀριθμὸς ἐστὶν ὁ ὁρίζων] Ita cum Eton. scripsi. Vulgo erat οὐ γὰρ ὁ ἀριθμὸς ὁρίζων ἐστὶ τὸ πολύ. Saltem ὁ ἀριθμός ἐστιν ὁ ὁρίζων scribendum erat. Quid intersit inter ὁ ἀριθμὸς ἐστὶν ὁρίζων τὸ πολὺ καὶ τὸ ὀλίγον et inter ὁ ἀριθμὸς ἐστὶν ὁ ὁρίζων τ. π. κ. τ. ὀ. sciunt, qui Græce callent. Scilicet deinceps malim etiam καὶ τὸ ὀλίγον, repetito articulo. Contra τοῦ ante λαμβάνοντος mox omisit Juntina cum Guelf.

πρόσθεν τὰ παρόντα] Eton. ἔμπροσθεν habet. Equidem τὰ πρόσθεν παρόντα malim: τὰ παρόντα molestum est cum πρόσθεν et ἃ ἐκέκτησο junctum. Quid si ἢ τὰ πάντα πρόσθεν ἃ ἐκέκτησο fuisse conjiciam? Video nunc etiam Weiskium incidisse in τὰ πάντα.

37. φίλου ὄντος σοῦ] Vulgatum φίλου σου ὄντος, σοῦ ex Paris. correxi.

δοκοίης] Eton. δοκῇς habet, sed sequitur διαφθαρείην.

38. ὅτι νῦν οὔτ' ἂν ἐχθρὸν] Ita Eton. liber orationem vincit, quæ vulgo ita magis dissipata legitur: νῦν ἐγὼ, οὔτ' ἂν ἐχθρὸν κακῶς ποιῆσαι βουλόμενος, δυνηθείην σὺν &c.

θῆσαι, ἱκανὸς ἂν γενοίμην. Οὕτω γὰρ πρὸς ἐμὲ ἡ
39 στρατιὰ διάκειται. Καίτοι αὐτόν σε μάρτυρα σὺν τοῖς
θεοῖς εἰδόσι ποιοῦμαι, ὅτι οὔτε ἔχω παρὰ σοῦ ἐπὶ τοῖς
στρατιώταις οὐδὲν, οὔτε ᾔτησα πώποτε εἰς τὸ ἴδιον τὰ
40 ἐκείνων, οὔτε ἃ ὑπέσχου μοι ἀπῄτησα. Ὄμνυμι δέ σοι,
μηδ' ἀποδιδόντος δέξασθαι ἂν, εἰ μὴ καὶ οἱ στρατιῶται
ἔμελλον τὰ ἑαυτῶν συναπολαμβάνειν. Αἰσχρὸν γὰρ ἦν
τὰ μὲν ἐμὰ διαπεπρᾶχθαι, τὰ δὲ ἐκείνων περιορᾷν ἐμὲ
κακῶς ἔχοντα, ἄλλως τε καὶ τιμώμενον ὑπ' ἐκείνων.
41 Καίτοι γε Ἡρακλείδῃ λῆρος πάντα δοκεῖ εἶναι, πρὸς τὸ
ἀργύριον ἔχειν ἐκ παντὸς τρόπου· ἐγὼ δὲ, ὦ Σεύθη, οὐδὲν
νομίζω γε ἀνδρὶ, ἄλλως τε καὶ ἄρχοντι, κάλλιον εἶναι
κτῆμα, οὐδὲ λαμπρότερον, ἀρετῆς καὶ δικαιοσύνης καὶ
42 γενναιότητος. Ὁ γὰρ ταῦτα ἔχων πλουτεῖ μὲν ὄντων
φίλων πολλῶν, πλουτεῖ δὲ καὶ ἄλλων βουλομένων γενέ-
σθαι· καὶ εὖ μὲν πράττων ἔχει τοὺς συνησθησομένους,
43 ἐὰν δέ τι σφαλῇ, οὐ σπανίζει τῶν βοηθησόντων. Ἀλλὰ
γὰρ εἰ μήτε ἐκ τῶν ἐμῶν ἔργων κατέμαθες, ὅτι σοι ἐκ
τῆς ψυχῆς φίλος ἦν, μήτε ἐκ τῶν ἐμῶν λόγων δύνασαι
τοῦτο γνῶναι, ἀλλὰ τοὺς τῶν στρατιωτῶν λόγους πάντας
κατανόησον· παρῆσθα γὰρ, καὶ ἤκουες, ἃ ἔλεγον οἱ ψέ-
44 γειν ἐμὲ βουλόμενοι. Κατηγόρουν μὲν γάρ μου πρὸς

39. οὔτε ἔχω] Ita Eton. Vulgo est οὔτε ἐγὼ ἔχω. Sequens ἐπὶ τοῖς στρατιώταις *militum causa* vertit Hutchinson, quem sequitur Halbkart. Equidem malim *militum nomine mihi datum*. Dictio paulo rarior et insolens mihi videtur.

40. γὰρ ἦν] Fuitne olim scriptum γὰρ ἂν ἦν? Deinceps περιϊδεῖν habet liber Brodæi, margo Steph. Paris. Eton. περᾷν Juntina. Postea καλῶς ἔχοντα Juntina.

41. πάντα δοκεῖ] Ita Paris. Vulgo ἐδόκει. deinde οὐδὲ νομίζω Juntina cum Guelf.

42. καὶ ἄλλων] Copulam omittunt Edd. vett. Guelf. Deinde συνησθημένους Eton.

43. λόγους πάντας] Ex margine Steph. Villois. Guelf. Paris. Eton. πάντας addidi, πάντων adjungit liber Brodæi. Paulo antea τούς γε τῶν malim.

ἃ ἔλεγον] Ita liber Brodæi, margo Steph. Paris. Eton. Vulgo est οὓς, Muretus ὧν malebat.

44. κατηγόρουν] Eton. κατηγοροῦντο, quam formam pluribus in locis habet idem liber et mox sect. 48.

Λακεδαιμονίους, ὡς σὲ περὶ πλείονος ποιοίμην, ἢ Λακε-
δαιμονίους· αὐτοὶ δ' ἐνεκάλουν ἐμοὶ, ὡς μᾶλλον μέλει
μοι, ὅπως τὰ σὰ καλῶς ἔχοι, ἢ ὅπως τὰ ἑαυτῶν· ἔφα-
σαν δὲ καὶ δῶρα ἔχειν παρὰ σοῦ. Καίτοι τὰ δῶρα 45
ταῦτα πότερον οἴει αὐτοὺς, κακόνοιάν τινα ἐνιδόντας μοι
πρός σε, αἰτιᾶσθαί με ἔχειν παρὰ σοῦ, ἢ προθυμίαν
πολλὴν περὶ σὲ κατανοήσαντας; Ἐγὼ μὲν οἶμαι πάντας 46
ἀνθρώπους νομίζειν, εὔνοιαν δεῖν ἀποκεῖσθαι τούτῳ, παρ'
οὗ ἄν τις δῶρα λαμβάνῃ. Σὺ δὲ, πρὶν μὲν ὑπηρετῆσαί
τι σοὶ, ἐδέξω ἐμὲ ἡδέως καὶ ὄμμασι καὶ φωνῇ καὶ ξε-
νίοις, καὶ ὅσα ἔσοιτο ὑπισχνούμενος οὐκ ἐνεπίμπλασο·
ἐπεὶ δὲ κατέπραξας, ἃ ἐβούλου, καὶ γεγένησαι, ὅσον
ἐγὼ ἐδυνάμην, μέγιστος, νῦν οὕτω με ἄτιμον ὄντα ἐν τοῖς
στρατιώταις τολμᾷς περιορᾶν; Ἀλλὰ μὴν, ὅτι σοὶ δόξει 47
ἀποδοῦναι, πιστεύω καὶ τὸν χρόνον διδάξειν σε, καὶ αὐτόν
γέ σε οὐκ ἀνέξεσθαι τοὺς σοὶ προεμένους εὐεργεσίαν ὁρῶν-

μᾶλλον μέλει μοι] Ita liber Brodæi, margo Steph. Paris. Eton. *μᾶλλον ἑλοίμην* vulgo erat.

ἔφασαν δὲ καὶ] Omisi *με*, quod vulgo post *δὲ* interponunt, cum Eton.

45. *ἐνιδόντας μοι*] Vulgatum *με* ex Paris. et Eton. correxit Hutchinson.

46. *νομίζειν, εὔνοιαν δεῖν ἀποκεῖσθαι*] Vulgatum *ἀνθρώπους εὔνοιαν δεῖν ἀποδείκνυσθαι* ex libris scriptis correxi. Scilicet margo Steph. Villois. Paris. Eton. *νομίζειν* addunt. Pro *δεῖν* Juntina cum Guelf. Eton. et margine Villois. *δὴ* dant, Castalio *δεῖ*. denique *ἀποκεῖσθαι* dedit margo Villois. Vulgatum *ἀποδείκνυσθαι* olim in *ἐπιδείκνυσθαι* mutandum censueram ad Memorab. iv. 4, 18.

τι σοὶ, ἐδέξω ἐμὲ] Ita cum Eton. correxi vulgatum *τι σοι ἐμὲ, ἐδέξω ἡδέως*. Zeune Codicis varietatem hanc omiserat.

ὅσα ἔσοιτο] Brodæi correctione *ἔσοιο* facile caremus. deinceps *μὲν οὕτως ἄτιμον* habent Edd. vett. Guelf. Postea *ἐγὼ* ante *ἐδυνάμην* omittit Eton.

47. *διδάξειν σε*] Weiske pronomen abesse malebat.

προεμένους εὐεργεσίαν ὁρῶντα] Edd. vett. Guelf. *ὁρῶντας* dant. *προεμένους* olim mihi suspectum, nunc tentare non ausim propter locum Platonis in Gorgia sect. 75. *καὶ προέσθαι γε δή που τὴν εὐεργεσίαν ἄνευ μισθοῦ μόνοις τούτοις ἐνεχώρει· ἄλλην μὲν γὰρ εὐεργεσίαν τις εὐεργετηθεὶς, οἷον ταχὺς γενόμενος διὰ παιδοτρίβην, ἴσως ἂν ἀποστερήσειε τὴν χάριν, εἰ προῖοιτο αὐτῷ ὁ παιδοτρίβης, καὶ μὴ ξυνθέμενος αὐτῷ μισθὸν, ὅτι μάλιστα ἅμα μεταδιδοὺς τοῦ τάχους λαμβάνοι τὸ ἀργύριον—ἀλλὰ μόνῳ ἀσφαλὲς ταύτην τὴν εὐεργεσίαν προέσθαι, εἴπερ τῷ ὄντι δύναιτό τις ἀγαθοὺς ποιεῖν.* Unde apparet significanter dici *προέσθαι τινὶ εὐεργεσίαν*, cum quis prior beneficium confert in aliquem, incertus an gratiam apud illum sit initurus. Male igitur Index Zeunianus phrasin interpretatur: *liberalissimum erga aliquem esse.* Hutchinson vertit locum: *qui sua in te profuderunt beneficia.*

[*τούς σοι προεμένους εὐεργεσίαν*] Zeuniana interpretatio est ducta ex In-

τα ἐγκαλοῦντάς σοι. Δέομαι οὖν σοῦ, ὅταν ἀποδίδως,
προθυμεῖσθαι ἐμὲ παρὰ τοῖς στρατιώταις τοιοῦτον ποιῆ-
σαι, οἷόν περ καὶ παρέλαβες.
48 Ἀκούσας ταῦτα ὁ Σεύθης κατηράσατο τῷ αἰτίῳ τοῦ
μὴ πάλαι ἀποδεδόσθαι τὸν μισθόν· (καὶ πάντες τὸν
Ἡρακλείδην ὑπώπτευσαν εἶναι) Ἐγὼ γάρ, ἔφη, οὔτε
49 διενοήθην πώποτε ἀποστερῆσαι, ἀποδώσω τε. Ἐντεῦθεν
πάλιν εἶπεν ὁ Ξενοφῶν· Ἐπεὶ τοίνυν ἀποδιδόναι βούλει,
νῦν ἐγώ σου δέομαι δι᾽ ἐμοῦ ἀποδιδόναι, καὶ μὴ περιϊδεῖν
με διά σε ἀνομοίως ἔχοντα ἐν τῇ στρατιᾷ νῦν τε, καὶ ὅτε
50 πρός σε ἀφικόμην. Ὁ δ᾽ εἶπεν· Ἀλλὰ οὔτε τοῖς στρα-
τιώταις ἔσῃ δι᾽ ἐμὲ ἀτιμότερος· ἄν τε μένῃς παρ᾽ ἐμοί,
χιλίους μόνους ὁπλίτας ἔχων, ἐγώ σοι τά τε χωρία ἀπο-
51 δώσω καὶ τὰ ἄλλα πάντα, ἃ ὑπεσχόμην. Ὁ δὲ πάλιν
εἶπε· Ταῦτα μὲν ἔχειν οὕτως οὐχ οἷόν τε· ἀπόπεμπε δὲ
ἡμᾶς. Καὶ μήν, ἔφη ὁ Σεύθης, καὶ ἀσφαλέστερόν γέ
52 σοι οἶδα ὄν, παρ᾽ ἐμοὶ μένειν, ἢ ἀπιέναι. Ὁ δὲ πάλιν
εἶπεν· Ἀλλὰ τὴν μὲν σὴν πρόνοιαν ἐπαινῶ· ἐμοὶ δὲ μένειν
οὐχ οἷόν τε· ὅπου δ᾽ ἂν ἐγὼ ἐντιμότερος ὦ, νόμιζε, καὶ

dice Mori ad Editionem Lipsiensem anni 1775, quo utinam Zeune sæpius usus fuisset! Comparaverat Morus Demosthenem de Corona cap. 34. et Thucydidem ii. 43. ubi est de mortuis pro patria civibus: κάλλιστον ἔρανον αὐτῇ προέμενοι. *Ex Epistola.*]

48. κατηράσατο] Paris. Eton. κατηγορήσατο. Sequens τοῦ omittunt Edd. vett. Guelf. Post Ἡρακλείδην Eton. addit τοῦτον. In Edd. vett. Leoncl. Steph. est ἔφην, verum dedit ex Eton. Hutchinson.

49. βούλει] Margo Steph. cum Paris. διανοῇ ἀποδιδόναι. deinde ἐγώ σοι δέομαι Edd. vett. Guelf.

περιϊδεῖν] Ita liber Brodæi. Vulgo est παριδεῖν, quod non magis quam παρορᾷν hac significatione frequentabatur Atticis.

ἀφικόμην] Vulgatum ἀφικόμενος cum Castalione correxi, consentiente margine Villois. ἀφικόμεθα dedit Stephanus. Zeune solœcismum defendere conatus est, quem sequitur Weiske, dubius tamen.

50. οὔτε τοῖς] Edd. vett. Guelf. οὐδὲν τοῖς. Sequens τὰ ἄλλα πάντα ex Eton. recepi. Vulgo erat τἄλλα omisso πάντα. Quæ post ὑπεσχόμην sequuntur usque ad illa ὁ δὲ πάλιν εἶπεν· Ἀλλὰ, desunt in Eton. libro.

